3 1761 05506833 2

HANDBOUND
AT THE
UNIVERSITY OF
TORONTO PRESS

BEQUEST OF 8872
REV. CANON SCADDING, D. D.
TORONTO, 1901.

ΑΡΙΣΤΟΦΑΝΗΣ.

ARISTOPHANIS COMŒDIÆ

EX OPTIMIS EXEMPLARIBUS EMENDATÆ:

CUM

VERSIONE LATINA,

VARIIS LECTIONIBUS, NOTIS,

ET

EMENDATIONIBUS.

ACCEDUNT DEPARTMENTAL LIBRARY.

DEPERDITARUM COMŒDIARUM FRAGMENTA,

ET

INDEX

VERBORUM, NOMINUM PROPRIORUM, PHRASIUM,
ET PRÆCIPUARUM PARTICULARUM.

A

RICH. FRANC. PHIL. BRUNCK.

TOM. I.

29/6/06
70503

LONDINI:
SUMTIBUS G. ET W. B. WHITTAKER.
1823.

LECTORI MONITUM.

Lectori monendum est lectiones, quas post textum expressum *Arg.* 1783. in notis indicaverit Aristophanis Editor R. F. P. Brunckius, ad mentem ejus in hac nova editione textui subjectas esse.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΛΥΣΙΣΤΡΑΤΗ.

ΛΥΣΙΣΤΡΑΤΗ, ΚΑΛΟΝΙΚΗ, ΜΥΡΡΙΝΗ, ΛΑΜΠΙΤΩ.

Λυ. ΑΛΛ' εἴ τις ἐς Βακχεῖον αὐτὰς ἐκάλεσεν,
ἢ 'ς Πανὸς, ἢ 'πὶ Κωλιάδ', ἢ 'ς Γενετυλλίδος,
οὐδ' ἂν διελθεῖν ἦν ἂν ὑπὸ τῶν τυμπάνων.
νῦν δ' οὐδεμία πάρεστιν ἐνταυθοῖ γυνή·
πλὴν ἥ γ' ἐμὴ κωμῆτις ἥδ' ἐξέρχεται.
χαῖρ', ὦ Καλονίκη.
Κα. καὶ σύ γ', ὦ Λυσιστράτη.
τί συντετάραξαι; μὴ σκυθρώπαζ', ὦ τέκνον·
οὐ γὰρ πρέπει σοι τοξοποιεῖν τὰς ὀφρῦς.
Λυ. ἀλλ', ὦ Καλονίκη, κάομαι τὴν καρδίαν,
καὶ πόλλ' ὑπὲρ ἡμῶν τῶν γυναικῶν ἄχθομαι,
ὁτιὴ παρὰ μὲν τοῖς ἀνδράσι νενομίσμεθα
εἶναι πανοῦργοι.
Κα. καὶ γὰρ ἐσμὲν, νὴ Δία.

1. Ἐς Βακχεῖον. Magis Atticum est ἐς quam εἰς, quod præferunt A. et Aug. cum Juntina. Sed B. ἐς, quomodo etiam ante inspectum illum codicem scripseram.

5. πλὴν ἥ γ' ἐμή. Sic tres codd. et Juntina, aliæque antiquæ. Perperam Kusterus ἢ γ' . . . Naturalis ordo est: πλήν γε ἥδε ἡ ἐμὴ κωμῆτις ἐξέρχεται. . . . Πλὴν valet ἀλλ' ὅμως, quo significatu particulam ἢ non adsciscit.

11. ἀνδράσι νενομίσμεθα. Sic A. et Aug. Vulgo minus bene ἀνδράσιν.

Λυ. εἰρημένον δ' αὐταῖς ἀπαντᾷν ἐνθάδε,
βουλευσομέναισιν οὐ περὶ φαύλου πράγματος,
εὕδουσι, κοὐχ ἥκουσιν.
Κα. ἀλλ', ὦ φιλτάτη,
ἥξουσι· χαλεπή τοι γυναικῶν ἔξοδος.
ἡ μὲν γὰρ ἡμῶν περὶ τὸν ἄνδρ' ἐκύπτασεν·
ἡ δ' οἰκέτην ἤγειρεν· ἡ δὲ παιδίον
κατέκλινεν· ἡ δ' ἔλουσεν· ἡ δ' ἐψώμισεν.
Λυ. ἀλλ' ἕτερα γάρ ἦν γε τῶνδε προὐργιαίτερα
αὐταῖς.
Κα. τί δ' ἐστὶν, ὦ φίλη Λυσιστράτη,

16. ἥξουσι· χαλεπή τοι γυναικῶν ἔξοδος. Juntina, quam sequuntur editiones ceteræ, cod. etiam Aug. χαλεπή τε. Posterius ex prava pronuntiatione ortum. Duo Regii τοι, quod et metro et loquendi rationi satisfacit. Antequam Regios inspexissem codices reposueram pro jure meo χαλεπὴ δ' ἡ γυναικῶν ἔξοδος, quod et Th. Burgessio, qui nuperrime summo literarum bono novam procuravit Dawesii Miscellaneorum Criticorum editionem, facillimum et ad vulgatum accommodatissimum videtur. Sed postquam Scaligeri emendationi duorum codicum accessit auctoritas, eam quam exhibeo lectionem, retinendam omnino censui. Non enim is ego sum, qui facile animum inducam, verborum constructionem, quæ apud Tragicos frequentissima nihil habet offendiculi, *cane pejus et angue* a Comicis vitari debuisse: qua de re infra prolixius agam.

χαλεπή τοι γυναικῶν ἔξοδος. Sic quidem scripti veteres: nec tamen ideo recipi debuit hæc lectio, quam ut nunc respuam, penitius demum perspecta comici sermonis indoles suadet. Scripserat Poëta noster: χαλεπή ται γυναικῶν ἡ 'ξοδος. Sic Pac. 1181. Αὔριον γ' ἔσθ' ἡ 'ξοδος.

17. ἐκύπτασεν, Schol. ἀντὶ τοῦ ἐστράγγευσεν. κοπτάζειν ἐστὶ τὸ περί τι πονεῖν καὶ διατρίβειν. κομψῶς δὴ τῇ ἀμφιβολίᾳ καὶ ἐπιχαρίτως κέχρηται, καθὰ καὶ Σώφρων.

Πλεῖσται γυναῖκες ἐνθαδὶ κυπτάζουσιν.

Vide viros doctissimos Valckenarium ad Ammonium L. ii. c. 13. et Toupium ad Suidam i. 102.

18. ἡ δὲ παιδίον. Clausulam hanc, integrumque versum sequentem profert Pollux vi. 33. ubi quum olim recte editum fuisset παιδίον, novissimi editores e ridicula erga suos codices superstitione, nulla metri habita ratione, reposuerunt παῖδα, sicque sibi sapere visi sunt.

20. ἦν γε. Posterioris voculæ, e Regio A. repositæ, omissione claudicabat hic versus. Conjeceram prius: ἀλλ' ἕτερα γάρ τ' ἦν. A Juntina non discrepat Aug. In B. ἦν τῶνδε προυργιαίτατα, superscripta e scholiis varia lectione:

ἀλλ' οὐκ ἐκείνων ἦν τάδε προυργιαίτερα
αὐταῖς;

Sed vitiosa est ista lectio, quia nihil præcessit, quo referri queat τάδε. Ad προυργιαίτερα addita glossa ἀναγκαιότερα.

22. ξυγκαλεῖς. Vulgo, neglecto Atticismo, συγκαλεῖς. In his nulla est apud me librariorum auctoritas. Quod tamen antea reposueram, confirmavit demum Regius A.

ἐφ᾽ ὅ τι ποθ᾽ ἡμᾶς τὰς γυναῖκας ξυγκαλεῖς;
τί τὸ πρᾶγμα; πηλίκον τι;
Λυ. μέγα.
Κα. μῶν καὶ παχύ;
Λυ. νὴ τὸν Δία, παχύ.
Κα. κᾆτα πῶς οὐχ ἥκομεν;
Λυ. οὐχ οὗτος ὁ τρόπος· ταχὺ γὰρ ἂν ξυνήλθομεν·
ἀλλ᾽ ἔστιν ὑπ᾽ ἐμοῦ πρᾶγμ᾽ ἀνεζητημένον,
πολλαῖσιν ἀγρυπνίαισιν ἐῤῥιπτασμένον.
Κα. ἦπου τι λεπτόν ἐστι τοὐῤῥιπτασμένον.
Λυ. οὕτω γε λεπτὸν, ὥσθ᾽ ὅλης τῆς Ἑλλάδος
ἐν ταῖς γυναιξὶν ἐστὶν ἡ σωτηρία.
Κα. ἐν ταῖς γυναιξίν; ἐπ᾽ ὀλίγου γ᾽ ἄρ᾽ εἴχετο.
Λυ. ὡς ἔστ᾽ ἐν ἡμῖν τῆς πόλεως τὰ πράγματα,
ἢ μηκέτ᾽ εἶναι, μήτε Πελοποννησίους.

23. *μῶν καὶ παχύ.* Quod dixit Lysistrata *μέγα*, accipit Calonice de virili membro.

24. *νὴ τὸν Δία παχύ.* Sic A. duo alii, ut vulgo, *καὶ νὴ Δία παχύ.*

25. *ταχὺ γὰρ ἂν ξυνήλθομεν.* Frequentissima hic est ellipsis, quam semel observasse satis erit. Plena phrasis est: *εἰ γὰρ οὗτος ἦν ὁ τρόπος, ταχὺ ξυνήλθομεν ἄν.* *Si enim ad magnum et crassum penem convocatæ fuissemus, cito convenissemus.* Namque, ut est in Priapeiis, Carm. vii. observante Berglero:

Nimirum sapiunt, videntque magnam
Matronæ quoque mentulam libenter.

27. *πολλαῖσιν ἀγρυπνίαισιν*, sine copula. Sic duo Regii eleganter. Languide vulgo *πολλαῖσί τ᾽ ἀγρυπνίαισιν.*

29. *ὥσθ᾽ ὅλης.* Sic recte Aug. Mendum typographicum *ὥστ᾽ ὅλης* a Juntina usque per omnes editiones propagatum fuit. In duobus Regiis minus bene *ὡς ὅλης.*

31. *ἐπ᾽ ὀλίγȣ γ᾽ ἄρ᾽ εἴχετο.* Vulgo *γὰρ εἴχετο.* In priore editione legebatur *εἴχεται* de quo vide notam sequentem.

Quam ante inspectos codices admiseram lectionem partim Florentis suasu, partim emendatione mea certissima, imprudens in textu reliqui: ille enim *εἴχεται* pro vulgato *εἴχετο* legi voluit: ego autem *γὰρ* in duas divisi particulas: quæ omnia etiam Berglero placuisse vidi. *γ᾽ ἄρ᾽* divisim scriptum postea reperi in Regio A. Sed codices tres mei in alia, eaque meliore consentiunt lectione; non *εἴχετο*, sed *εἴχετο* exhibentes, quod omnino reponi debuit. Vereor enim ut e Græcis nostris, salva linguæ indole, erui possit sententia in versione expressa: *parum abest quin nulla sit.* Hoc sensu græce non dicitur *ἐπ᾽ ὀλίγȣ*, sed absolute *ὀλίγου* suppresso verbo *δεῖν.* Vid. Thesm. 935. Vesp. 829. Acharn. 348. 381. quorum locorum in nullo scribere poteris *ἐπ᾽ ὀλίγου* pro *ὀλίγου.* Jam vero *ἔχεσθαι* sæpissime nihil aliud valet quam *εἶναι*: et *εἶναι* vel *ἔχεσθαι ἐπ᾽ ὀλίγου* eadem ratione dicitur et non valde dissimili sensu, quam *εἶναι, στῆναι, βῆναι ἐπὶ ξυροῦ.* Gallice: *Il tenoit donc a bien peu de chose.*

33. *μήτε Πελ—* Sic bene duo Regii: perperam vulgo *μηδέ.* Huic *μήτε* respondet v. 36. *Βοιωτίους τε.* Additura mox erat Lysistrata perituros etiam

Κα. βέλτιστα τοίνυν μηκέτ' εἶναι, νὴ Δία.
Λυ. Βοιωτίους τε πάντας ἐξολωλέναι.
Κα. μὴ δῆτα πάντας γ'· ἀλλ' ἄφελε τὰς ἐγχέλεις.
Λυ. περὶ τῶν Ἀθηνῶν δ' οὐκ ἐπιγλωττήσομαι
τοιοῦτον οὐδέν· ἄλλ' ὑπονόησον σύ μοι.
ἢν δὲ ξυνέλθωσ' αἱ γυναῖκες ἐνθάδε,
αἵ τ' ἐκ Βοιωτῶν, αἵ τε Πελοποννησίων,
ἡμεῖς τε, κοινῇ σώσομεν τὴν Ἑλλάδα.
Κα. τί δ' ἂν γυναῖκες φρόνιμον ἐργασαίατο,
ἢ λαμπρὸν, αἳ καθήμεθ' ἐξηνθισμέναι,
κροκωτὰ φοροῦσαι, καὶ κεκαλλωπισμέναι,
καὶ Κιμβερίκ' ὀρθοστάδια, καὶ περιβαρίδας;
Λυ. ταῦτ' αὐτὰ γάρτοι κᾄσθ', ἃ σώσειν προσδοκῶ,
τὰ κροκωτίδια, καὶ τὰ μύρα, καὶ περιβαρίδες,
χ' ἡ 'γχουσα, καὶ τὰ διαφανῆ χιτώνια.

esse Athenienses omnes; sed se ipsam reprimit, nec tale quid in patriæ suæ perniciem ominari velle ait. Nihil hic intellexit Berglerus.

36. πάντας γ'—Eleganter insertam particulam γε habent duo Regii.

38. ἄλλ' ὑπονόησον σύ μοι. Id est ἄλλο. Sic Pl. 361. σὺ μηδὲν εἰς ἔμ' ὑπονόει τοιοῦτο. *Hæc in melius accipe.* In codicibus quidem scriptum, ut vulgo, ἀλλ' pro ἀλλὰ, et in B. superscripta glossa e scholiis, ὅτι ἀπολοῦνται δηλονότι. Sed falsus est hic sensus. Nihil enim *suspicari* vel *conjicere* poterat Calonice, quæ de Lysistratæ consilio nondum quicquam compererat. Temere et incogitanter, textu meo forte non inspecto, Berglerum in versione secutus sum. Pro his verbis *tu ipsa conjecturam facias*: repone: *aliud te suspicari velim.* μοι possit eodem sensu positum esse, quam εἰς ἐμὲ in altero exemplo: sed mihi videtur abundare, quod frequens est et elegans.

44. κροκωτὰ φοροῦσαι. Sic bene Aug. cum Juntina aliisque veteribus. Kusterus κροκωτοφοροῦσαι, quæ scriptura binorum Regiorum est. At melior est nostra lectio, quia simplex φοροῦσαι sequentia etiam regit nomina κιμβερικὰ et περιβαρίδας. Postremi male Berglerus casum mutat, maleque etiam locum vertit, tanquam si περιβαρίδες scriptum esset. Tres codd. perspicue περιβαρίδας præferunt. In duobus Regiis καὶ κιμμερικορθοστάδια, sine vocum distinctione: in Aug. καὶ κιμβερινορθοστάδια. Scilicet hæsitans librarius nesciensque utram e duabus præferret scripturis, ambas repræsentavit simul conjunctas. κιμβερινὸν pro κιμβερικὸν male legitur apud Suidam.

45. περιβαρίδες calcei sunt, quibus maxime utebantur ancillæ, teste Polluce vii. 92. quod paulo supra confirmat his Cephisodori versibus:

σανδάλιά τε τῶν λεπτοσχιδῶν,
ἐφ' οἷς τὰ χρυσᾶ ταῦτ' ἔπεστιν ἄνθεμα·
νῦν δ', ὥσπερ ἡ θεράπαιν', ἔχω περιβαρίδας.

Quod tamen nihil aliud ostendit, quam περιβαρίδας calceos fuisse minus pretiosos, quibus etiam ingenuæ uti poterant.

48. Perperam hic versus vulgo versui 45. subjicitur, sede perquam aliena, quod et Kusterus animadvertit, addens eum in duobus codicibus a se inspectis positum esse eo loco in quem eum repo-

Κα. τίνα δὴ τρόπον ποθ᾽;

Λυ. ὥστε τῶν νῦν μηδένα
ἀνδρῶν ἐπ᾽ ἀλλήλοισιν αἴρεσθαι δόρυ.

Κα. κροκωτὸν ἄρα, νὴ τὼ θεώ, 'γὼ βάψομαι.

Λυ. μήτ᾽ ἀσπίδα λαβεῖν.

Κα. Κιμβερικὸν ἐνδύσομαι.

Λυ. μήτε ξιφίδιον.

Κα. κτήσομαι περιβαρίδας.

Λυ. ἆρ᾽ οὐ παρεῖναι τὰς γυναῖκας δῆτ᾽ ἐχρῆν;

Κα. οὐ γὰρ μὰ Δί᾽, ἀλλὰ πετομένας ἥκειν πάλαι.

Λυ. ἀλλ᾽, ὦ μέλ᾽, ὄψει τοισφόδρ᾽ αὐτὰς 'Αττικὰς,
ἅπαντα δρώσας τοῦ δέοντος ὕστερον.
ἀλλ᾽ οὐδὲ Παράλων οὐδεμία γυνὴ πάρα,
οὐδ᾽ ἐκ Σαλαμῖνος.

Κα. ἀλλ᾽ ἐκεῖναί γ᾽ οἶδ᾽ ὅτι
ἐπὶ τῶν κελήτων διαβεβήκασ᾽ ὄρθριαι.

suimus. Cum illis Kusteri codicibus consentiunt bini Regii, ubi idem, quem exhibemus, versuum ordo. Frustra tempus et operam contrivissemus, si Kusteri exemplo bonas codicum lectiones in notis indicare contenti, priores mendas in textu reliquissemus, qua veterum auctorum edendi ratione nihil est ineptius. Est autem hic et Concion. 929. χ᾽ ἤγχουσα pro καὶ ἡ ἄγχουσα. Hesychius: ἄγχουσα, ῥίζα, ᾗ φυκοῦνται τὰ γύναια. Etymol. ἔγχουσα, εἶδος βοτάνης, ἣ καὶ διὰ τοῦ α λέγεται ἄγχουσα. 'Αττικοὶ δὲ διὰ τοῦ ι. Sed fallitur prava codicum deceptus scriptura, quæ Thomæ etiam fraudi fuit, cujus adeundus interpres. Apud Comicum, quo nemo 'Αττικώτερος, scriptum hoc nomen per α in Thesm. ii. fragm. viii. Gallis herba ista *Orcanette* vocatur.

52. μήτ᾽ ἀσπίδα et v. seq. μήτε ξιφίδιον dant duo Regii, melius quam, ut vulgo, μηδ᾽ et μηδέ.

56. ὄψει τοι. Sic duo Regii. Vulgo ὄψει γε. Iidem et Aug. habent ὦ μηλέ᾽ ὄψει. Recte in codd. scriptum ὦ μέλ᾽ Concion. 245. quod notandum. Licet enim a μέλεος femininum sit μελέα, ut Vesp. 312. tamen vocativo ὦ μέλε compellantur tam feminæ quam viri.

60. ἐπὶ τῶν κελήτων. Jocus est ex ambiguo. κέλης significat parvum navigium, qualia conscendisse oportebat Salaminias mulieres, quæ Athenas deferendæ erant: tum notat equum desultorium, et inde, ut ait noster, 'Αφροδίτης τρόπον, quo sibi morigerari noluisse meretricem facete queritur servus in Vespis v. 500. Hujus schematis meminit Horatius Serm. ii. 7.

Quæcunque excepit turgentis verbera caudæ,
clunibus aut agitavit equum lasciva supinum.

At illud graphice describit Apuleius loco quem emendatum protulit elegantissimus Ruhnkenius ad Julium Rufinianum p. 260. *Inscenso grabatulo, super me coxam residens, ac crebra subsiliens, lubricisque gestibus mobilem spinam quatiens, pendulæ Veneris fructu me satiavit.*

Λυ. οὐδ' ἃς προσεδόκων κἀλογιζόμην ἐγὼ
πρώτας παρέσεσθαι δεῦρο τὰς Ἀχαρνέων
γυναῖκας, οὐχ ἥκουσιν.
Κα. ἡ γοῦν Θεαγένους,
ὡς δεῦρ' ἰοῦσα θοὐκάτειον ἤρετο.
ἀτὰρ αἵδε καὶ δή σοι προσέρχονταί τινες·
αἵδ' αὖθ' ἕτεραι χωροῦσί τινες. ἰού, ἰού·
πόθεν εἰσίν;

61. *κἀλογιζόμην ἐγώ.* Sic bene duo Regii. Vulgo *ἐγὼν*, quod minime Atticum est. Post hunc versum usque ad 132. lacuna est in duobus Regiis. In A. versus 132. *ἔφησθα* subjectus est versui 61. sine ullo defectus indicio. In B. vacuum relictum spatium duarum semipaginarum.

64. *θοὐκάτειον ἤρετο.* In priore editione scriptum est *τἀκάτιον ἀνήρετο·* de quo vide quæ sequuntur.

Aug. et veteres editiones *ἤρετο*: recentiores *ἤρετο*: depravata lectione: deest enim syllaba ad integritatem versus. Biseti emendationem recepi utpote facillimam: præterea adblandiebatur mihi jocus ex ambigua significatione nominis *ἀκάτιον* *cymbam*, navigii genus, et *cymbium*, poculum notantis. Verbum *ἀναίρεσθαι* non minus quam *ἀνάγεσθαι* et *ἀπαίρειν*, nauticum esse possit. Quia supra v. 60. lusit in ambiguo Comicus, cui vix alius magis placuit jocus, hic eadem ratione temulentiam mulierum perstringere mihi videbatur. Sed re attentius considerata jam nunc intelligo nihil istiusmodi hunc locum admittere. Nullus enim in ambiguitate nominis *ἀκάτιον* lepor est, nisi illud nomen utroque sensu accipi queat, unique sententiæ tam apte conveniat atque alteri, uti observare est in illis supra, *ἐπὶ τῶν κελήτων διαβεβήκασ' ὄρθριαι.* Sine *celocibus* Salaminiæ mulieres Athenas venire non poterant. Primaria illa significatio est, unde bona oritur sententia, in qua acquiescit mens auditoris, tametsi statim non percipiat latentem alterum sensum, nec equum illum suspicetur, de quo Ovidius,

Thebaïs Hectoreo nupta resedit equo.

At hic nec poëtæ nec spectatorum ulli venire quicquam in mentem de navigio potuit. Queritur Lysistrata nullam sibi præsto esse ex Acharnis mulierem, unde, tanquam e propiore loco, primas adventuras esse sperabat. Erant autem Acharnæ *χωρίον μέγιστον τῆς Ἀττικῆς, τῶν δήμων καλουμένων* mediterraneæ, ab urbe distantes lx. stadiis. (Thucyd. p. 111.) Cui Athenis Acharnas, vel Acharnis Athenas iter faciendum erat, ne, si vellet quidem, navigio uti poterat, quum nulla alia nisi terrestris esset via. Quis itaque credat tam ineptum responsum Poëtam Calonicæ tribuisse? *At venient profecto: nam Theagenis uxor, tanquam horsum tendens cymbam in altum edidit.* Amplectenda est igitur primarii in arte critica viri Ric. Bentleii emendatio proposita ad Callimachi fragm. 227. et Kustero merito probata, tam ad hunc locum, quam ad Suidam in *Ἑκάτειον*:

ὡς δεῦρ' ἰοῦσα θοὐκάτειον ἤρετο.

Typothetæ tribuendus error *τὠκάτειον*, cujus suspicio in Bentleium non cadit. Hanc lectionem, quam in textu legi vellem, in versione secutus sum, repudiata priori interpretatione, quam supra exhibui.

68. Alludit ad notum proverbium de quo consulendi parœmiographi et Meursius de Pop. Att. in *Ἀνάγυρος*.

Λυ. Ἀναγυρουντόθεν.
Κα. νὴ τὸν Δία·
ὁ γοῦν Ἀνάγυρός μοι κεκινῆσθαι δοκεῖ.
Μυ. μῶν ὕστεραι πάρεσμεν, ὦ Λυσιστράτη;
τί φῄς; τί σιγᾷς;
Λυ. οὐκ ἐπαινῶ, Μυῤῥίνη,
ἥκουσαν ἄρτι περὶ τοιούτου πράγματος.
Μυ. μόλις γὰρ εὗρον ἐν σκότῳ τὸ ζώνιον.
ἀλλ' εἴ τι πάνυ δεῖ, ταῖς παρούσαισιν λέγε.
Λυ. μὰ Δί', ἀλλ' ἐπαναμείνωμεν ὀλίγου γ' οὕνεκα
τάς τ' ἐκ Βοιωτῶν, τάς τε Πελοποννησίων
γυναῖκας ἐλθεῖν.
Μυ. πολὺ σὺ κάλλιον λέγεις.
ἡδὶ δὲ καὶ δὴ Λαμπιτὼ προσέρχεται.
Λυ. ὦ φιλτάτη Λάκαινα, χαῖρε Λαμπιτοῖ.
οἷον τὸ κάλλος, γλυκυτάτη, σοῦ φαίνεται·
ὡς δ' εὐχροεῖς, ὡς δὲ σφριγᾷ τὸ σῶμά σου,
κἂν ταῦρον ἄγχοις.
Λα. μάλα γὰρ οἴω, ναὶ σιώ.
γυμνάδδομαί γα, καὶ ποτὶ πυγὰν ἅλλομαι.
Λυ. ὡς δὴ καλὸν τὸ χρῆμα τιτθίων ἔχεις.
Λα. ἅπερ ἱερεῖόν τοί μ' ὑποψαλάσσετε.
Λυ. ἡδὶ δὲ ποδαπή 'σθ' ἡ νεᾶνις ἡτέρα;
Λα. πρέσβειρά τοι, ναὶ τὼ σιὼ, Βοιωτία,
ἵκει ποθ' ὑμέ.
Λυ. νὴ Δί', ὦ Βοιωτία,

74. ὀλίγου γ' οὕνεκα. Male vulgo εἵνεκα, qua forma nusquam usi sunt Attici poëtæ. Vide infra ad v. 491. 501. Ran. 189. Pl. 329. ne plures locos indicem, ubi ad codicum fidem reposita fuit forma genuina Attica.

82. γυμνάδδομαί γα—Vulgo γε. Alterum ex usu dialecti reponi debuit, ut infra 105. 170. et alibi. καὶ ποτὶ πυγὰν ἅλλομαι. De hac Laconica saltatione sic Pollux iv. 102. καὶ ΒΙΒΑΣΙΣ δέ τι ἦν εἶδος Λακωνικῆς ὀρχήσεως, ἧς καὶ τὰ ἆθλα προὐτίθετο, οὐ τοῖς παισὶ μόνον, ἀλλὰ καὶ ταῖς κόραις. ἔδει δὲ ἅλλεσθαι καὶ ψαύειν τοῖς ποσὶ ΠΡΟΣ ΤΑΣ ΠΥΓΑΣ, καὶ ἀνηριθμεῖτο τὰ πηδήματα. ὅθεν ἐπὶ μιᾶς ἦν καὶ ἐπίγραμμα· Χίλια πόκα βιβᾶντι πλεῖστα δ' ἃ τῶν πήποκα. Sic Laconica scribenda esse existimo. E Pollucis autem verbis manifesto apparet, quam recte, licet frustra, monuerit Florens πυγὰν, non, ut vulgo, πυγᾶν, scribi oportere.

καλόν γ᾽ ἔχουσα τὸ πεδίον.
Κα. καὶ, νὴ Δία,
κομψότατα τὴν βληχώ γε παρατετιλμένη.
Λυ. τίς δ᾽ ἡτέρα παῖς;
Λα. χαΐα μὲν, ναὶ σιὼ,
Κορινθία δ᾽ αὖ.
Λυ. χαΐα, νὴ τὸν Δία,
δήλη ᾽στιν οὖσα ταυταγὶ τἀντευθενί.
Λα. τίς δ᾽ αὖ συναλίαξε τόνδε τὸν στόλον
τὸν τᾶν γυναικῶν;
Λυ. ἥδ᾽ ἐγώ.
Λα. μύσιδδέ τοι
ὅ τι λῇς ποθ᾽ ἀμέ.
Λυ. νὴ Δί᾽, ὦ φίλη γύναι.

88. *καὶ, νὴ Δία.* Hæc vulgo Lacænæ tribuuntur. Dicterium Atticæ mulieri magis convenire mihi videtur; ideo τὰν in τὴν mutavi. Si quis ne quidem in personarum distinctione ab editionibus discedere vellet, majori mutatione sic oporteret Lampitonem loqui:

καὶ, ναὶ σιὼ,
κομψότατα τὰν γλαχώ γα παρατετιλμένα.

Notum est Laconas, aliosque Dorice loquentes, *pulegium*, quod Atticis βλήχων appellatur, γλάχωνα nominare. Vide Acharn. 861. 869. 874. Ceterum in Aug. personarum nomina adscripta non sunt: interlocutorum mutatio transversa tantum lineola indicata.

90. *χαΐα μὲν, ναὶ σιώ.* Male vulgo ναὶ τὼ σιώ. Vox χαΐα trisyllaba est, et pedem creticum facit, ut versu etiam seq. Apud Theocritum Idyll. vii. δισυλλαβῶς effertur. Quæ vero mox subjicit Lysistrata e Bergleri versione haud facile intelligas: *Bonam profecto apparet esse hinc ex istis indiciis.* Sensus est: δήλη ἐστὶν οὖσα χαΐα κατά γε τὰ αὐτὰ ταῖς ἐντευθενὶ, vel αἶά ἐστι τὰ ἐντευθενί. Hanc ad sententiam versionem reformavi.

93. *συναλίαξε.* In priore editione legebatur ξυναλίαζε. Sed lege notam.

Duplex est in hoc verbo menda. Scribe συναλίαξε. Atticum ξὺν pro σὺν Dorica dialectus non admittit: tum ratio temporum *aoristum* flagitat, non *imperfectum.* Perspicue in Aug. quem etiamnum ad manum habeo, scriptum ξυναλίαξε, quod, ob eam quam dixi causam, scilicet minutissimis calami ductibus exaratum esse illum codicem, me fugerat, quum eum primum, nubilo forte die, aut vesperi ad lumen, excussi.

94. *ἥδ᾽ ἐγώ.* Perperam vulgo ἅδ᾽—μύσιδδέ τοι. Male vulgo μυσιδδέτω. μύσιδδε, vel si mavis μούσιδδε, Laconicum est pro μύθιζε. Hesychius: μουσίδδει, λαλεῖ, ὁμιλεῖ. Præter illa, quæ ad hanc glossam notavit interpres, vide Valckenarium nostrum ad Theocriti selecta Idyllia p. 279. Quod autem vir ille doctissimus Toupio obsecutus censet τὸ scribendum pro τοι, in eo consentientem me sibi non habet. τοι hic consequentiam infert, et valet *ideo, ergo,* cujusmodi aliquid nexus sermonis et sententia omnino flagitant. Vide versionem.

Μυ. λέγε δῆτα τὸ σπουδαῖον ὅ τι τοῦτ᾽ ἐστί σοι.
Λυ. λέγοιμ᾽ ἂν ἤδη· πρὶν δ᾽ λέγειν, ὑμᾶς τοδὶ
ἐπερήσομαί τι μικρόν.
Μυ. ὅ τι βούλει γε σύ.
Λυ. τοὺς πατέρας οὐ ποθεῖτε τοὺς τῶν παιδίων
ἐπὶ στρατιᾶς ἀπόντας; εὖ γὰρ οἶδ᾽, ὅτι
πάσαισιν ὑμῖν ἐστὶν ἀποδημῶν ἀνήρ.
Κα. ὁ γοῦν ἐμὸς ἀνὴρ πέντε μῆνας, ὦ τάλαν,
ἄπεστιν ἐπὶ Θρᾴκης φυλάττων Εὐκράτην.
Λυ. ὁ δ᾽ ἐμός γε τελέους ἑπτὰ μῆνας ἐν Πύλῳ.
Λα. ὁ δ᾽ ἐμός γα, κᾂν ἐκ τᾶς ταγᾶς ἔλσῃ πόκα,
πορπακισάμενος φροῦδος ἀμπτάμενος ἔβα.
Λυ. ἀλλ᾽ οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ.
ἐξ οὗ γὰρ ἡμᾶς προὔδοσαν Μιλήσιοι,
οὐκ εἶδον οὐδ᾽ ὄλισβον ὀκτωδάκτυλον,
ὃς ἦν ἂν ἡμῖν σκυτίνη ᾽πικουρία.
ἐθέλοιτ᾽ ἂν οὖν, εἰ μηχανὴν εὕροιμ᾽ ἐγώ,
μετ᾽ ἐμοῦ καταλῦσαι τὸν πόλεμον;
Μυ. νὴ τὼ θεώ·
ἐγὼ δέ γ᾽ ἄν, κᾂν εἴ με χρείη τοὔγκυκλον
τουτὶ καταθεῖσαν ἐκπιεῖν αὐθήμερον.

105. ταγᾶς, priori correpta, quod notandum. Inde ταγοῦχος eadem prosodia. Æschylus Eumen. 296.

θρασὺς ταγοῦχος ὡς ἀνὴρ ἐπισκοπεῖ.

sed ταγὸς priorem producit. Qua de re vide ad Ep. 159.

109. ὀκτωδάκτυλον. Non memini aliter legere in Aug. cod. At veram scripturam esse credo ὀκταδάκτυλον.

113. εἴ με χρείη. In Juntina, unde in reliquas migravit, εἴ με χρὴ, ἢ—Nec aliter in Aug. scriptum, nisi quod inter duas voculas distinctio abest. Librariorum hoc σφάλμα frequentissimum esse, et ubique corrigendum χρείη norunt jam tirones. Videndus Dawesius ad hunc locum in Miscell. Crit. Quod autem apud Suidam in editione principe legitur χρείη, δέη, ex errore itidem librarii est, qui scribere debuit δέοι. Grammaticus paulo infra in χρή· χρείη δὲ, τὸ δέοι. Πλάτων Εὐθύφρονι· πευσόμενοι τοῦ ἐξηγητοῦ τί χρείη ποιεῖν.

115. ὥσπερεί. Aug. ὥσπερ ἢ—Juntina ὥσπερ ἤ. Recte in duabus editionibus Venetis minoribus repositum ὡσπερεὶ e Suida in ψῆττα, qui v. seq. habet δοῦναι ἐμαυτῆς, omisso ἂν, quod et abesse mallem.—παρταμοῦσα. Nescio an melius scriberetur παραταμοῦσα, ut infra 132.

ἔφησθα σαυτῆς κᾂν παρατεμεῖν θἤμισυ.

Sane ubi syncope versum non juvat, credibile est ab ea abstinuisse poëtas Atticos. Vide ad Nub. 754. et quæ notavi ad Euripidis Phœn. 1420.

Κα. ἐγὼ δέ γ' ἄν, κἂν ὡσπερεὶ ψῆτταν δοκῶ
δοῦναι ἂν ἐμαυτῆς παρταμοῦσα θἤμισυ.
Λα. ἐγὼ δὲ καί κα ποττὸ Ταΰγετόν γ' ἄνω
ἔλσοιμ', ὅπα μέλλοιμί γ' εἰράναν ἰδεῖν.
Λυ. λέγοιμ' ἄν· οὐ δεῖ γὰρ κεκρύφθαι τὸν λόγον.
ἡμῖν γάρ, ὦ γυναῖκες, εἴπερ μέλλομεν
ἀναγκάσειν τοὺς ἄνδρας εἰρήνην ἄγειν,
ἀφεκτέ' ἐστιν---
Μυ. τοῦ; φράσον.
Λυ. ποιήσετ' οὖν;
Μυ. ποιήσομεν, κἂν ἀποθανεῖν ἡμᾶς δέῃ.
Λυ. ἀφεκτέα τοίνυν ἡμίν ἐστι τοῦ πέους.
τί μοι μεταστρέφεσθε; ποῖ βαδίζετε;
αὗται, τί μοι μυᾶτε, κἀνανεύετε;
τί χρὼς τέτραπται; τί δάκρυον κατείβεται;
ποιήσετ', ἢ οὐ ποιήσετ'; ἢ τί μέλλετε;
Μυ. οὐκ ἂν ποιήσαιμ'· ἀλλ' ὁ πόλεμος ἑρπέτω.
Κα. μὰ Δί' οὐδ' ἔγωγ' ἄρ'· ἀλλ' ὁ πόλεμος ἑρπέτω.
Λυ. ταυτὶ σὺ λέγεις, ὦ ψῆττα; καὶ μὴν ἄρτι γε
ἔφησθα σαυτῆς κἂν παρατεμεῖν θἤμισυ.

122. Hic et seq. v. quæ vulgo Calonicæ partes tribuuntur, eas in Myrrhinam transtuli, quæ prima patefactum Lysistratæ consilium rejicit v. 129. Facetum est eam omnium cupidissimam fuisse rei cognoscendæ. Eo etiam ducit personarum distinctio in Reg. codd. quæ infra observabitur.

124. ἡμίν ἐστι. Sic partim ob metrum, partim ob euphoniam scribendum. Male vulgo ἡμῖν ἐστιν.

128. Aug. et Juntina bis in hoc versu, et supra 122. ποήσετ'. Aug. v. seq. ποήσαιμ', ex inepta librariorum circa metrum sollicitudine, qui ne sibimet ipsis quidem in ea scriptura constant; nec magis cum codicibus concordant impressi libri. ποιῶν forma est Atticis incognita, quibus diphthongus οι multis in vocibus corripitur, ut οἴει infra 247. ποιητὴς, 368. ποῖον Eq. 32. οἷοι, 736. τοιοῦτος, passim, ut αι in δείλαιος, Pl. 850. Scholion Ms. ad Plutum 14. τοῦ δὲ ποιεῖν ἡ παραλήγουσα κοινὴ, καὶ οὐ χρὴ ποεῖν γράφειν. Recte monenti veteri magistro nos ubique morem gessimus, et inauditum Atticis illud ποεῖν, in editionibus tam frequenter obvium, e textu nostro prorsus ejecimus: quod semel monuisse satis esto.

129. ὁ πόλεμος ἑρπέτω. *Bella pergant protinus*, ut recte vertit Florens. Suidas ἐρρέτω legisse videtur, et si ad hunc locum respexit, pessime eum interpretatus est.

130. οὐδ' ἔγωγ' ἄρ'—Male vulgo ἐγὼ γάρ.

Κα. ἄλλ', ἄλλ' ὅ τι βούλει· κᾆν με χρῇ, διὰ τοῦ πυρὸς
ἐθέλω βαδίζειν· τοῦτο μᾶλλον τοῦ πέους.
οὐδὲν γὰρ οἷον, ὦ φίλη Λυσιστράτη.
Λυ. τί δαὶ σύ;
Λα. κἀγὼ βούλομαι διὰ τοῦ πυρός.
Λυ. ὦ παγκατάπυγον θἡμέτερον ἅπαν γένος.
οὐκ ἐτὸς ἀφ' ἡμῶν εἰσὶν αἱ τραγῳδίαι.
οὐδὲν γάρ ἐσμεν πλὴν Ποσειδῶν καὶ σκάφη.
ἀλλ', ὦ φίλη Λάκαινα, σὺ γὰρ ἐὰν γένῃ
μόνη μετ' ἐμοῦ, τὸ πρᾶγμ' ἀνασωσαίμεσθ' ἔτ' ἄν,
ξυμψήφισαί μοι.
Λα. χαλεπὰ μὲν, ναὶ τὼ σιώ,
γυναῖκας ἔσθ' ὑπνῶν, ἄνευ ψωλᾶς, μόνας.
ὅμως γα μὰν δεῖ· δεῖ γὰρ εἰράνας μάλ' αὖ.

133. ἄλλ', ἄλλ'—id est ἄλλο, ἄλλο—vividius quam ut vulgo ἀλλὰ ἄλλο. κᾆν με χρῇ. Male vulgo χρή. Impersonalis hujus verbi indicativus est χρὴ, optativus χρείη, subjunctivus χρῇ. Suidas supra laudatus ad v. 113. χρὴ ὀξυτόνως, ἤγουν δεῖ. χρῇ δὲ περισπωμένως, τὸ ὑποτακτικὸν, σημαίνει δὲ τὸ δέῃ.

136. τί δαὶ σύ; Sic tres codd. quod, iis etiam nolentibus, reponi debuisset. Nam vulgatum δὲ in metrum peccat. κἀγὼ βούλομαι. Non ita credo scripsisse Comicum. Rariori verbo Laconico substituerunt librarii glossam. Legebatur olim procul dubio: κἀγὼ δήλομαι διὰ τοῦ πυρός. Verbum δήλεσθαι illustrat Valckenarius in Theocriteis p. 258. ad Brasidæ epistolam patria brevitate scriptam ad Ephoros: ἅσσ' ἂν δηλῶμαι πραξῶ ποττὸν πόλεμον, ἢ τεθναξοῦμαι.

137. ὦ παγκατάπυγον. Vulgo divisim πᾶν κατάπυγον. Eadem est compositionis ratio quam in παγκατάρατος v. 588. παμβδελυρὸς et παμμυσαρὸς, 969. παγγλυκερὸς, 970. παμμίαρος, Ran. 466. παμπόνηρος, 106. infinitisque hujus generis aliis. Idem etiam Reiskio placuisse video.

141. Vulgo profligato metro legitur:

μόνη μετ' ἐμοῦ, τὸ πρᾶγμ' ἂν σωσαίμεσθ' ἔτι.

Aug. τὸ πρᾶγμα σωσαίμεσθ' ἔτι. Regii, τὸ πρᾶγμ' ἀνασωσαίμεσθ' ἔτι. Genuinam ex indole linguæ restituimus lectionem, τὸ πρᾶγμ' ἀνασωσαίμεσθ' ἔτ' ἄν.

143. γυναῖκας ἔσθ' ὑπνῶν. Sic recte Dawesius. Perperam vulgo transpositis vocibus, γυναῖκας ὑπνῶν ἐστ'—Vide ad Plutum 166. In indice Thesauri H. Stephani legitur: ψωλὴ *affertur pro mentula, sed* ἀμαρτύρως. En tibi testem idoneum. Vide infra 979. et Av. 560.

144. Vulgo absque ullo sensu sic legitur hic versus:

ὅμως γέ μ' ἂν δεῖ. τὰς γὰρ εἰράνας μάλ' αὖ.

Nil discrepant codd. nisi quod omnes μὰν habent, quæ quidem facilis erat emendatio, nec cuiquam in eo aqua hæsit. Reliqua tentavit, sed infeliciter, Dawesius; non melius conjectura cessit Gisb. Kœnio, quem vide ad Corinthum p. 110. Elegantissimum est ét procul dubio verum, quod excogitavit Jo. Toupius ad Suid. ii. 164. quod nisi recepissemus, Comico nostro fecissemus injuriam.

Λυ. ὦ φιλτάτη σὺ, καὶ μόνη τούτων γυνή.
Μυ. εἰ δ᾽ ὡς μάλιστ᾽ ἀπεχοίμεθ᾽ οὗ σὺ δὴ λέγεις,
ὃ μὴ γένοιτο, μᾶλλον ἂν διὰ τουτογὶ
γένοιτ᾽ ἂν εἰρήνη;
Λυ. πολύ γε, νὴ τὼ θεώ.
εἰ γὰρ καθοίμεθ᾽ ἔνδον ἐντετριμμέναι,
κἀν τοῖς χιτωνίοισι τοῖς ἀμοργίνοις
γυμναὶ παρίοιμεν, δέλτα παρατετιλμέναι,
στύοιντ᾽ ἂν ὤνδρες, κἀπιθυμοῖεν πλεκοῦν,

146. Hic et infra sæpius, ubi Myrrhinæ partes tribuimus, quæ vulgo sunt Calonicæ, auctoritatem sequimur binorum Reg. codd.

149. *εἰ γὰρ καθοίμεθ᾽*—Vulgo *καθήμεθ᾽* contra syntaxin, siquidem sequentia verba, ab eadem particula *εἰ* pendentia, sunt in optativo. Legitur quidem in puerilibus linguæ institutionibus verbum *κάθημαι* optativo et subjunctivo carere. Sed ab his magistellis dissentit Comicus noster. Vid. Ran. 919. et 1046. Quando in protasi verbum in imperfecto ponitur vel aoristo indicativo cum particula *εἰ*, alterum verbum in apodosi ponitur etiam in indicativo cum particula *ἂν*, et vice versa. Conc. 407.

ἔγωγ᾽ ἂν εἶπον, εἰ παρὼν ἐτύγχανον.

Ran. 1195. Philemon in Floril. Grotii p. 127.

εἰ μὴ τοτ᾽ ἐπόνουν, νῦν ἂν οὐκ εὐφραινόμην.

Confer quæ notavi ad Euripidis Hippol. 705. Sic etiam solutæ orationis scriptores: Andocides contra Alcibiadem in fine: *καίτοι εἰ τῶν πρωτευόντων ἕκαστος τὰ αὐτὰ ἐποίησεν, ὀλίγους ἂν πολεμίους εἴχετε, καὶ πολλοὺς συμμάχους ἐκέκτησθε.* Itaque *καθήμεθ᾽* in imperfecto hic legi non potest, nisi solœce.

150. *κἀν*, id est *καὶ ἐν*. Male editio Burmanni *κἂν*, quod valet *καὶ ἄν*. *τοῖς ἀμοργίνοις*, e lino vel bysso, qui optimus in insula Amorgo, e Sporadibus una, proveniebat. Inde *ἀμοργὸς* pro quolibet bysso vel lino.

152. *στύοιντ᾽ ἂν ὤνδρες.* Dubium non est, quin hic scripsisset Dawesius *ἄνδρες*, pro *οἱ ἄνδρες*, quod nos *ὤνδρες* scribimus. Sed quanam vi articulum intrusisset in præcedentem versum, ubi nomini *δέλτα* non minus necessario adjungi deberet, si Comicis non licuisset substantivum sine articulo efferre? *στύειν* et *στύεσθαι* verba sunt Comico nostro valde frequentata: Latinis *arrigere*; ut in isto Martialis disticho:

Mentula tam magna est, tantus, tibi, Papile, nasus,
ut possis, quoties arrigis, olfacere.

In nominibus quibusdam propriis, quorum significatio cum hoc verbo nihil habet commune, jocum quæsiverunt faceti nebulones, *Ἀστυάνακτα* vel *Ἀστυάγην* appellantes eum cui stare mentula desiit. Strato Epigr. x.

ἀλλ᾽ ἐμὲ μήκετ᾽ ἔχοιτε φίλοι φίλον, ἀλλ᾽ ἀπὸ πύργου
βάλλετ᾽, ἐπεὶ λίην Ἀστυάναξ γέγονα.

Fronto in Epigr. quod infra explicabo:

καί σε ποιήσουσιν αἱ τρίχες Ἀστυάγην.

στύοιντ᾽ ἂν ὤνδρες. Vulgo *ἂν ἄνδρες.* Hanc aliasque similes crases negligere solennis est librariorum mos. Ubi *ὡγὼν* ponendum erat, vel *ὠὐτὸς*, vel *ὡνὴρ*, illi *ἀγὼν*, *αὐτὸς*, *ἀνὴρ*, frequentant. Peccato in ultima voce vereor ne sæpius, quam oportuerat, pepercerim: quod, vineta ipse mea cædens, ingenue profitebor. *οἱ α* in *ῳ* coalescunt. Strattis apud Athenæum p. 323. B.

ἡμεῖς δὲ μὴ προσίοιμεν, ἀλλ' ἀπεχοίμεθα,
σπονδὰς ποιήσαιντ' ἂν ταχέως, εὖ οἶδ' ὅτι.
Λα. ὁ γῶν Μενέλαος τᾶς Ἑλένας τὰ μᾶλά πα
γυμνὰς παρεσιδὼν, ἐξέβαλ', οἴω, τὸ ξίφος.
Μυ. τί δ', ἢν ἀφίωσ' ἄνδρες ἡμᾶς, ὦ μέλε;
Λυ. τὸ τοῦ Φερεκράτους, κύνα δέρειν δεδαρμένην.
Μυ. φλυαρία ταῦτ' ἐστὶ τὰ μεμιμημένα.
ἐὰν δὲ λαβόντες ἐς τὸ δωμάτιον βίᾳ
ἕλκωσιν ἡμᾶς;
Λυ. ἀντέχου σὺ τῶν θυρῶν.
Μυ. ἐὰν δὲ τύπτωσι;

τίς δ' ἐστὶν ἡ σφύραινα; φησὶν ἄτιχες,
κέστραν μὲν ὔμμες φ' ττικοὶ κικλήσκετε.

Quod autem apud Comicum exempla occurrant oppido pauca omissi in similibus articuli, id metri necessitate semper contigisse deprehendas, ut in super. v. *δίλτα παραπεπιλμέναι.* Regulariter enim scribere debuit *τὸ δίλτα*, ut supra *τὴν βληχὼ*, et Thesm. 538. 540. Conc. 724. *τὸν χοῖρον*. Eadem necessitate Conc. 624. *τρύπημα* sine articulo legitur.

155. *ὁ γῶν.* Sic Aug. Vulgo divisim *ὅ γ' ὦν.* — *τὰ μᾶλά πα.* Sic duo Regii. In Aug. ut in Juntina et aliis veteribus *πο.* Doricum est *πα*, quod e Theocrito satis notum.

156. *παρεσιδών.* Sic Aug. et B. cum veteribus editionibus: recentiorum *παρενιδὼν* est in A. Respicit ad Euripidis Andromacham, ubi Peleus v. 628. sic Menelao exprobrat:

οὐκ ἔκτανες γυναῖκα χειρίαν λαβών
ἀλλ' ὡς ἐσεῖδες μαστὸν, ἐκβαλὼν ξίφος,
φίλημ' ἐδέξω, προδότιν αἰκάλλων κύνα,
ἥσσων πεφυκὼς Κύπριδος, ὦ κάκιστε σύ.

157. *τί δ', ἢν ἀφίωσ' ἄνδρες ἡμᾶς, ὦ μέλε;* Sic libri omnes scripti et ante Kusterum impressi. At ille: *Ut versus hic sit ἀρτίπους, pro ἀφίωσ' legendum est ἀφίωσιν.* Quod non monuisse contentus, prava emendatione bonum versum corrupit. Ignorabat, ut qui prosodiæ non tam peritus esset, quam poëtæ editorem oportebat, verbum *ἵημι* cum suis compositis omnibus primam producere. Vide Nub. 397. 1214. 1426. 1494. Eq. 430. 436. 522. 756. Centena e Comico nostro proferri possent exempla, ne Tragicos memorem. Cratinus apud Strobæum p. 425. Floril. Grotii:

αὐτόματα τοῖσι θεὸς ἀνίει τἀγαθά.

Sic legendus iste senarius: male vulgo *ἀνοίγει.*

158. *κύνα δέρειν δεδαρμένην.* Quod eo sensu dixerat Pherecrates, quo postea *ἐπὶ τῶν μάτην πονούντων* in proverbium abiit, id aliorsum trahit faceta mulier. Penem coriaceum intelligit, cujus mentio supra v. 109. quique inter instrumenta muliebris mundi recensetur in Thesmophor. ii.

160. *ἐὰν δὲ λαβόντες ἐς τὸ δωμάτιον βίᾳ.* Sic concinne duo Regii. Vulgo *ἐὰν λαβόντες δ' ἐς*—

162. *τύπτωσι.* Sic duo Regii. Vulgo *τύπτωσιν.* *παρέχειν* verbum est palæstræ Veneriæ. Vide Stratonis Epigr. xiii. Sic Latinis *præbere*. Ovidius de A. A. ii. 685.

Odi quæ præbet, quia sit præbere necesse,
siccaque de lana cogitat ipsa sua.

166. *ξυμφέρῃ.* Sic duo Regii. Ovidius ibidem:

Quod juvet, ex æquo femina virque ferant:
odi concubitus, qui non utrumque resolvunt.

Λυ. παρέχειν χρὴ κακὰ κακῶς.
οὐ γάρ ἔνι τούτοις ἡδονὴ, τοῖς πρὸς βίαν.
κἄλλως ὀδυνᾷν χρή· κἀμέλει ταχέως πάνυ
ἀπεροῦσιν. οὐ γὰρ οὐδέ ποτ᾽ εὐφρανθήσεται
ἀνὴρ, ἐὰν μὴ τῇ γυναικὶ ξυμφέρῃ.
Μυ. εἴ τοι δοκεῖ σφῷν ταῦτα, χ᾽ ἡμῖν ξυνδοκεῖ.
Λα. καὶ τὼς μὲν ἁμῶν ἄνδρας ἅμες πείσομες,
παντᾶ δικαίως ἄδολον εἰράναν ἄγειν·
τὸν τῶν Ἀσαναίων γα μὰν ῥυάχετον
πᾶ καί τις ἂν πείσειεν αὖ μὴ πλαδδιῆν;
Λυ. ἡμεῖς ἀμέλει σοι τά γε παρ᾽ ἡμῖν πείσομεν.
Λα. οὐχ ἇς σποδᾶς γ᾽ ἔχωντι ταὶ τριήρεες,
καὶ τἀργύριον τὤβυσσον ᾖ παρὰ τᾷ σιῷ.

167. In tribus codicibus hic versus eidem personæ tributus ac sequentes: præfixum est ei in duobus Regiis nomen Λαμπ. Hanc distinctionem primo admiseram, scribendo χ᾽ ἁμῖν συνδοκεῖ. Sed vulgatum postea prætuli, quia necesse videtur, ut una etiam ex Atticis mulieribus Lysistratæ consilium approbet.

169. παντᾶ δικαίως. Vulgo πάντας relatum ad ἄνδρας, satis inficete. Aug. et B. πάντα. A. πάντως e glossemate. E dialecti usu scribendum παντᾶ, quod apud Theocritum sæpius occurrit.

170. ῥυάχετον. Regii ῥυχάχετον. Aug. ut vulgo ῥυγχάχετον. Scripturam Hesychio probatam recepi. ῥυάχετον, θόρυβον, ἢ τὸν ῥέοντα ὀχετόν· quam ad glossam vide interpretes.

171. πᾶ καί τις ἂν πείσειεν αὖ μὴ πλαδδιῆν; Sic duo Regii: nisi quod in altero πλαδδιῇν subscripto ι, quod in Doricis melius omittitur. Suidas in ῥυχάχετον habet πλαδδιεῖν, unde genuinam lectionem, Dorica restituta forma, indicavit et illustravit Gisb. Kœn, cujus erudita nota ad Corinthum p. 104. omnino legenda. Vulgo corruptissime μὴ πλαδδικῶ. πλαδδιῆν significat *nugari, delicias facere*. Infra 990. in imperativo μηδ᾽ αὖ πλαδδίη.

173. οὐχ ἇς—ἔχωντι. ἇς Doricum est pro ἕως, ὅπως, μέχρις οὗ. Vide Hesychium. Sic sine accentu scriptum est in Aug. et in B. in hoc σποδᾶς γ᾽ ἔχοντι in Aug. οὐχ᾽ ἇς σπουδὰς ἔχοντι. A. οὐχ ὧς σποδὰς ἔχοντι. Viris doctissimis Kœnio et Valckenario placuit etiam subjunctivus ἔχωντι, ideo reponendus, quia sequitur ᾖ in altero versu, ab eadem particula ἇς pendens. In ceteris interpretationem secutus sum Jo. Toupii Cur. Nov. in Suidam p. 2. ubi e Sophoclis Œdipo Tyr. 709. ostendit verbum ἔχειν bene cum genitivo σποδᾶς, Dorico pro σπουδῆς, construi.

καὶ μάθ᾽ οὕνεκ᾽ ἐστί σοι
βρότειον οὐδὲν μαντικῆς ἔχον τέχνης.

Huic exemplo duo alia addo ex eodem dramate. v. 345.

καὶ μὴν παρήσω γ᾽ οὐδὲν, ὡς ὀργῆς ἔχω.

et v. 1477. juxta vulgatam lectionem, bonam illam quidem, sed veteribus libris non comprobatam, ut olim declarabo:

γνοὺς τὴν παροῦσαν τέρψιν, ἧς εἶχες πάλαι.

Hæc ad confirmandam nostram lectionem sufficiunt. Verumtamen debita laude non fraudanda est elegans Valckenarii conjectura in Euripidea diatribe p. 235. proposita, Comici nostri ingenio

Λυ. ἀλλ᾽ ἔστι καὶ τοῦτ᾽ εὖ παρεσκευασμένον.
καταληψόμεθα γὰρ τὴν ἀκρόπολιν τήμερον.
ταῖς πρεσβυτάταις γὰρ προστέτακται τοῦτο δρᾷν,
ἕως ἂν ἡμεῖς ταῦτα συντιθώμεθα,
θύειν δοκούσαις καταλαβεῖν τὴν ἀκρόπολιν.
Λα. παντᾶ κ᾽ ἔχοι, καὶ τᾷδε γὰρ λέγεις καλῶς.
Λυ. τί δῆτα ταῦτ᾽ οὐχ ὡς τάχιστα, Λαμπιτοῖ,
ξυνωμόσαμεν, ὅπως ἂν ἀῤῥήκτως ἔχῃ;
Λα. πάρφαινε μὰν τὸν ὅρκον, ὡς ὀμιώμεθα.
Λυ. καλῶς λέγεις. ποῦ 'σθ᾽ ἡ Σκύθαινα; ποῖ βλέπεις;
θὲς ἐς τὸ πρόσθεν ὑπτίαν τὴν ἀσπίδα.
καί μοι δότω τὰ τομία τις.
Μυ. Λυσιστράτη,

quam maxime digna, quam si quis recipi debuisse contendat, ei non valde refragabor:

οὐχ ἇς πόδας γ᾽ ἔχωντι ταὶ τριήρεις.

176. καταληψόμεθα. Hanc formam metrum omnino flagitat, vulgatamque respuit καταληψόμεσθα.

178. συντιθώμεθα. Sic tres codd. editionesque recentiores. Errore, ut puto, typothetæ, in Juntina excusum σκυτιθώμεθα, quod retinuerunt Cratander et Frobenius. Sed Veneti huic corruptelæ mederi cupientes inepte reposuerunt σκυτιζώμεθα. Notatu vix dignum hoc ideo observo, ut intelligant præclari illi doctores, qui nihil in veteris scriptoris textu mutari sustinent, quanti pretii sint, et quali plerumque nitantur auctoritate vulgatæ lectiones absurdissimæ, quas ipsi absurdioribus argumentis defendunt. Vide notam infra 702.

179. δοκούσαις. Sic tres codd. Juntina, prior Basileensis, duæ Venetæ, Parisina Wecheli. Parum accurate Kusterus ait in prioribus editionibus legi δοκούσας. Id quidem reperio in Frobeniana: ceteræ nullius sunt momenti. Sed verum est quod addit, parum vel nihil interesse utro modo legatur. Vide quæ notavimus ad Euripidis Medeam 56. Attamen, licet ad sensum nihil intersit, ea procul dubio præferenda est lectio, quam tuentur libri scripti omnes et impressi antiquissimi.

180. παντᾶ κ᾽ ἔχοι, καὶ τᾷδε—id est πάντως ἂν ἔχοι—Male vulgo contra metri præscriptum τάδε. Unus e Regiis πάντα γ᾽ ἔχοι—pejus alter πάντ᾽ ἔχοι. Jam supra observavi Doricum hoc adverbium accentu circumflexo notandum esse, quo tollitur lectoris hæsitatio. Perspicue in A. τᾶδε.

182. ἀῤῥήκτως. Aug. ἀῤῥήτως. Haud infrequens in harum vocum permutatione librariorum lapsus, nobis observatus ad Apollonium i. 917. In sup. v. solius euphoniæ causa prætulerim lectionem codicis B. ὡς τάχιστ᾽, ὦ Λαμπιτοῖ.

183. ὡς ὀμιώμεθα. Dorica forma in tribus codicibus servata: vulgo ὀμώμεθα.

184. Servi publici Athenis, magistratuum apparitores, τοξόται, quorum frequens in his fabulis mentio, peregrini erant et barbari, plerique e Scythia, ideo peculiari nomine Σκύθαι etiam vocati, ut infra videbitur. Facete nunc Lysistrata famulam compellat, tanquam publicam muliebris concilii ministram, Σκύθαιναν. Noli enim hoc cum Kustero pro nomine proprio accipere. Sic in Conc. habemus κηρύκαιναν.

τίν' ὅρκον ὁρκώσεις ποθ' ἡμᾶς;
Λυ. ὅν τινα;
εἰς ἀσπίδ', ὥσπερ, φασὶν, Αἰσχύλος ποτὲ,
μηλοσφαγούσας.
Μυ. μὴ σύ γ', ὦ Λυσιστράτη,
εἰς ἀσπίδ' ὀμόσῃς μηδὲν εἰρήνης πέρι.
Λυ. τίς ἂν οὖν γένοιτ' ἂν ὅρκος;
Μυ. εἰ λευκόν ποθεν
ἵππον λαβοῦσαι, τόμιον ἐντεμοίμεθα.
Λυ. ποῖ λευκὸν ἵππον;
Μυ. ἀλλὰ πῶς ὀμούμεθα
ἡμεῖς;
Λυ. ἐγώ σοι, νὴ Δί', ἢν βούλῃ, φράσω.
θεῖσαι μέλαιναν κύλικα μεγάλην ὑπτίαν,
μηλοσφαγοῦσαι Θάσιον οἴνου σταμνίον,
ὀμόσωμεν ἐς τὴν κύλικα μὴ 'πιχεῖν ὕδωρ.

188. *ὥσπερ, φασὶν, Αἰσχύλος ποτέ.* Id est, *ὥσπερ ποτὲ ἐποίησεν Αἰσχύλος, ὥς φασιν.* Hanc lectionem, distinctione tantum juvandam, in duobus codicibus reperit, et, si quid recte judico, corrupit Kusterus. Eam exhibet etiam B. Veterem editionum lectionem *ὥσπερ φάσ' ἐν Αἰσχύλῳ ποτὲ* habet Aug. Est quidem in A. quod ille volebat *φησίν.* sed e librarii emendatione putantis hoc verbum a sequenti nomine *Αἰσχύλος* pendere. Multo melius in ore mulieris, Æschylum dubitanter et ex aliorum sermone citantis, *φασὶν*, per parenthesin insertum. Respicit autem ad Septem ad Thebas 42.

ἄνδρες γὰρ ἑπτὰ, θούριοι λοχαγέται,
ταυροσφαγοῦντες ἐς μελάνδετον σάκος,
καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου
ὡρκωμότησαν—

189. *μηλοσφαγούσας.* Sic duo Regii. In Aug. et in Juntina *μηλοσφαγούσαις.*

192. *τόμιον ἐντεμοίμεθα.* Sic bene Regii. *ἔντομα*, sicut in *τόμια* seu *τομία* (priori modo in codd. positus accentus) sunt *τὰ ἱερὰ ἃ σφάζοντες ὀμνύουσιν·* unde *ἔντομοι, ἔνορκοι.* Vide Hesychium in his vocibus. Perperam vulgo *ἐκτεμοίμεθα.* *ἐντέμνεσθαι* verbum est ad sacra pertinens, et hic valet *sacrificare.* Diversa significatio alterius compositi, quæ hujus loci non est. *λευκὸν ἵππον* opponit Æschyli *tauro.* Sed nolit faceta mulier hoc de quadrupede intelligi; mentulam innuit, quam mox abjuratura est. Vide Scholiastem.

194. *ἢν βούλῃ.* Sic bene Regii. Solœce vulgo *ἢν βούλει.* Terminatio illa Attica 2. pers. formæ passivæ locum habet tantum in indicativo.

195. *θεῖσαι μέλαιναν κύλικα μεγάλην ὑπτίαν.* Parodia est Æschylei versus. *μέλαιναν μεγάλην κύλικα* pro *μελάνδετον σάκος·* et *ὑπτίαν*, quia sic clypei humi ponebantur: supra 185. *θὲς ἐς τὸ πρόσθεν ὑπτίαν τὴν ἀσπίδα:* et Acharn. 583. *παράθες νῦν ὑπτίαν αὐτὴν ἐμοί.*

197. *ὀμόσωμεν.* Sic recte emendavit Dawesius Miscellan. Crit. p. 337. mendose vulgo *ὀμόσομεν.* Quod reposuimus, perspicue scriptum reperimus in Aug.

Λα. φεῦ δᾶ τὸν ὅρκον· ἄφατον ὡς ἐπαινιῶ.
φερέτω κύλικά τις ἔνδοθεν καὶ σταμνίον.
Λυ. ὦ φίλταται γυναῖκες, ὄχλος κεραμῶν ὅσος.
ταύτην μὲν ἄν τις εὐθὺς ἡσθείη λαβών.
καταθεῖσα ταύτην, προσλαβοῦ μοι τοῦ κάπρου.
δέσποινα Πειθοῖ, καὶ κύλιξ φιλοτησία,
τὰ σφάγια δέξαι ταῖς γυναιξὶν εὐμενής.
Μυ. εὔχρων γε θαἶμα, κἀποπυττίζει καλῶς.
Λα. καὶ μὰν ποτόδδει γ' ἀδὺ, ναὶ τὸν Κάστορα.
Λυ. ἐᾶτε πρώτην μ', ὦ γυναῖκες, ὀμνύναι.
Μυ. μὰ τὴν Ἀφροδίτην οὐκ, ἐάν γε μὴ λάχῃς.
Λυ. λάζυσθε πᾶσαι τῆς κύλικος, ὦ Λαμπιτοῖ·
λεγέτω δ' ὑπὲρ ὑμῶν μί' ἅπερ ἂν κἀγὼ λέγω.
ὑμεῖς δ' ἐπομεῖσθε ταὐτὰ, κἀμπεδώσετε.

200. Vulgo sic legitur hic versus: **ὦ φίλταται γυναῖκες, κεραμίων ὅσος,** sine ullo sensu et jugulato metro. Nihil discrepat Aug. nisi in accentu **κεραμιῶν.** Iterum hic nos destituunt duo Regii, in quibus post v. 199. lacuna est usque ad 268. Continuati hi versus in A. vacuum in altero relictum spatium quatuor paginarum et dimidiæ. Sed deficientium codicum, quos vix credo melius quid adlaturos fuisse, si integri essent, vicem explet Jo. Toupii sagacitas, cujus integra legatur nota Emend. in Suidam tom. ii. pag. 21. Ducta emendatio e Cod. Vossiano, unde eam eruere non erat **τοῦ τυχόντος,** quod Kusterus expertus est.

202. **προσλαβοῦ μοι τοῦ κάπρου.** Male vulgo **προσλαβοῦ μου.** Eleganter hic **μοι** abundat, quod centies in his fabulis, utpote in familiari sermone, observabitur, et sæpe commutatum a librariis vel editoribus pronominis casum restituimus. Vide infra 1074. Ran. 1119. 1200. Sic *mihi*, *tibi* frequenter Comici Latini. Ter. Phorm. v. 9. 21.

Qui mi, ubi ad uxores ventum 'st,
tum fiunt senes.

ad quem locum Donatus versum citat ex Heautont. ii. 1. 8.

Perii! is mi ubi adbibit plus paulo,
sua quæ narrat facinora!

Pleni sunt exemplorum. Per **κάπρον** *verrem*, quod animal in sacris maxime mactabatur, quibus fœdera sancienda, ut discere est ab exemplis in Stephani Thesauro prolatis v. **τομίον**: urceum illum innuit vini Thasii, qui pro victima in scenam illatus. Juratuii autem prosecta tangebant, ut apud Æschylum:

καὶ θιγγάνοντες χερσὶ ταυρείων φόνου.

Ideo mulieres jubet Lysistrata manum urceo admovere. Ineptit Scholiastes per **κάπρον** muliebre pudendum intelligi existimans. Satis facetus est jocus ex allusione perpetua ad sacrorum ritum, ut nihil quæratur obsceni.

205. **κἀποπυττίζει.** Sic etiam in Aug. scriptum, sed minus bene. Scribi debet per unicum **τ**, ut apud Etymologicum est. Vide Salmasium ad H. A. p. 150. A Græco **πυτίζειν** derivatum Latinum *pytisma*, prima etiam longa. Juven. xi. 173.

Qui Lacedæmonium pytismate lubricat orbem.

209. **λάζυσθε.** Sic bene Aug. Vulgo **λάζεσθε.**

οὐκ ἔστιν οὐδεὶς οὐδὲ μοιχὸς, οὐδ᾽ ἀνὴρ - - -
Μυ. οὐκ ἔστιν οὐδεὶς οὐδὲ μοιχὸς, οὐδ᾽ ἀνὴρ - - -
Λυ. ὅστις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. λέγε.
Μυ. ὅστις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. παπαὶ,
ὑπολύεταί μου τὰ γόνατ᾽, ὦ Λυσιστράτη.
Λυ. οἴκοι δ᾽ ἀταυρώτη διάξω τὸν βίον - - -
Μυ. οἴκοι δ᾽ ἀταυρώτη διάξω τὸν βίον - - -
Λυ. κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη.
Μυ. κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη.
Λυ. ὅπως ἂν ὡνὴρ ἐπιτυφῇ μάλιστά μου.
Μυ. ὅπως ἂν ὡνὴρ ἐπιτυφῇ μάλιστά μου.
Λυ. κοὐδέποθ᾽ ἑκοῦσα τἀνδρὶ τῷ 'μῷ πείσομαι.
Μυ. κοὐδέποθ᾽ ἑκοῦσα τἀνδρὶ τῷ 'μῷ πείσομαι.
Λυ. ἐὰν δέ μ᾽ ἄκουσαν βιάζηται βίᾳ - - -
Μυ. ἐὰν δέ μ᾽ ἄκουσαν βιάζηται βίᾳ - - -
Λυ. κακῶς παρέξω, κοὐχὶ προσκινήσομαι.
Μυ. κακῶς παρέξω, κοὐχὶ προσκινήσομαι.
Λυ. οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰς Περσικάς.
Μυ. οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰς Περσικάς.
Λυ. οὐ στήσομαι λέαιν᾽ ἐπὶ τυροκνήστιδος.
Μυ. οὐ στήσομαι λέαιν᾽ ἐπὶ τυροκνήστιδος.
Λυ. ταῦτ᾽ ἐμπεδοῦσα μὲν πίοιμ᾽ ἐντευθενί.

221. ὅπως ἂν ὡνήρ. Vulgo ἀνήρ. Articulus hic omnino requiritur, ut significetur *vir meus*: alias ἀνὴρ sine articulo esset *vir quilibet*.

227. κακῶς παρέξω. Ovidius Am. i. 4.

Verum invita dato, potes hoc, similisque coactæ;
Blanditiæ taceant, sitque maligna Venus.

Mulierum mobilitas concinniorem, ut ait Lucretius, Venerem facit viris. Hinc apud Plautum Asin. iv. 1. quum in syngrapho de meretrice in annum conducenda, caveret parasitus ne illi liceret noctu quicquam membri sui commovere, adolescens excipit his verbis:

optumum est;
ita scilicet facturam: verum in cubiculo
deme istuc: equidem illam moveri gestio.

229. ἀνατενῶ τὰς Περσικάς. In Conc. 265. εἰθισμέναι γὰρ ἐσμὲν αἴρειν τὰ σκέλη. Mendosum est, ut reor, τὰ Πασικά. Aliis in locis ubi nomen hoc occurrit, forma feminina legitur: Thesm. 734. Conc. 319. Nub. 151. Pollux. vii. 92. ἴδια δὲ γυναικῶν ὑποδήματα, Περσικαί. Sic in Mss. scriptum. Repone itaque τὰς Περσικάς.

231. οὐ στήσομαι λέαιν᾽ ἐπὶ τυροκνήστιδος. Id est, οὐ τετραποδηδὸν στήσομαι, ut est in Pace 996. Est autem σχῆμα συνουσίας, quod nebulones nostri nomine e canino genere sumto indigetant. Adluditur ad morem summa cultellorum manubria leænæ figura ornandi sub-

Μυ. ταῦτ' ἐμπεδοῦσα μὲν πίοιμ' ἐντευθενί.
Λυ. εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῇθ' ἡ κύλιξ.
Μυ. εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῇθ' ἡ κύλιξ.
Λυ. ξυνεπόμνυθ' ὑμεῖς ταῦτα πᾶσαι;
Κα. νὴ Δία.
Λυ. φέρ' ἐγὼ καθαγίσω τήνδε.
Μυ. τὸ μέρος γ', ὦ φίλη,
ὅπως ἂν ὦμεν εὐθὺς ἀλλήλων φίλαι.
Λα. τίς ἅδ' ὀλολυγά;
Λυ. ταῦτ' ἐκεῖν' ὁὐγὼ 'λεγον.
αἱ γὰρ γυναῖκες τὴν ἀκρόπολιν τῆς θεοῦ
ἤδη κατειλήφασιν. ἀλλ', ὦ Λαμπιτοῖ,
σὺ μὲν βάδιζε, καὶ τὰ παρ' ὑμῶν εὖ τίθει,
τασδὶ δ' ὁμήρους κατάλιφ' ἡμῖν ἐνθάδε.
ἡμεῖς δὲ ταῖς ἄλλαισι ταῖσιν ἐν πόλει
ξυνεμβάλωμεν εἰσιοῦσαι τοὺς μοχλούς.
Μυ. οὔκουν ἐφ' ἡμᾶς ξυμβοηθήσειν οἴει
τοὺς ἄνδρας εὐθύς;
Λυ. ὀλίγον αὐτῶν μοι μέλει.
οὐ γὰρ τοσαύτας οὐδ' ἀπειλὰς, οὐδὲ πῦρ,
ἥξουσ' ἔχοντες, ὥστ' ἀνοῖξαι τὰς πύλας
ταύτας, ἐὰν μὴ 'φ' οἷσιν ἡμεῖς εἴπομεν.
Μυ μὰ τὴν 'Αφροδίτην οὐδέποτέ γ'· ἄλλως γὰρ ἂν

missis genibus subsidentis. De meretrice Λέαινα dicta ne cogitandum quidem.

235. ὕδατος ἐμπλῇθ' ἡ κύλιξ. Certissimam Dawesii emendationem recepi. Vulgo corrupte legitur ἐμπλησθῇ κύλιξ. Græcum verbum est: ἔμπλημι. Passivum ἔμπλημαι, ἐμπλήμενος: optativus ἐμπλήμην, ἐμπλῇο, ἐμπλῇτο. Acharn. 236.

ὡς ἐγὼ βάλλων ἐκεῖνον οὐκ ἂν ἐμπλήμην
λίθοις.

ubi vulgo legitur ἐμπλείμην. Sic βλῆμι, βλῆμαι, βλήμενος, βλήμην, βλῇο, βλῇτο. Homerus Iliad. ν'. 288.

εἴπερ γάρ κε βλῇο πονεύμενος ἠὲ τυπείης.

ibi etiam vulgatum βλεῖο. Sed alterum invitis Grammaticis e scripto libro reponendum.

240. τίς ἅδ' ὀλολυγά; Male vulgo τίς ἁ ὀλ—

244. κατάλιφ' ἡμῖν. Male vulgo κατάλειφ'—

245. ταῖς ἄλλαισι ταῖσιν ἐν πόλει. *Cum ceteris quæ sunt in arce.* Ad intelligentiam hujus fabulæ sciendum est, antiquitus πόλιν appellatum fuisse Athenarum arcem, qua de re videndus Meursius in Cecropia cap. iii. et Hemsterhusius ad Plutum p. 260. Sæpissime in hac fabula πόλις eo sensu accipi debet, ut v. 266. 302. 317. 487. 754. 758. 912. 1183. et aliis.

ἄμαχοι γυναῖκες καὶ μιαραὶ κεκλήμεθ' ἄν.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ, ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ, ΣΤΡΑΤΥΛΛΙΣ, ΠΡΟΒΟΥΛΟΣ, ΓΥΝΗ ΤΙΣ.

Χορὸς Γεροντῶν.

Χώρει, Δράκης, ἡγοῦ βάδην, εἰ καὶ τὸν ὦμον ἀλγεῖς,
κορμοῦ τοσουτονὶ βάρος χλωρᾶς φέρων ἐλάας.
Ημ. ἦ πόλλ' ἄελπτά γ' ἐστὶν ἐν
τῷ μακρῷ βίῳ. φεῦ.
ἐπεὶ τίς ἄν ποτ' ἤλπισ', ὦ
Στυμμόδωρ', ἀκοῦσαι,
γυναῖκας, ἃς ἐβόσκομεν
κατ' οἶκον ἐμφανὲς κακὸν,
κατὰ μὲν ἅγιον ἔχειν βρέτας,
κατά τ' ἀκρόπολιν ἐμὰν λαβεῖν,
μοχλοῖς δὲ καὶ κλήθροισι
τὰ προπύλαια πακτοῦν;
Ημ. ἀλλ' ὡς τάχιστα πρὸς πόλιν σπεύσωμεν, ὦ Φιλοῦργε,
ὅπως ἂν αὐταῖς ἐν κύκλῳ θέντες τὰ πρέμνα ταυτὶ,
ὅσαι τὸ πρᾶγμα τοῦτ' ἐνεστήσαντο καὶ μετῆλθον,
μίαν πυρὰν νήσαντες, ἐμπρήσωμεν αὐτόχειρες
πάσας, ὑπὸ ψήφου μιᾶς· πρώτην δὲ τὴν Λύκωνος.
οὐ γὰρ, μὰ τὴν Δήμητρ', ἐμοῦ
ζῶντος ἐγχανοῦνται·

253. κεκλήμεθ' ἄν. Male vulgo κεκλήμεθ', tanquam si esset præteriti indicativi; est autem optativi. Sic a κέκλημαι κεκλήμην. Sophocles Phil. 119.

σοφός τ' ἂν αὐτὸς κἀγαθὸς κεκλῇ ἅμα.

a μέμνημαι μεμνήμην. Pl. 991.

ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου.

255. ἐλάας. Attice: vulgo ἐλαίας. In edit. prior. legebatur, φέρων βάρος χλωρᾶς ἐλάος de quo lege notam.

Sed laborat metrum gravi vulnere, quod nescio qua mala fortuna me fugit, quum textum describerem. Facilis est medela: abige spondeum e sexta sede, et transpositis vocibus scribe:

κορμοῦ τοσουτονὶ βάρος χλωρᾶς φέρων ἐλάας.

256. ἦ πόλλ' ἄελπτά γ' ἐστὶν ἐν. Dimeter est iambicus. Vulgo soluto metro, ἦ πόλλ' ἄελπτ' ἐστὶν ἐν.

259. Στυμμόδωρ'. Aberrasse credo in hujus nominis scriptura librarium. Reponenda videtur forma, quæ occurrit Vesp. 233. Ach. 273. Στρυμόδωρ'.

ἐπεὶ οὐδὲ Κλεομένης, ὃς αὐ-
τὴν κατέσχε πρῶτος,
ἀπῆλθεν ἄψάλακτος. ἀλλ'
ὅμως Λακωνικὸν πνέων
θὤπλ' ᾤχετο παραδοὺς ἐμοὶ,
τρίβων' ἔχων σμικρὸν πάνυ,
πινῶν, ῥυπῶν, ἀπαράτιλ-
τος, ἐξ ἐτῶν ἄλουτος.
οὕτως ἐπολιόρκησ' ἐγὼ τὸν ἄνδρ' ὅμως ἐκεῖνον,
ἐφ' ἑπτακαίδεκ' ἀσπίδων πρὸς ταῖς πύλαις καθεύδων.
τασδὶ δὲ τὰς Εὐριπίδῃ θεοῖς τε πᾶσιν ἐχθρὰς
ἐγὼ οὐκ ἄρα σχήσω παρὼν τολμήματος τοσούτου;
μή νυν ἔτ' ἐν τετραπτόλει τοὐμὸν τρόπαιον εἴη.

273. ἐπεὶ οὐ pes est iambus, duabus ultimis syllabis in unam coalescentibus, ut fieri solet in η υ, ω ι, ω υ. Sophocles Œdip. Col. 1436.

θανόντ', ἐπεὶ οὔ μοι ζῶντί γ' αὖθις ἕξετον. Infra 284. ἐγὼ οὐκ est etiam disyllabum et pes iambus. Sic rursus 876, 1171. Ran. 33. Eq. 340. Vesp. 416. Exemplorum pleni sunt tragici.

277. θὤπλ' ᾤχετο παραδοὺς ἐμοί. Vulgo legitur ᾤχετ' ὅπλα, articulo male omisso: paulo emendatius Aug. ᾤχεθ' ὅπλα. Sed duo Regii dant ᾤχετο θὤπλα. Hoc per crasin factum est ex τὰ ὅπλα. Quum aspiratio transierit in literam θ, necesse non est ut spiritus asper adpingatur: scribo itaque θὤπλα, quod in aliis similibus observatum. Crasis autem vocalium ο α in ω Atticis est solemnis. Sic Nub. 1247. ὡπαιτῶν pro ὁ ἀπαιτῶν. Vesp. 304. ὥρχων pro ὁ ἄρχων. ὥνδρες pro οἱ ἄνδρες passim.

ᾤχετο θὤπλα παραδοὺς ἐμοὶ,
σμικρὸν ἔχων πάνυ τριβώνιον,
πινῶν, ῥυπῶν, ἀπαράτιλτος,
ἐξ ἐτῶν ἄλουτος.

secundum edit. prior. Sed totus hic locus male sanus est metris corruptis. Versus omnes hujus virorum cantici a 254. usque ad 318. sunt iambici, paucis insertis trochaicis. Tres codd. habent πεινῶν pro πινῶν, quæ voces facile permutantur, ut contigit etiam Pl. 297. ubi pro πινῶντα male vulgo legebatur πεινῶντα.

Censui legendum esse τρίβων' ἔχων πάνυ σμικρόν. Sic emendanti mihi nondum satis constiterat de prosodia nominis μικρὸς, cujus apud Comicum nostrum prima semper longa est, quod, præter observata ad Pl. 147. evincunt exempla in indice enotata. Scribendum itaque:

τρίβων' ἔχων σμικρὸν πάνυ.

Nec obstat alia, quam sæpe inculcavi, lex metrica, ultimam in dimetris non esse indifferentem, sed, si brevis sit, metro longam requirente, adjuvari eam debere consonantibus sequentem versum inchoantibus. Id enim in regularibus systematibus modo locum habet, non vero in iis, quæ ex diversi generis metris commixta sunt.

281. τὸν ἄνδρ' ὅμως ἐκεῖνον. Hanc vocum collocationem metrum requirit. Male vulgo τὸν ἄνδρ' ἐκεῖνον ὅμως.

285. Vulgo τετραπόλει. Secunda contra analogiam producta, quæ in τετράμετρον, τετραπήχυς, τετράποδα, τετραπο-

ἀλλ' αὐτὸ γάρ μοι τῆς ὁδοῦ
λοιπόν ἐστι χωρίον
τὸ πρὸς πόλιν, τὸ σιμὸν, οἷ σπουδὴν ἔχω·
χῶπως ποτ' ἐξαμπρεύσομεν
τοῦτ' ἄνευ κανθηλίου.
ὡς ἐμοῦ γε τὼ ξύλω τὸν ὦμον ἐξιπώκατον·
ἀλλ' ὅμως βαδιστέον,
καὶ τὸ πῦρ φυσητέον,

δηδὰν apud Nostrum corripitur. Scribendum τετραπτόλει, ut apud Euripidem Heracl. 81.

ὅδ'; ἐκ τίνος γῆς, ὦ γέρον, τετράπτολιν
ξύνοικον ἦλθες λαόν.

Ad quem locum videnda desideratissimi Musgravii nota.

τετραπτόλει. Sic apud Æschylum S. Th. 503. in senario ἀγχίπτολις.

289. ἐξαμπρεύσομεν. Sic scribendum esse metrum evincit, quod et flagitat Atticismi usus ὅπως cum futuro indicativi construentis, neutiquam vero cum aor. 1. subjunct. Meminisse debuerat Kusterus Suidæ sui, apud quem in ἀμπρεύοντες recte legitur ἐξαμπρεύσομεν, ad quem locum ipse Comici verba emendate protulerat: in hoc autem mendosum ἐξαμπρεύσωμεν reliquit.

291. Vulgo legitur τὸν ὦμον ἐξιπιώκατον: monstrum verbi, quod nemo procuraverat. Id quidem agnoscunt codd. et Suidas, qui e Scholiaste exponit θλίβουσιν, ἢ ἔθλιψαν. Sic enim apud eum legendum pro ἐθλίψατε. Emendaveram primo literarum insistens ductibus, sicque scriptum est in priori meo apographo, ἐξεπιάκατον, quod postea repudiavi, tum quia Atticis forma πιάζω pro πιέζω inusitata, tum quia præteritum carebat augmento. Quod autem reposui, genuinum est ἐξιπώκατον. Verbum ἰπόω luculenter illustravit Hemsterhusius ad Plutum p. 279. ubi inter alia ostendit ἰπνοῦν ab ἰπνὸς Græcum non esse, et ἰπνεύειν dici; at ab ἶπος esse ἰπόω, quo verbo utitur Noster Eq. 924. ἰπούμενος ταῖς εἰσφοραῖς. Quæ quidem jamdudum mihi lecta et probata e memoria mihi exciderant, quando Æschyli Prometheum edidi, ubi v. 365. invitis etiam librariis legendum:

ἰπούμενος ῥίζῃσιν Αἰτναίαις ὕπο.

Istud autem ἐξιπώκατον tam aptum videbitur cuilibet Græce docto, ut emendationem hanc ne PUTEANUM quidem ipsum carpere posse arbitrer. Sed ecce alteri illi lectioni, quo me conjectura parum meditata duxerat, quamque despectui habui, ἐξεπιάκατον, aliud agens, forte fortuna fidejussorem reperi. Eustathius is est, qui multa antiqua et bona e Grammaticorum scriptis veteribusque lexicis collegit. Sic autem ille ad Ἰλ. ί. p. 759. l. 41. τὸ δὲ ἐκτῆσθαι Ἀττικόν ἐστι καὶ αὐτὸ, καὶ Ἰωνικὸν δὲ, ἀποβληθέντος τοῦ συμφώνου τῆς αὐξήσεως. τοιοῦτον καὶ τὸ ἐβούλευκε, καὶ τὸ ΕΞΕΠΙΑΚΕ, καὶ τὸ τυρὸς ἐξεγλυμμένος, καὶ ἄλλα μυρία. Sed si verum est, quod ipse ait p. 1573. l. 63. Doricum esse πιάζω pro πιέζω, probabile non est eum huc respexisse, nec in scripta quam habuit Lysistrata, ἐξεπιάκατον legisse: nam Aristophanes Dorice loquentes non inducit populares suos; nec sic absque augmento præteritum adhibuisset, sed dixisset ἐκπεπιάκατον. Nihil huc faciunt exempla ab Eustathio adducta ἐκτῆσθαι, ἐξεγλυμμένος. Negligunt Attici augmentum in verbis a duplici consonante incipientibus, ut βλακεύω, γλύφω, γλωττίζω, κτάομαι, πτήσσω, σπείρω: unde καταβλακευμένως, ἐγλυμμένος, κατεγλωττισμένος, ἔκτημαι, ἔπτηχα, ἐσπαρμένος, et similia. Vide Taylor ad Lycurgum edit.

μή μ' ἀποσβεσθὲν λάθῃ πρὸς τῇ τελευτῇ τῆς ὁδοῦ.
φῦ, φῦ.
ἰοὺ, ἰοὺ τοῦ καπνοῦ.
ὡς δεινὸς, ὦ 'ναξ Ἡράκλεις,
προσπεσών μ' ἐκ τῆς χύτρας,
ὥσπερ κύων λυττῶσα, τὼ 'φθαλμὼ δάκνει·
κᾆστι Λήμνιον τὸ πῦρ
τοῦτο πάσῃ μηχανῇ.
οὐ γὰρ ἄν ποθ' ὧδ' ὀδὰξ ἔβρυκε τὰς λήμας ἐμοῦ.
σπεῦδε πρόσθεν ἐς πόλιν,
καὶ βοήθει τῇ θεῷ,
εἰ πότ' αὐτῇ μᾶλλον ἢ νῦν, ὦ Λάχης, ἀρήξομεν;
φῦ, φῦ.
ἰοὺ, ἰοὺ τοῦ καπνοῦ.

Lips. p. 166. et Orvillium ad Charit. p. 577. At in verbis a simplici consonante incipientibus præteritum nunquam sine augmento efferunt. Sunt ergo ἐβούλευκε, ἐγύμνασμαι, ἐξεπίακε nihil aliud, quam librariorum sordes ex emendatis libris ejiciendæ. Hic ut infra 307. et 313. τὼ ξύλω instrumentum est bajulorum, quo suspensa onera ferunt, quod alibi appellatur τὸ ἀνάφορον.

293. Est hic versus etiam tetrameter trochaicus, cui pes deficiebat cum syllaba catalectica. Voces τῆς ὁδοῦ reposuimus e duobus Regiis.

296. Edit. prior habet δεινὸν et mox προσπεσὸν relata ad πῦρ: cum nota sequente.

Vulgo δεινὸς et προσπεσὼν relata ad καπνοῦ, utique non pejus. Sed alterum prætuli, quia in eo consentiunt tres codd. cum priscis editionibus.

Ridicula erga veteres libros superstitione pravam lectionem bonæ nescio cujus emendationi prætuli. Reponendum δεινὸς et προσπεσὼν, ut jam ediderat Gelenius. Signate δάκνειν de *fumo* dicitur, non vero de *igne*. Pl. 822. ὁ καπνὸς ἔδακνε τὰ βλέφαρά μου. Pac. 610. τῷ καπνῷ πάντας Ἕλληνας δακρῦσαι.

299. κᾆστι Λήμνιον τὸ πῦρ. Perperam vulgo κᾆστιν pessundato metro. Satis mirari nequeo tam parum ad ista adtendisse Kusterum.

301. Vulgo legitur οὐδὲ γάρ ποθ' ὧδ' ὀδὰξ ἔβρυκε τὰς λήμας ἐμοῦ. Vertit Berglerus: *Nunquam enim sic mordicus prehendisset glamas meas.* Sed, ô bone, non ita Græca sonant: sensum quidem adsecutus es; sed quid in phrasi deesset non vidisti. ἔβρυκε valet *prehendit*, non *prehendisset*. Ad hunc sensum requiritur particula ἂν, quæ omnino hic esse debet. Præterea οὐδέποτε semper verbo *futuri* temporis, nunquam *præteriti*, adjungitur. In duobus Regiis scriptum: οὐ γάρ ποθ' ὧδ' ὀδάξ. Insere particulam, quam sensus flagitat, et genuinam habebis lectionem:

οὐ γὰρ ἄν ποθ' ὧδ' ὀδὰξ ἔβρυκε τὰς λήμας ἐμοῦ.

Potentialem illam particulam sæpissime librarii omiserunt: infinita occurrent in his notis exempla. Vide modo, ne plures excitem locos, ad Thesm. 593. Ran. 81. 488. Pl. 374.

304. εἰ πότ' αὐτῇ—cum interrogatione. εἰ hic valet ἐπεί. Vide quæ notavi ad Eurip. Andr. 205. et ad Med. 679. Absurde vulgo εἴποτ' αὐτῇ. Sensum

τουτὶ τὸ πῦρ ἐγρήγορεν θεῶν ἕκατι καὶ ζῇ.
οὔκουν ἄν, εἰ τὼ μὲν ξύλω θείμεσθα πρῶτον αὐτοῦ,
τῆς ἀμπέλου δ' ἐς τὴν χύτραν τὸν φανὸν ἐγκαθέντες,
ἅψαντες, εἶτ' ἐς τὴν θύραν κριηδὸν ἐμπέσοιμεν; [
κἂν μὴ, καλέντων, τὲς μοχλοὺς χαλῶσιν αἱ γυναῖκες,
ἐμπιμπράναι χρὴ τὰς θύρας, καὶ τῷ καπνῷ πιέζειν.
θώμεσθα δὴ τὸ φορτίον. φεῦ τοῦ καπνοῦ, βαβαιάξ.
τίς ξυλλάβοιτ' ἂν τοῖν ξύλοιν τῶν ἐν Σάμῳ ϛρατηγῶν;
ταυτὶ μὲν ἤδη τὴν ῥάχιν θλίβοντά μου πέπαυται·
σὸν δ' ἔϛιν ἔργον, ὦ χύτρα, τὸν ἄνθρακ' ἐξεγείρειν,
τὴν λαμπάδα θ' ἡμμένην ὅπως πρώτως ἐμοὶ προσοίσεις.
δέσποινα Νίκη ξυγγενοῦ, τῶν τ' ἐν πόλει γυναικῶν
τοῦ νῦν παρεστῶτος θράσους θέσθαι τρόπαιον ἡμᾶς.

Χορὸς Γυναικῶν.

λιγνὺν δοκῶ μοι καθορᾶν καὶ καπνὸν, ὦ γυναῖκες,
ὥσπερ πυρὸς καομένου· σπευστέον ἐστὶ θᾶττον.
Ημ. πέτου, πέτου, Νικοδίκη,
πρὶν ἐμπεπρῆσθαι Καλύκην
τε καὶ Κριτύλλαν περιφυσήτω

frustra quæsivit Berglerus, qui nihil sani e vulgata scriptura elicere potuit. Sequenti interjectioni φῦ, φῦ, additæ sunt in Regiis duæ voces e glossa in textum illatæ, φυσῷ πάλιν. Est παρεπιγραφὴ, seu Grammatici admonitio.

306. Regii ἕκητι. Vulgatum tuetur Aug. ἕκατι licet formæ Doricæ frequentant poëtæ Attici.

311. ἐμπιμπράναι ut infra 341. πιμπραμένας, et 348. ὑποπίμπρησιν. Vulgo ἐμπιπράναι secunda brevi contra metri legem. In Thesm. 749. ubi vulgo ἐμπίπρατε, ad cod. fidem edidi :

ἐμπρήσομεν τοίνυν σε.—πάνυ γ' ἐμπίμπρατε.

313. τίς ξυλλάβοιτ' ἂν τοῖν ξύλοιν, id est τοῦ ἀναφόρου, ut supra 291. et 307. Male vulgo τοῦ ξύλου. Nostram lectionem habet Reg. A.

316. Vulgo legitur ὅπως πρῶτον ἐμοὶ προσοίσεις labante metro. In A. πρώτως ὅπως ἐμοί προσοίσεις. Eadem in B. vocum collocatio, sed perperam scriptum πρῶτος. Inde proclive fuit emendare, ὅπως πρώτος ἐμοὶ προσοίσεις.

319. Hic versus vulgo sequenti postponitur ordine præpostero : quem exhibemus agnoscunt duo Regii. Sunt autem hi versus, et qui sequuntur usque ad 350. omnes choriambici mixti.

323. Copula τε initio hujus versus, quam habent libri omnes scripti et impressi, omnino reponenda est, metro jubente, quod monuit cl. editor; qui particulam illam, quæ ad sensum non erat necessaria, et initio versus male posita videbatur, non satis considerata metri natura, expunxerat. Sed etsi τε rite versum non inchoet, tamen, ut recte observat summus Valckenarius ad Phœnissas p. 259. *in choricis celeriter et*

ὑπό τε νόμων ἀργαλέων,
ὑπό τε γερόντων ὀλέθρων.
Ημ. ἀλλὰ φοβοῦμαι τόδε. μῶν ὑστερόπους βοηθῶ;
νῦν δὴ γὰρ ἐμπλησαμένη τὴν ὑδρίαν κνεφαία
μόγις ἀπὸ κρήνης ὑπ' ὄχλου καὶ θορύβου,
καὶ πατάγου χυτρείου,
δούλῃσιν ὠστιζομένη,
στιγματίαις θ', ἁρπαλέως
ἀραμένη, ταῖσιν ἐμαῖς
δημότισιν καομέναις
φέρουσ' ὕδωρ βοηθῶ.
ἤκουσα γὰρ τυφογέρον-
τας ἄνδρας ἔῤῥειν, στελέχη
φέροντας, ὥσπερ βαλανεύσοντας,
ἐς πόλιν, ὡς τριτάλαντον βάρος,
δεινότατ' ἀπειλοῦντας ἐπῶν,
ὡς πυρὶ χρὴ τὰς μυσαρὰς γυναῖκας ἀνθρακεύειν·
ἃς, ὦ θεὰ, μή ποτ' ἐγὼ πιμπραμένας ἴδοιμι,
ἀλλὰ πολέμου καὶ μανιῶν ῥυσαμένας
Ἑλλάδα καὶ πολίτας·
ἐφ' οἷσπερ, ὦ χρυσολόφα
πολιοῦχε, σὰς ἔσχον ἕδρας.
καί σε καλῶ ξύμμαχον, ὦ
Τριτογένει', ἤν τις ἐκείνας
ὑποπίμπρῃσιν ἀνὴρ,

continuo ductu decantatis data hæc poëtis licentia.

τι και κριτυλ | λαν περιφυ | σητω choriambicus est trimeter brachycatal. Hujus metri lex est, ut in secunda sede sit choriambus, si ultra dimetrum excrescit; in alterutra vero, si sit dimeter. Masculinum *περιφυσήτω* ad feminina nomina pertinens nihil habet, quod tironem offendat: id enim Atticis in duali solemne est. Luculentum exemplum est in Sophoclis Electra 977. Id tamen forte librarium impulit ad mutandam lectionem. In A. post *Κριτύλλαν*, majori posita distinctione, scriptum *περιφυσῶνται.*

331. *στιγματίαις*. Sic Aug. Schol. et veteres editiones. In recentioribus, ut in duobus Regiis, *μαστιγίαις*.

335. *ηκουσα γαρ | τυφογερον-*
τας ανδρας ερ | ρειν στελεχη.
Dimetri sunt choriambici, quorum metrum perit nisi ita distinguantur, quam divisionem exhibent duo Regii.

346. *ξύμμαχον*. Sic uterque Regius.

φέρειν ὕδωρ μεθ' ἡμῶν.
Στ. ἔασον ὤ· τουτὶ τί ἦν; ὦνδρες πόνῳ πονηροί·
οὐ γάρ ποτ' ἂν χρησοί γ' ἔδρων, οὐδ' εὐσεβεῖς τάδ' ἄνδρες.

Χορὸς Γεροντῶν.

τουτὶ τὸ πρᾶγμ' ἡμῖν ἰδεῖν ἀπροσδόκητον ἥκει·
ἑσμὸς γυναικῶν οὑτοσὶ θύραισιν αὖ βοηθεῖ.

Χορὸς Γυναικῶν.

τί βδύλλεθ' ἡμᾶς; οὔ τι που πολλαὶ δοκοῦμεν εἶναι;

349. Dixi supra ad v. 319. hos versus omnes esse choriambicos, quod utique verum est ex poëtæ animo. Si ab hujus metri norma versus aliquot recedunt, librariorum imperitiæ id tribuendum. Ad hunc modum erant distinguendi:

ἀλλὰ φοβοῦμαι τόδε. μῶν ὑστερόπους βοηθῶ;
νῦν δὴ γὰρ ἐμπλησαμένη τὴν ὑδρίαν κνεφαία,
μόγις ἀπὸ κρήνης, ὑπ' ὄχλου καὶ θορύβου,
καὶ πατάγου χυτρείου,
δούλησιν ὠστιζομένη,
στιγματίαις θ', ἁρπαλέως
ἀραμένη, ταῖσιν ἐμαῖς
δημότισιν καομέναις φέρουσ' ὕδωρ βοηθῶ.
ἤκουσα γὰρ τυφογέρον-
τας ἄνδρας ἔῤῥειν, στελέχη
φέροντας, ὥσπερ βαλανεύσοντας,
εἰς ἀκρόπολιν, ὡς τριτάλαντον βάρος,
δεινότατ' ἀπειλοῦντας ἐπῶν,
ὡς πυρὶ χρὴ τὰς μυσαρὰς γυναῖκας ἀνθρακεύειν
ἅς, ὦ θεὰ, μή ποτ' ἐγὼ πιμπραμένας ἴδοιμι·
ἀλλὰ πολέμου καὶ μανιῶν ῥυσαμένας
Ἑλλάδα καὶ πολίτας·
ἐφ' οἷσπερ, ὦ χρυσολόφα
πολιοῦχε, σὰς ἔσχον ἕδρας.
καί σε καλῶ ξύμμαχον, ὦ
Τριτογένει', ἤν τις ἐκεί-
νας ὑποπίμπρησιν ἀνὴρ, φέρειν ὕδωρ μεθ' ἡμῶν.

Vides in unum coaluisse versus 333, 4, item versus 348, 9. Versum 347. qui erat hypercatalectus, dimetrum esse acatalecticum, ut tres præcedentes, ultimoque nihil amplius ad integritatem deesse. Sunt autem ejusdem mensuræ horum versuum octavus et ultimus ac decimus quartus, qui sic dimetiendi sunt:

δημοτισιν | καομεναις | φερουσ' ὑδωρ | βοηθω
ὡς πυρι χρη | τας μυσαρας | γυναικας αν | θρακευειν
νας ὑποπιμ | πρησιν ανηρ | φερειν ὑδωρ | μεθ' ἡμων.

In verbis nihil prorsus immutatum præterquam v. 338. ubi manifestum est scriptum olim fuisse εἰς ἀκρόπολιν. Nomina illa πόλις et ἀκρόπολις promiscue eodem sensu usurpata vides in tota hac fabula. Plane vigilans somniabat Kusterus, quando de metro sotadeo cogitavit, cujus hic nec vola nec vestigium.

353. θύραισιν, *foris*, adverbialiter. Quæ enim in arcem ingressæ erant mulieres (vide supra 246.) postquam chorus accessit senum cum igne, rursus egressæ sunt. Integrum choriambicum systema in arcis mœnibus recitatur: tum patefactis foribus prodeunt in scenam v. 350. Perperam post Berglerum verti in edit. prior. *foribus succurrit*. In Aug. scriptum θύρασιν, frequenti librariorum errore. Vide ad Thesm. 69.

354. τί βδύλλεθ' ἡμᾶς. Hesych. βδύλλειν, δεδιέναι, τρέμειν. ἢ βδεῖν. Vide Suidam in βδύλλεσθε, qui ex hoc loco emendandus, quod nec Kusterus ani-

καὶ μὴν μέρος γ' ἡμῶν ὁρᾶτ' οὔπω τὸ μυριοστόν.

Χορὸς Γεροντῶν.

ὦ Φαιδρία, ταύτας λαλεῖν ἐλάσομεν τοσαυτί;
οὐ περικατάξαι τὸ ξύλον τύπτοντα χρῆν τιν' αὐτάς;

Χορὸς Γυναικῶν.

θώμεσθα δὴ τὰς κάλπιδας χ' ἡμεῖς χαμᾶζ', ὅπως ἄν,
ἢν προσφέρῃ τὴν χεῖρά τις, μὴ τοῦτό μ' ἐμποδίζῃ.

Χορὸς Γεροντῶν.

εἰ νὴ Δί' ἤδη τὰς γνάθους τούτων τις ἢ δὶς ἢ τρὶς
ἔκοψεν, ὥσπερ Βουπάλου, φωνὴν ἂν οὐκ ἂν εἶχον.

Χορὸς Γυναικῶν.

καὶ μὴν ἰδοὺ παταξάτω τις· στᾶσ' ἐγὼ παρέξω,
κοὐ μή ποτ' ἄλλη σοῦ κύων τῶν ὄρχεων λάβηται.

Χορὸς Γεροντῶν.

εἰ μὴ σιωπήσει, θένων ἐκκοκκιῶ τὸ γῆρας.

Χορὸς Γυναικῶν.

ἅψαι μόνον Στρατυλλίδος τῷ δακτύλῳ προσελθών.

Χορὸς Γεροντῶν.

τί δ', ἢν σποδῶ τοῖς κονδύλοις; τί μ' ἐργάσῃ τὸ δεινόν;

Χορὸς Γυναικῶν.

βρύκουσά σου τοὺς πλεύμονας καὶ τἄντερ' ἐξαμήσω.

Χορὸς Γεροντῶν.

οὐκ ἔστιν ἀνὴρ Εὐριπίδου σοφώτερος ποιητής·

madvertit, nec Hesychii interpres. βδύλλεσθ' in metri legem offendit. Eq. 224. ὅ τι πένης βδύλλει λεώς.

357. τύπτοντα χρῆν. Sic Regii. Vulgo τύπτοντ' ἐχρῆν.

362. Vulgo παταξάτω τις· καὶ στᾶσ' ἐγὼ παρέξω. syllaba ultra numerum excurrente. Quis non videt inutilem et languidam copulam a mala manu insertam fuisse? eam non agnoscit Regius A.

364. Vulgo ἐκκοκκιῶ τὸ γῆράς σου. Manifesta interpolatio. Illud σου mensuram versus excedit, huc forte illatum e v. 448. contra sententiam. Si enim per metrum licuisset pronomen quodpiam addi, scripsisset poëta ἐκκοκκιῶ τὸ γῆράς μου, quod postremum hic subintelligitur.

365. ἅψαι μόνον. Sic Regii. Vulgo ἅπτου.

366. τί μ' ἐργάσει. Perperam vulgo, neglecto Atticismo, ἐργάσῃ. Illud, quod codicibus etiam nolentibus reponendum erat, præstat Regius B. Pro κονδύλοις male Aug. δακτύλοις.

367. πλεύμονας Attice. Vulgo πνεύμονας. Illud dat uterque Regius, mendose tamen B. πλίμονας.

368. οὐκ ἔστιν ἀνὴρ, mollius quam vulgatum οὐκ ἔστ' ἀνὴρ, præstant duo Regii.

οὐδὲν γὰρ ὡδὶ θρέμμ' ἀναιδές ἐστιν, ὡς γυναῖκες.

Χορὸς Γυναικῶν.

αἰρώμεθ' ἡμεῖς θοὔδατος τὴν κάλπιν, ὦ 'Ροδίππη.

Χορὸς Γεροντῶν.

τί δ', ὦ θεοῖς ἐχθρὰ, σὺ δεῦρ' ὕδωρ ἔχουσ' ἀφίκου;

Χορὸς Γυναικῶν.

τί δὲ δὴ σὺ πῦρ, ὦ τύμβ', ἔχων; ὡς σαυτὸν ἐμπυρεύσων;

Χορὸς Γεροντῶν.

ἐγὼ μὲν, ἵνα νήσας πυρὰν τὰς σὰς φίλας ὑφάψω.

Χορὸς Γυναικῶν.

ἐγὼ δέ γ', ἵνα τὴν σὴν πυρὰν τούτῳ κατασβέσαιμι.

Χορὸς Γεροντῶν.

τοὐμὸν σὺ πῦρ κατασβέσεις;

Χορὸς Γυναικῶν.

τοὔργον τάχ' αὐτὸ δείξει.

Χορὸς Γεροντῶν.

οὐκ οἶδας, εἰ τῇδ', ὡς ἔχω, τῇ λαμπάδι σταθεύσω;

Χορὸς Γυναικῶν.

εἰ ῥύμμα τυγχάνεις ἔχων, λουτρὸν ἐγὼ παρέξω.

Χορὸς Γεροντῶν.

ἐμοὶ σὺ λουτρὸν, ὦ σαπρά;

Χορὸς Γυναικῶν.

καὶ ταῦτα νυμφικόν γε.

Χορὸς Γεροντῶν.

ἤκουσας αὐτῆς τοῦ θράσους;

369. ὡδί. Sic Aug. Vulgo οὕτω.

370. θοὔδατος. Sic una voce cum apostropho et accentu scriptum in A. pro τοῦ ὕδατος. Vide notam supra 277.

371. ὦ θεοῖς ἐχθρά. Sic recte A. Vulgo redundante syllaba θεοῖσιν.

372. τί δὲ δὴ σὺ πῦρ. Vulgo omisso δὴ claudicat versus, in prima sede pyrrichium habens. Ran. 158.

οὗτοι δὲ δὴ τίνες εἰσίν; — οἱ μεμυημένοι.

Thesm. 608.

ἡδὶ δὲ δὴ τίς ἐστιν, ἢ τὸ παιδίον.

Harum particularum aliquoties altera excidit, ut Thesm. 889.

τί δὲ δὴ σὺ θάσσεις τάσδε τυμβήρεις ἕδρας;

Male vulgo, ut hic, τί δὲ σὺ—Quæ sequuntur ὡς σαυτὸν ἐμπυρεύσων; Plauti verbis melius vertissem: *an ut humanum exuras tibi?*

377. λουτρὸν ἐγὼ παρέξω. Claudicat versus, nec magis recto stabit talo, si cum Florente scribas ἐγὼ λουτρὸν παρέξω. Quod excidit pronomen repone: σοὶ λουτρὸν ἐγὼ παρέξω.

Χορὸς Γυναικῶν.

ἐλευθέρα γάρ εἰμι.

Χορὸς Γεροντῶν.

σχήσω σ' ἐγὼ τῆς νῦν βοῆς.

Χορὸς Γυναικῶν.

ἀλλ' οὐκ ἔθ' ἡλιάξεις.

Χορὸς Γεροντῶν.

ἔμπρησον αὐτῆς τὰς κόμας.

Χορὸς Γυναικῶν.

σὸν ἔργον, ὦ 'χελῶε.

Χορὸς Γεροντῶν.

οἴμοι τάλας.

Χορὸς Γυναικῶν.

μῶν θερμὸν ἦν;

Χορὸς Γεροντῶν.

ποῖ θερμόν; οὐ παύσει; τί δρᾷς;

Χορὸς Γυναικῶν.

ἄρδω σ', ὅπως ἀναβλαστάνῃς.

384. ἄρδω σ', ὅπως ἀναβλαστάνῃς. Si nullam exceptionem admittit Dawesii canon, *vocales breves produci semper ante consonantes medias β, γ, δ, sequente quavis liquida, præter unicam ρ, eamque regulam tragicis cum comœdiæ scriptoribus communem esse;* hoc, inquam, si usquequaque verum est, versus hic, quem ille non adtigit, aliter scribendus est. Nam ex isto canone αναβλαστ pes est bacchius, quem metrum iambicum non admittit: rescribendum est igitur ὅπως ἂν βλαστάνῃς, nec amplius vertere licet, *ut regermines.* Sed ego tam severas leges poëtis non statuo. Quantum id fieri potuit, certum est ad prosodiæ regulas, quas Dawesius sagaciter observavit, data opera Comicum nostrum versus suos tornasse: sed ubi eum vis metri coëgit, aliaque defuerunt verba, quibus sensus suos exprimeret, eadem licentia usus est, quam Atheniensium aures tam benigne concedebant Tragicis, qui alterum e Dawesii canonibus susque deque habuerunt; illum autem de consonantibus mediis non adeo, ut ille rebatur, religiose observarunt. De his alio loco agam. Hic tria exempla satis erit produxisse. Æsch. Prom. 172. dimetrum hunc habet anapæsticum:

καίτοι μ' οὐ μελιγλώσσοις πειθοῦς.

Noster in simili metro Av. 216.

πρὸς Διὸς ἕδρας, ἵν' ὁ χρυσοκόμας.

Plato Comicus apud Grotium in Excerptis p. 487.

νοῦ μὲν ἔτερ', ἕτερα δὲ γλώττῃ φθέγγεται.

Vides hic secundam in μελιγλώσσοις corripi, quæ juxta canonem Dawesianum produci deberet: primam in ἕδρας produci, quæ deberet corripi: δὲ in quarta senarii sede corripi ante γλ, quum produci debuisset. Non obstabit ergo canon ille, quin maneat ὅπως ἀναβλαστάνῃς. Aliam ob causam mihi minus placuerat vulgata lectio: scilicet quia rarissime Comicus particula ὅπως, *ut*, causam fi-

Χορὸς Γεροντῶν.

ἀλλ' αὖος εἶμ' ἤδη τρέμων.

Χορὸς Γυναικῶν.

οὐκοῦν ἐπειδὴ πῦρ ἔχεις σὺ, χλιανεῖς σεαυτόν.

Πρ. ἆρ' ἐξέλαμψε τῶν γυναικῶν ἡ τρυφὴ,
χὠ τυμπανισμὸς, χοἰ πυκνοὶ Σαβάζιοι,
ὅ τ' Ἀδωνιασμὸς οὗτος οὐπὶ τῶν τεγῶν,
οὗ 'γώ ποτ' ὢν ἤκουον ἐν τῇ 'κκλησίᾳ;
ἔλεγεν δ' ὁ μὴ ὥραισι μὲν Δημόστρατος
πλεῖν ἐς Σικελίαν· ἡ γυνὴ δ' ὀρχουμένη,
αἰ, αἰ Ἄδωνιν, φησίν. ὁ δὲ Δημόστρατος
ἔλεγεν ὁπλίτας καταλέγειν Ζακυνθίων·
ἡ δ' ὑποπεπωκυῖ', ἡ γυνὴ 'πὶ τοῦ τέγους,
Κόπτεσθ' Ἄδωνιν, φησίν· ὁ δ' ἐβιάζετο
ὁ θεοῖσιν ἐχθρὸς καὶ μιαρὸς Χολοζύγης.
τοιαῦτ' ἀπ' αὐτῶν ἐστιν ἀκόλαστ' ᾄσματα.

nalem notante, nude sic utitur, eique fere semper adjungit ἄν. Vid. 182. 221. 239. 267. 358. 419. 425. 539. ne plures excitem locos. Alterius tamen constructionis dantur exempla, licet multo pauciora: ut Conc. 117. ξυνελέγημεν ὅπως προμελετήσωμεν, ἃ κεῖ δεῖ λέγειν.

386. χλιανεῖς primam hic producit, quæ corripitur in Conc. 64.

ἐχλιαινόμην ἑστῶσα πρὸς τὸν ἥλιον.

Putavi aliquamdiu scribendum esse ἔχεις, σύ γε χλιανεῖς σεαυτόν. Sed revera in χλιαίνω et derivatis incerti moduli est litera ι et poëtarum arbitrio permissa. Producitur in χλιαρὸς Acharn. 975.

χρήσιμα· τά δ' αὖ πρέπει χλιαρὰ κατεσθίειν.

388. χοἰ πυκνοί. Sic Regius A. Vulgo πυκινοί.

391. ὁ μὴ ὥραισι. Elliptica locutio, in qua verbum supplendum e trita vulgi sermone imprecatione. Ordo est sic instituendus: ἔλεγε δ' ὁ μὲν Δημόστρατος (μὴ ὥραισιν ἵκοιτο) πλεῖν ἐς Σικελίαν. Formulam hanc illustravit Casaubonus ad Athenæum p. 112. Variata constructione occurrit infra 1037.

ἀλλὰ μὴ ὥρας ἵκοισθ'· ὡς ἐστὲ θωπικαὶ φύσει.

In Aug. scriptum ὥρασι, eodem errore, quo sæpe θύρασι pro θύραισι.

395. ἡ δ' ὑποπεπωκυῖ'. In binis Regiis ὑποπεπτωκυῖ'. Sic etiam in Aug. scripserat librarius: sed τ induxit. Hæ voces alibi commutatæ. In Pace 874. male vulgo legitur ὑποπεπτωκότες, ubi edidimus:

ἐπαίομεν Βραυρῶνα δ' ὑποπεπωκότες.

397. Schol. Δημόστρατος Βουζύγης ἐλέγετο· ὃν Χολοζύγην εἶπε, διὰ τὸ μελαγχολᾶν. καὶ Εὔπολις δὲ ἐν Δήμοις ὡς μανιώδη αὐτὸν λέγει·

τί κέκραγας, ὥσπερ Βουζύγης ἀδικούμενος;

καὶ ἄλλοι.

398. τοιαῦτ' ἀπ' αὐτῶν. Sic duo Regii: mendose tamen B. ἀπαντῶν, errore librarii, qui utique ob oculos habuit ἀπ' αὐτῶν. Vulgo τοιαῦθ' ὑπ' αὐτῶν.

Χορὸς Γεροντῶν.

τί δῆτ' ἂν, εἰ πύθοιο καὶ τὴν τῶνδ' ὕβριν;
αἳ τἄλλα θ' ὑβρίκασι, κἀκ τῶν καλπίδων
ἔλουσαν ἡμᾶς, ὥστε θαιματίδια
πάρεστι σείειν, ὥσπερ ἐνεουρηκότας.

Πρ. νὴ τὸν Ποσειδῶ τὸν ἁλυκὸν, δίκαιά γε.
ὅταν γὰρ αὐτοὶ ξυμπονηρευώμεθα
ταῖσιν γυναιξὶ, καὶ διδάσκωμεν τρυφᾶν,
τοιαῦτ' ἀπ' αὐτῶν βλαστάνει βουλεύματα.
οἳ λέγομεν ἐν τῶν δημιουργῶν τοιαδί·
ὦ χρυσοχόε, τὸν ὅρμον, ὃν ἐπεσκεύασας,

399. Vulgo personam huic versui præfigunt nuntii, qui nullus in hac fabula est. Ineptorum librariorum commentum est. In Aug. adscripta persona est ἄγγελος γερόντων: in B. χορὸς γερόντων ἢ ἄγγελος. Vere A. id quod jam ante reposueram, exhibet nude χορὸς γερόντων.

401. θαιματίδια. Sic recte tres codd. et veteres editiones. Perperam Kusterus edidit θοἰματίδια.

407. ἐν τῶν δημιουργῶν. Nihil frequentius apud quosvis scriptores hac ellipsi nominis οἶκος, vel ναὸς, quando de Diis agitur. Sic infra 622. εἰς Κλεισθένους. 1064. εἰς ἐμοῦ. Conc. 420. ἐς τῶν σκυλοδεψῶν. Ran. 69. et 118. εἰς Ἅιδου. Plato initio libri i. de Republica: ἦμεν ἂν εἴκαδε εἰς τοῦ Πολεμάρχου: ad quem locum in editione Cantabrigiensi hominis parum Attici legitur hæc annotatiuncula: ΑΤΤΙΚΩΤΕΡΟΝ *legas* ΤΟΝ ΤΟΥ. Ceterum tres mei codd. habent ἐν τῶν, ut recte Kusterus e duobus aliis edidit, quorum, in formula pueris etiam notissima, ne quidem requirenda erat auctoritas. Berglerus tamen mendosum veterum editionum ἐκ retineri voluit, absurdissimis argumentis, ut sunt ejus alia permulta.

408. ὦ χρυσοχόε, τὸν ὅρμον, ὃν ἐπεσκεύασας. Sic duo Regii: vulgo claudicante metro, ἐσκεύασας. Sincera lectio Kustero innotuerat e cod. Vossiano, eamque in eadem nota commendat, qua dicit se e duobus codicibus superiori versu ἐν pro ἐκ reposuisse. Quidni ergo etiam ἐπεσκεύασας in textu reponebat? Hoc non minus quam illud certum est. Aug. pravam exhibet editionum lectionem. Scilicet observasse operæ pretium erit ridiculum multorum librariorum morem, qui compendii ergo præpositiones verbis adhærentes, maxime si eas ad sensum nihil conferre arbitrarentur, omittere solebant; quod quidem in solutæ orationis scriptoribus haud permagni momenti est; at in poëtis multos bonos versus perdidit hæc socordia. Infra 613. ubi recte edidi:

ἥξει παρ' ἡμῶν τὰ τρία' ἐπεσκευασμένα.

Ex eadem causa atque hic legitur vulgo cum metri labe ἐσκευασμένα. In Thesm. 951. ubi edidi:

ἐς τὰς ὥρας ξυνεπευχόμενος.

Legitur vulgo ruente metro ξυνευχόμενος. E similibus exemplis didicerunt Critici mendas codicibus, quos versant antiquiores, eluere, pro simplicibus verbis composita reponendo; quod sæpe a nobis factum videbitur: ut Ran. 1517. διασώζειν pro σώζειν. Thesm. 658. διαθρῆσαι pro ἀθρῆσαι. Nub. in versu fœde corrupto 326. διαθρῶ pro ἀθρῶ. Ibid. 987. προδιδάσκεις pro διδάσκεις. Vesp. 386. κατακλαύσαντες pro κλαύ-

ὀρχουμένης μου τῆς γυναικὸς ἑσπέρας,
ἡ βάλανος ἐκπέπτωκεν ἐκ τοῦ τρήματος.
ἐμοὶ μὲν οὖν ἔστ' ἐς Σαλαμῖνα πλευστέα·
σὺ δ', ἢν σχολάσῃς, πάσῃ τέχνῃ, πρὸς ἑσπέραν
ἐλθὼν, ἐκείνῃ τὴν βάλανον ἐνάρμοσον.
ἕτερος δέ τις πρὸς σκυτοτόμον ταδὶ λέγει,
νεανίαν, καὶ πέος ἔχοντ' οὐ παιδικόν·
ὦ σκυτοτόμε, τῆς μου γυναικὸς τοῦ ποδὸς
τὸ δακτυλίδιον πιέζει τὸ ζυγὸν,
ἅθ' ἁπαλὸν ὄν· τοῦτ' οὖν σὺ, τῆς μεσημβρίας
ἐλθὼν, χάλασον, ὅπως ἂν εὐρυτέρως ἔχῃ.
τοιαῦτ' ἀπήντηκ' ἐς τοιαυτὶ πράγματα,
ὅτε γ' ὢν ἐγὼ Πρόβουλος, ἐκπορίσας ὅπως
κωπῆς ἔσονται, τἀργυρίου νυνὶ δέον,
ὑπὸ τῶν γυναικῶν ἀποκέκλεισμαι τῶν πυλῶν.
ἀλλ' οὐδὲν ἔργον ἑστάναι. φέρε τοὺς μοχλοὺς,
ὅπως ἂν αὐτὰς τῆς ὕβρεως ἐγὼ σχέθω.
τί κέχηνας, ὦ δύστηνε; ποῖ δὲ σὺ βλέπεις,
οὐδὲν ποιῶν ἄλλ', ἢ καπηλεῖον σκοπῶν;

σαντες. Ibid. 565. περισώσῃ pro ἰσώσῃ: aliisque in locis, ubi emendationum reddetur ratio. Sic Apollonio iii. 571. ὑποπτήσσεσθαι restitutum pro πτήσσεσθαι.

410. ἐκ τοῦ τρήματος. Perperam Regii ἐκ τοῦ τρίμματος. Intellexitne auctor istius lectionis, glandem ὑπὸ τῆς τρίψεως excidisse? sed ineptum hoc est. Nemo non videt quo adludat Comicus. In Conc. 623. προβεβούλευται γὰρ ὅπως ἂν μηδεμιᾶς ᾖ τρύπημα κενόν.

413. ἐνάρμοσον. Sic tres codd. Editiones priscæ εὐάρμοσον, eadem erroris causa, ob quam supra observatum v. 398. ἀπαντῶν pro ἀπ' αὐτῶν: quia ν et υ facillime permutantur.

417. δακτυλίδιον. Diminutivorum in ίδιον penultimam alia corripiunt, alia producunt. Diversitatis causam patefacit Dawesius Misc. Crit. p. 214. Sed vereor ut ejus ratio hic locum habere possit. Nam δακτυλίδιον *digitulus* a δάκτυλος fluit, ut ἀδελφίδιον ab ἀδελφός. Non enim derivatur a δακτύλιος *anulum* significante. Aut dicendum δακτυλίδιον derivatum a δακτύλιος tam *digitulum*, quam *anulum* significare. Sed sunt hæc, *quod dici solet*,

gerræ germanæ, atque edepol λῆροι λῆροι.

Certum est antepenultimam in δακτυλίδιον hic produci, et *parvum digitum* hoc diminutivo significari.

426. ποῖ δὲ σὺ βλέπεις; Sic ambo Regii. Vulgo ποῖ δ' αὖ σύ. Iidem initio versus exhibent τί κέχηνας, quod bene Kusterus reposuit, quum priores editiones jugulato metro haberent ποῖ κέχηνας.

427. οὐδὲν ποιῶν ἄλλ', ἢ—Sic Aug.

οὐχ ὑποβαλόντες τοὺς μοχλοὺς ὑπὸ τὰς πύλας
ἐντεῦθεν ἐκμοχλεύσετ', ἐνθενδὶ δ' ἐγὼ
ξυνεκμοχλεύσω;

Λυ. μηδὲν ἐκμοχλεύετε·
ἐξέρχομαι γὰρ αὐτομάτη. τί δεῖ μοχλῶν;
οὐ γὰρ μοχλῶν δεῖ μᾶλλον, ἢ νοῦ καὶ φρενῶν.

Πρ. ἄληθες, ὦ μιαρὰ σύ; ποῦ 'σθ' ὁ τοξότης;
ξυλλάμβαν' αὐτὴν, κὠπίσω τὼ χεῖρε δεῖ.

Λυ. εἴ τ' ἆρα, νὴ τὴν Ἄρτεμιν, τὴν χεῖρά μοι
ἄκραν προσοίσει δημόσιος ὤν, κλαύσεται.

Πρ. ἔδεισας, οὗτος; οὐ ξυναρπάρσει μέσην,
καὶ σὺ μετὰ τούτου, κἀνύσαντε δήσετον;

Στ. εἴ τ' ἆρα, νὴ τὴν Πάνδροσον, ταύτῃ μόνον
τὴν χεῖρ' ἐπιβαλεῖς, ἐπιχεσεῖ πατούμενος.

Πρ. ἰδού γ' ἐπιχεσεῖ. ποῦ 'στιν ἕτερος τοξότης;
ταύτην προτέραν ξύνδησον, ὁτιὴ καὶ λαλεῖ.

Λυ. εἴ τ' ἆρα, νὴ τὴν Φωσφόρον, τὴν χεῖρ' ἄκραν

quod vix memoratu dignum est. Potior est hæc scriptura ea, quam vulgati libri exhibent ἀλλ' ἤ: qua de re videndus, si tanti est, novissimus auctor de Part. Gr.

428. ὑποβαλόντες. Vulgo ὑποβαλόντι. Pluralem præferunt tres codd. Mendose tamen in B. ὑποβαύνες, unde nihilominus liquet de terminatione vocis, quam scribere debuit librarius.

429. ἐνθενδὶ δ' ἐγώ. Vulgo claudicante metro ἐνθένδ' ἐγώ. Illud se cuivis facile obtulisset: jamdudum a me repositum postea confirmavit Regius A. Minus emendate in B. ἐνθένδι δ' ἐγώ.

436. Male hunc locum vertit Berglerus, quem in edit. prior. incaute secutus sum: *quamvis publicus sit minister.* Nihil tale in Græcis. Reddendum potius erat: *quum sit publicus minister.* Sed ne is quidem verus est sensus. δημόσιος hic summi contemtus est appellatio, tantumdem valens ac κάθαρμα, vel φαρμακός, qua significatione occurrit Eq. 1136. Verterim: *Per Dianam juro, flebit, si mihi primorem manum admoverit scelus.*

441. ποῦ 'στιν ἕτερος τοξότης; *ubi est alius sagittarius?* Sic bene Berglerus, a quo in edit. prior. temere descivi. ἕτερος apud Comicum nostrum nunquam aliud valet, quam ἄλλος. Ubi de duobus sermo est, et *alter* significari debet, tum ἕτερος comitem sibi adjungit articulum, ὁ ἕτερος, vel ἅτερος. Nec causæ erat quidquam cur Kusterus in indice observaret ἕτερον pro ἄλλον usurpari. Id enim perpetuum est, ut nullibi ἕτερον nude sine articulo reperias, quando e duobus alter significatur. Ran. 1415. τὸν ἕτερον λαβὼν ἄπει. Nub. 114. τούτοιν τὸν ἕτερον τοῖν λόγοιν. Eq. 174. τὸν δ' ἕτερον εἰς Χαλκηδόνα. Ach. 117. τοῖν μὲν εὐνούχοιν τὸν ἕτερον τουτονὶ ἐγῷδα. Thesm. 227. τὴν ἡμίκραιραν τὴν ἑτέραν ψιλὴν ἔχων.

444. κύαθον, *cucurbitulam.* Suidas ex integrioribus ad hunc locum scho-

ταύτῃ προσοίσεις, κύαθον αἰτήσεις τάχα.
Πρ. τουτὶ τί ἦν; ποῦ τοξότης; ταύτης ἔχου.
παύσω τιν' ὑμῶν τῆσδ' ἐγὼ τῆς ἐξόδου.
Στ. εἴ τ' ἄρα, νὴ τὴν Ταυροπόλον, ταύτῃ πρόσει,
ἐκκοκκιῶ σοῦ τὰς στενοκωκύτους τρίχας.
Πρ. οἴ μοι κακοδαίμων· ἐπιλέλοιφ' ὁ τοξότης.
ἀτὰρ οὐ γυναικῶν οὐδέποτ' ἔσθ' ἡττητέα
ἡμῖν· ὁμόσε χωρῶμεν αὐταῖς, ὦ Σκύθαι,
ξυνταξάμενοι.
Λυ. νὴ τὼ θεώ, γνώσεσθ' ἄρα,
ὅτι καὶ παρ' ἡμῖν εἰσι τέτταρες λόχοι
μαχίμων γυναικῶν ἔνδον ἐξωπλισμένων.
Πρ. ἀποστρέφετε τὰς χεῖρας αὐτῶν, ὦ Σκύθαι.
Λυ. ὦ ξύμμαχοι γυναῖκες, ἐκθεῖτ' ἔνδοθεν,
ὦ σπερμαγοραιολεκιθολαχανοπώλιδες,
ὦ σκοροδοπανδοκευτριαρτοπώλιδες,
οὐχ ἕλξετ', οὐ παιήσετ', οὐκ ἀρήξετε;
οὐ λοιδορήσετ', οὐκ ἀναισχυντήσετε;
παύεσθ', ἐπαναχωρεῖτε, μὴ σκυλεύετε.
Πρ. οἴμ', ὡς κακῶς πέπραγέ μου τὸ τοξικόν.
Λυ. ἀλλὰ τί γὰρ ᾤου; πότερον ἐπὶ δούλας τινὰς

liis: *κύαθον αἰτήσεις τάχα, ἵνα προσθῇς ταῖς γνάθοις. οὕτως τυφθήσῃ, καὶ ὑπωπιασθήσῃ ὑφ' ἡμῶν. γεμίζουσι γὰρ κύαθον θερμοῦ, καὶ προσκολλῶσι τοῖς οἰδήμασι, καὶ θεραπεύουσι.* Græci medici *σικύας* vocant, nos Galli, *ventouses*, caliculos illos, qui cuti cum flamma applicantur. Horum mentio etiam in Pace 541.

καὶ ταῦτα δαιμονίως ὑπωπιασμέναι
ἀπαξάπασαι, καὶ κυάθους προσκείμεναι.

453. *τέτταρες*. Sic Regii. Vulgo *τέσσαρες*. Hesychius: *λόχοι Λακεδαιμονίων, φησὶν Ἀριστοφάνης, τέτταρες*. Ad quem locum vide interpretes. Argutatur hic Berglerus, jocum ex ambiguo quærens, qui prorsus esset inficetus. Adludit Comicus ad notissimas Lacedæmoniorum *μόρας*. Vide Meursium Att. Lect. i. 16.

459. *παιήσετ'*. Futurum est verbi *παίω* Atticorum more, qui futura barytonorum formant tanquam a contractis. Nub. 1125.

ἀποκεκόψονται· τοιαύταις σφενδόναις
παιήσομεν.

Sic Eq. 98. *κατακλινήσομαι*. Thesm. 653. *οἰχήσεται*. Vesp. 222. *βαλλήσομεν*. Pl. 21. *τυπτήσεις*: aliaque—*οὐχ ἕλξετ'* habent duo Regii, quod e Vossiano bene reposuit Kusterus. Aug. et Juntina *ἐξέλκετ'*, quod inepte Veneti typographi mutarunt in *ἐξέλθετ'*.

461. *παύεσθ'*. Sic Aug. Vulg. *παύσασθ'*.

ἥκειν ἐνόμισας, ἢ γυναιξὶν οὐκ οἴει
χολὴν ἐνεῖναι;

Πρ. νὴ τὸν Ἀπόλλω, καὶ μάλα
πολλήν γ', ἐάνπερ πλησίον κάπηλος ᾖ.

465. *νὴ τὸν Ἀπόλλω.* Sic duo Regii, quod e Vat. bene reposuit Kusterus, ejecto spurio *μὰ*, quod erat in prioribus editionibus. At hoc revocavit Berglerus, licet fateatur, *particulam illam negativam esse, et apud Comicum vix ullibi aliter occurrere, nisi forte hoc in loco.* Cur ergo veteri codici, cui major quam denis editionibus, etiamsi omnes Farreanæ essent, fides habenda, noluit obsequi? Quia scilicet apud Aristænetum et Alciphronem *μὰ* affirmans occurrit. Tanquam si ad normam recentiorum et vix balbutientium Græculorum exigendus esset Aristophanes. Una est illa ex multis Bergleri notulis, quas ille procul dubio retractasset, quasque peritus emtor, qui famæ illius consultum voluisset, plane suppressisset. Particula *μὰ* non apud Comicum solum, sed apud quosvis Atticos scriptores, aliorumque probatissimos, semper in *negatione* adhibetur: nunquam in *affirmatione*, nisi comitem *ναὶ* adjunctam habeat, cui tum vis omnis inest, ut Pl. 187. ubi quærenti Pluto,

ἐγὼ τοσαῦτα δυνατός εἰμ' εἷς ὢν ποιεῖν;

respondet Chremylus:

καὶ ναὶ μὰ Δία τούτων γε πολλῷ πλείονα.

Sed *μὰ* sine *ναὶ* apud veteres non affirmat. Afferuntur in contrarium exempla pauca e Plutarcho, Luciano, Libanio, aliisque recentioribus. Vide Thomam M. in *μὰ* et Luciani interpretem T. ii. p. 718. et 767. Sed præterquam nihil ista ad Aristophanem faciunt, illorum forte locorum plures aliter quam vulgo in bonis codicibus exstant. Miror a nemine in exemplum adductum fuisse prioris ætate et auctoritate potioris Callimachi Epigr. xii. (Edit. Batavæ xlv.) cujus ultimum hoc est distichon:

ὤπτηται μεγαλωστὶ, μὰ δαίμονας. οὐκ ἀπὸ ῥυσμοῦ
εἰκάζω. φωρὸς δ' ἴχνια φὼρ ἔμαθον.

Vertit interpres: *Torretur vehementer per deos: non de tramite aberro conjectura; furis vero vestigia ipse fur novi.* Sed prava est versio, et lectio, et interpunctio. Sic distingui et scribi oportuit:

ὤπτηται μέγα δή τι. μὰ δαίμονας, οὐκ ἀπὸ ῥυσμοῦ
εἰκάζω· φωρὸς δ' ἴχνια φὼρ ἔμαθον.

μὰ δαίμονας ad sequentem negationem pertinet, ut apud Comicum millies. *Non, ita me dii ament, falsa conjectura ducor.* Vel *ab ejus figura tantum conjecturam facio: sed furis vestigia fur ipse novi.* *ῥυσμὸς figuram* significat, ut ostendit Menagius ad Diog. Laërt. p. 415. Denique in membr. Vaticanis scriptum est *μεγάλη τι*, unde alii *μεγάλως τι* fecerunt, alii *μεγαλωστί*: perperam. Emendandum erat *μέγα δή τι*, quod conjectura adsecutum est Bentleii numen, cui nos stolidi morem non gessimus. Lineola tantum differunt ΜΕΓΑΔΗΤΙ et ΜΕΓΑΛΗΤΙ. Membranæ Vat. menda orta ex frequenti commutatione literarum Α. Λ. Δ. cujus aliud exemplum est in nota ad Thesm. 456. Istuc *μέγα δή τι* Callimacho in deliciis fuisse ostendit Princeps Criticorum. Sic Strato Epigr. xxii. *καῦμά μ' ἔχει μέγα δή τι.* et Epigr. xlii.

καὶ μὴν καὶ τὸν, ὅτ' ἐστὶν ἐν ἀγκάσιν, εὐθὺ θέλοντα,
καὶ παρέχοντα χύδην, οὐ πάνυ δή τι φιλῶ.

466. *πολλήν γ', ἐάνπερ.* Duo Regii *πολλή γ' ἐάν περ.* Aug. *πολλήν γ'*— quod congruum est. Repetendum enim

Χορὸς Γεροντῶν.

ὦ πόλλ᾽ ἀναλώσας ἔπη, Πρόβουλε τῆσδε τῆς γῆς,
τί τοῖσδε σαυτὸν ἐς λόγους τοῖς θηρίοις ξυνάπτεις;
οὐκ οἶσθα λουτρὸν, οἷον αἵδ᾽ ἡμᾶς ἔλουσαν ἄρτι
ἐν τοῖσιν ἱματιδίοις, καὶ ταῦτ᾽ ἄνευ κονίας;

Χορὸς Γυναικῶν.

ἀλλ᾽, ὦ μέλ᾽, οὐ χρὴ προσφέρειν τοῖς πλησίοισιν εἰκῆ
τὴν χεῖρ᾽· ἐὰν δὲ τοῦτο δρᾷς, κυλοιδιᾷν ἀνάγκη.
ἐπεὶ θέλω ᾽γὼ σωφρόνως, ὥσπερ κόρη, καθῆσθαι,
λυποῦσα μηδέν᾽ ἐνθαδὶ, κινοῦσα μηδὲ κάρφος·
ἢν μή τις ὥσπερ σφηκιὰν βλίττῃ με κἀρεθίζῃ.

Χορὸς Γεροντῶν.

ὦ Ζεῦ, τί ποτε χρησόμεσθα
τοῖσδε τοῖσι κνωδάλοις;
οὐ γάρ ἐστ᾽ ἀνεκτὰ τάδ᾽. ἀλλὰ βασανιστέον
τόδε σοι πάθος μετ᾽ ἐμοῦ,
ὅ τι βουλόμεναί ποτε τὴν Κραναάν
κατέλαβον, ἐφ᾽ ὅ τι τε
μεγαλόπετρον, ἄβατον,
ἀκρόπολιν, ἱερὸν τέμενος.
ἀλλ᾽ ἀνερώτα, καὶ μὴ πείθου, καὶ πρόσφερε πάντας ἐλέγχους·
ὡς αἰσχρὸν ἀκωδώνιστον ἐᾶν τοιοῦτον πρᾶγμα μεθέντας.

Πρόβουλος.

καὶ μὴν αὐτῶν τοῦτ᾽ ἐπιθυμῶ, νὴ τὸν Δία, πρῶτα πυθέσθαι,
ὅ τι βουλόμεναι τὴν πόλιν ἡμῶν ἀπεκλείσατε τοῖσι μοχλοῖσιν.

---

ex interrogatione verbum *οἶμαι*. Vulgo *πολλὴν ἰάν γε*—

467. *Πρόβουλε τῆσδε τῆς γῆς.* Sic bene Kusterus ex nescio cujus emendatione. Tres codd. cum Juntina aliisque veteribus *τῆσδε γῆς*, mutilo versu.

476. *χρησόμεσθα.* Sic duo Regii. Vulgo *χρησόμεθα*.

484. *μὴ πείθου.* Sic scribendum esse evincit metri ratio. Male vulgo *πιθοῦ*. Illud jam ante a me repositum postea inveni in duobus Regiis. Iidem et Aug. seq. v. recte ad metri legem habent *τοιοῦτον*. Male vulgo *τοιοῦτο*.

487. Turpiter depravatum hunc versum exhibent recentiores Comici editiones:

ὅ τι βουλόμεναι τὴν ἀκρόπολιν ἡμῶν ἀπεκλείσατε μοχλοῖς.

Quæ imperiti nescio cujus editoris interpolatio est. In Aug. ut in Juntina ceterisque veteribus editt. legitur:

Λυσιστράτη.

ἵνα τἀργύριον σῶν παρέχοιμεν, καὶ μὴ πολεμοῖτε δι' αὐτό.

Πρόβουλος.

διὰ τἀργύριον πολεμοῦμεν γάρ;

Λυσιστράτη.

καὶ τἄλλα γε πάντ' ἐκυκήθη.

ἵνα γὰρ Πείσανδρος ἔχοι κλέπτειν, χοἱ ταῖς ἀρχαῖς ἐπέχοντες,
αἰεί τινα κορκορυγὴν ἐκύκων. οἱ δ' οὖν τοῦδ' οὕνεκα δρώντων
ὅ τι βούλονται· τὸ γὰρ ἀργύριον τοῦτ' οὐκέτι μὴ καθέλωσιν.

Πρόβουλος.

ἀλλὰ τί δράσεις;

Λυσιστράτη.

τοῦτό μ' ἐρωτᾷς; ἡμεῖς ταμιεύσομεν αὐτό.

Πρόβουλος.

ὑμεῖς ταμιεύσετε τἀργύριον;

Λυ. τί δὲ δεινὸν τοῦτο νομίζεις;
οὐ γὰρ τἄνδον χρήματα πάντως ἡμεῖς ταμιεύομεν ὑμῖν;

Πρ. ἀλλ' οὐ ταυτόν.

Λυ. πῶς οὐ ταυτόν;

Πρ. πολεμητέον ἔστ' ἀπὸ τούτου.

Λυ. ἀλλ' οὐδὲν δεῖ πρῶτον πολεμεῖν.

Πρ. πῶς γὰρ σωθησόμεθ' ἄλλως;

ὅ τι βουλόμεναι τὴν πόλιν ἡμῶν ἀπεκλείσατε τοῖς μοχλοῖς.

In Regio A.

ὅ τι βουλόμεναι τὴν πόλιν οὕτως ἡμῶν ἀπεκλείσατε μοχλοῖς.

Nec aliter B. nisi quod οὕτως omittit. In eo voci πόλιν superscripta glossa τὴν ἀκρόπολιν, e Scholiastæ expositione petita. Censebit quis forte lectionem prioris Regii recipi debuisse; sed obstat syllabæ modulus in μοχλοῖς, quod nullibi apud Comicum occurrit, nisi priore correpta. Itaque tutius fuit Dawesii emendationem sequi, e penitissima Aristophanei metri peritia ductam. Vides eam ab antiqua lectione sola duarum vocum forma differre. Properanti librario, et ductus aliquot calami compendi facere volenti, commodum visum est τοῖς μοχλοῖς pro τοῖσι μοχλοῖσιν.

488. παρέχοιμεν. Solœce vulgo παρέχωμεν. Illud recte exhibent Aug. et B. In A. σῶν κατέχοιμεν.

489. καὶ τἄλλα γε. Sic Regii. Vulgo τἄλλα τε.

490. ταῖς ἀρχαῖς ἐπέχοντες. Sic etiam Suidas in κορκορυγάς. Perperam Regii τὰς ἀρχάς.

491. αἰεί. Vulgo ἀεί. Vide infra ad 1230. οὕνεκα pro vulgato εἵνεκα habent Regii. In Aug. ἕνεκα.

494. τί δὲ δεινὸν τοῦτο νομίζεις. Vulgo τί δεινὸν, claudicante versu.

Λυ. ἡμεῖς ὑμᾶς σώσομεν.
Πρ. ὑμεῖς;
Λυ. ἡμεῖς μέντοι.
Πρ. σχέτλιόν γε.
Λυ. ὡς σωθήσει, κᾂν μὴ βούλῃ.
Πρ. δεινόν γε λέγεις.
Λυ. ἀγανακτεῖς·
ἀλλὰ ποιητέα ταῦτ᾽ ἐστὶν ὅμως.
Πρ. νὴ τὴν Δήμητρ᾽, ἄδικόν γε.
Λυ. σωστέον, ὦ 'τάν.
Πρ. κεἰ μὴ δέομαι;
Λυ. τοῦδ᾽ οὕνεκα καὶ πολὺ μᾶλλον.
Πρ. ὑμῖν δὲ πόθεν περὶ τοῦ πολέμου τῆς τ᾽ εἰρήνης ἐμέλησεν;
Λυ. ἡμεῖς φράσομεν.
Πρ. λέγε δὴ ταχέως, ἵνα μὴ κλάῃς.
Λυ. ἀκροῶ δή,
καὶ τὰς χεῖρας πειρῶ κατέχειν.
Πρ. ἀλλ᾽ οὐ δύναμαι. χαλεπὸν γὰρ
ὑπὸ τῆς ὀργῆς αὐτὰς ἴσχειν.
Λυ. κλαύσει τοίνυν πολὺ μᾶλλον.

Πρόβουλος.

τοῦτο μὲν, ὦ γραῦ, σαυτῇ κρώξαις· σὺ δ᾽ ἐμοὶ λέγε.

499. Hunc versum in impressis omissum tres codd. sic exhibent:
ὡς σωθήσει, κᾂν μὴ βούλῃ — δεινὸν λέγεις — ἀγανακτεῖς.
Exciderat particula γε, quæ habetur infra 529. δεινόν γε λέγεις, κού τλητὸν ἔμοιγε. Minus emendare A. σωθήσῃ.

500. ἀλλὰ ποιητέα ταῦτ᾽ ἐστὶν ὅμως. Sic optime Regii. Aug. ut Juntina et utraque Basileensis ἀλλ᾽ ἀποκτέα, quod quid sit, vel unde emerserit, neminem arbitror adhuc suspicatum fuisse. Ortum est a prava scriptura αλλα ποητεα. η, ut millies observatum ab iis qui codices tractarunt, in κ mutatum, et voces male distinctæ, ἀλλ᾽ ἀποκτέα pro ἀλλὰ ποητέα. Hoc primum certissimum est. In priore Veneta, unde in ceteras transiit, emendatum fuit ἀλλ᾽ ἀποδεκτέα, conjectura sane non inepta, quæque auctorem habet hominem eruditum. ἀποδέχομαι, unde verbale ἀποδεκτέον, exemplis illustrat Taylor ad Lysiam p. 768. edit. Lipsiensis. Sed longe præstat nostra lectio certa nixa auctoritate. Permutationis literarum η et κ permulta dabit exempla Juntina editio, quæ instar scripti codicis est. Alterum observare memini in hac ipsa fabula v. 1281. ἰκίον pro ἠΐον.

501. τοῦδ᾽ οὕνεκα. Sic recte B. et Aug. In A. τοῦγ᾽ ἕνεκα. Regii καὶ πολύ. In Aug. et in vett. editt. καὶ omissum cum metri ruina.

Λυσιστράτη.

ταῦτα ποιήσω.

ἡμεῖς, τὸν μὲν πρότερον πόλεμον καὶ τὸν χρόνον, ἠνεχόμεσθα,
ὑπὸ σωφροσύνης τῆς ἡμετέρας, τῶν ἀνδρῶν, ἅττ' ἐποιεῖτε.
οὐ γὰρ γρύζειν εἰᾶθ' ἡμᾶς. κᾆτ' ἐκ ἠρέσκετέ γ' ἡμᾶς.
ἀλλ' ᾐσθανόμεσθα καλῶς ὑμῶν· καὶ πολλάκις, ἔνδον ἂν οὖσαι,
ἠκούσαμεν ἄν τι κακῶς ὑμᾶς βελευσαμένους μέγα πρᾶγμα·
εἶτ' ἀλγοῦσαι τἄνδοθεν, ὑμᾶς ἐπανηρόμεθ' ἂν γελάσασαι·
Τί βεβούλευται περὶ τῶν σπονδῶν ἐν τῇ στήλῃ παραγράψαι
ἐν τῷ δήμῳ τήμερον ὑμῖν; Τί δέ σοι τοῦτ'; ἦδ' ὃς ἂν ὡνήρ·
οὐ σιγήσει; κἀγὼ 'σίγων.

Γυνή.

ἀλλ' οὐκ ἂν ἐγώ ποτ' ἐσίγων.

Πρόβουλος.

κᾂν ᾤμωξάς γ', εἰ μὴ 'σίγας.

Λυσιστράτη.

τοιγὰρ ἔγωγ' ἔνδον ἐσίγων.

ἕτερόν τι πονηρότερον δήπου βούλευμ' ἐπεπύσμεθ' ἂν ὑμῶν.
εἶτ' ἠρόμεθ' ἄν· Πῶς ταῦτ', ὦνερ, διαπράττεσθ' ὧδ' ἀνοήτως;
ὁ δ' ἔμ' εὐθὺς ὑποβλέψας φάσκεν ἄν· Εἰ μὴ τὸν στήμονα νήσεις,

508. τῶν ἀνδρῶν, ἅττ' ἐποιεῖτε. Sic recte A. Vulgo spreta et metri et sermonis lege ἅττ' ἂν ποιεῖτε. In B. saltem ad loquendi normam ἅττ' ἂν ποιῆτε.

510. ἔνδον ἂν οὖσαι. Sinceram hanc editionum lectionem habet Aug. In B particula ἂν omissa versu ruente: in A. ἔνδον ἐοῦσαι. Postremum hoc non admittit plebeius Comicorum sermo.

514. Τί δέ σοι τοῦτ'; ἦδ' ὃς ἂν ὡνήρ. Vulgo ταῦτ' ἦδ' ὃς ἂν ἀνήρ. Regius uterque τοῦτ'. A. ἦδ' ὃς ὁ ἀνήρ: alter ἦδ' ὃς ἀνήρ. Vides ex istis legitimam lectionem reconcinnatam fuisse.

515. ἀλλ' οὐκ ἂν ἐγώ. Hoc dicit quævis alia mulier. In A. præfixa persona Μυῤῥίνη, et superscriptum γυνή. In B. μία γυνή.

516. ᾤμωξας. Sic duo Regii cum Vat. et Voss. Mox vocem ἔνδον in prioribus editt. omissam et a Kustero repositam agnoscunt tres mei codd. Sed ἔγωγ' omittunt.

517. Hic versus toto pede vulgo mutilus est, omissa voce δήπου, quam suppeditavit Regius A. Kusteri conjectura non contentus reposueram primo: ἀλλὰ τάχ' ἕτερόν τι πονηρότερον βούλευμ'—

519. Corrupte vulgo legitur hic versus tum quoad metrum, tum quoad φράσιν;

ὁ δέ μ' εὐθὺς ὑποβλέψας ἔφασκε, καὶ μὴ
τὸν στήμονα νήσω—

Persanatum eum fore credidit Orvillius ad Charit. p. 506. si legatur φάσκεν: sed non animadvertit absurdum esse καὶ μὴ νήσω. Nullus hic locus esse potest copulæ. Regii vocem ἔφασκε omittunt, præterea in A. scriptum ὑπο-

ὀτοτύξει τοι μακρὰ τὴν κεφαλήν· ΠΟΛΕΜΟΣ Δ' ΑΝ-
ΔΡΕΣΣΙ ΜΕΛΗΣΕΙ.

Πρόβουλος.

ὀρθῶς γε λέγων, νὴ Δί', ἐκεῖνος.

Λυσιστράτη.

πῶς ὀρθῶς, ὦ κακόδαιμον,
εἰ μηδὲ κακῶς βουλευομένοις ἐξῆν ὑμῖν ὑποθέσθαι;
ὅτε δῆθ' ὑμῶν ἐν ταῖσιν ὁδοῖς φανερῶς ἠκούομεν ἤδη,
Οὐκ ἔστιν ἀνὴρ ἐν τῇ χώρᾳ, μὰ Δί', οὐ δῆτ' ἔσθ' ἕτερός τις·
μετὰ ταῦθ' ἡμῖν εὐθὺς ἔδοξεν σῶσαι τὴν Ἑλλάδα κοινῇ
ταῖσι γυναιξὶ ξυλλεχθείσαις. ποῖ γὰρ καὶ χρῆν ἀναμεῖναι;
ἢν οὖν ἡμῶν χρηστὰ λεγουσῶν ἐθελήσητ' ἀντακροᾶσθαι,
κἀντισιωπᾶν, ὥσπερ χ' ἡμεῖς, ἐπανορθώσαιμεν ἂν ὑμᾶς.

Πρόβουλος.

ὑμεῖς ἡμᾶς; δεινόν γε λέγεις, κοὐ τλητὸν ἔμοιγε.

βλίψας, εἰ μὴ τὸν στήμονα νήσεις, quod postremum verissimum est: unde maximam partem optime reposui:

ὁ δ' ἔμ' εὐθὺς ὑποβλέψας φάσκεν ἄν·
Εἰ μὴ τὸν στήμονα νήσεις.

V. seq. vulgo legitur ὀτοτύξεσθαι, congruenter quidem, quum præcessisset νήσω: duo Regii ὀτοτύξεσθε. Utraque lectio corrupta est ex ὀτοτύξει τοι. Quis non sentit quantum accedat vis et leporis huic narrationi, si directa referatur mariti increpatio, ad eundem modum, quo supra, τί βεβούλευται ὑμῖν; et τί δέ σοι ταῦτ'; et πῶς ταῦτα διαπράττεσθ'; Tamen quia φάσκεν sine augmento non est ex Comici usu, præstat minore mutatione, transpositis tantum duabus vocibus, cum Valckenario ad Herodotum p. 353. legere:

ὁ δ' ἔμ' εὐθὺς ἔφασκεν ὑποβλέψας· Εἰ
μὴ τὸν στήμονα νήσεις
ὀτοτύξει τοι μακρὰ τὴν κεφαλήν.

reliqua pars meæ emendationis certissima est, fide veteris codicis nixa.

520. πόλεμος δ' ἄνδρεσσι μελήσει. Facete hæc traducta ex Hectoris ab Andromacha discedentis oratione Iliad. vi, versus finem:

ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε,
ἱστόν τ', ἠλακάτην τε, καὶ ἀμφιπόλοισι
κέλευε
ἔργον ἐποίχεσθαι· ΠΟΛΕΜΟΣ Δ' ΑΝ-
ΔΡΕΣΣΙ ΜΕΛΗΣΕΙ.

quæ παρῳδεῖ infra mulier: πόλεμος δὲ γυναιξὶ μελήσει.

523. ὅτε δῆθ' ὑμῶν. Corrupte vulgo et mendosissime ὅτε δ' ἤδ' ὑμῶν. Nostrum exhibet A. et jamdudum repositum fuerat in priore Veneta, unde in alteram migravit. Falsum est quod ait Berglerus ultimam in ἤδη posse elidi.

524. μὰ Δί', οὐ δῆτ' ἔσθ' ἕτερός τις. Sic certissime metrum restitui, inserto ἔσθ', quod eleganter repetitum vim sermoni addit. Omittunt hoc verbum etiam tres mei codd. In Regiis, ut vulgo, οὐ δῆθ' ἕτερός τις. In Aug. οὐ δῆτ' ἕτερός τις, ubi tenuis consonans leve indicium dat omissi verbi. Similiter ἔσθ' omissum vulgo Av. 276.

529. σιώπα. Sic vulgo absurdissime constitutus hic locus.

Λυσιστράτη.

σιώπα.

Πρόβουλος.

σοί γ', ὦ κατάρατε, σιωπῶ 'γώ; καὶ ταῦτα κάλυμμα φορούσῃ
περὶ τὴν κεφαλήν; μή νυν ζῴην.

Λυσιστράτη.

ἀλλ' εἰ τοῦτ' ἐμπόδιόν σοι,
παρ' ἐμοῦ τουτὶ τὸ κάλυμμα λαβὼν,
ἔχε καὶ περίθου περὶ τὴν κεφαλὴν,
κᾆτα σιώπα,
καὶ τοῦτον τὸν καλαθίσκον·
κᾆτα ξαίνειν ξυζωσάμενος,
κυάμους τρώγων·
ΠΟΛΕΜΟΣ ΔΕ ΓΥΝΑΙΞΙ ΜΕΛΗΣΕΙ.

Χορὸς Γυναικῶν.

ἀπαίρετ', ὦ γυναῖκες, ἀπὸ τῶν καλπίδων, ὅπως ἂν

Λυσιστράτη.

σιώπα,

σίγ', ὦ κατάρατε.

Πρόβουλος.

σιωπῶ 'γώ;

Λυσιστράτη.

κ̔ ταῦτα καλύμματα φέρει
περὶ τὴν κεφαλήν.

Πρόβουλος.

μὴ νῦν ζῴην.

ubi non metri magis quam sensus habita ratio. Proclive erat e Scholiaste reponere καὶ ταῦτα κάλυμμα φορούσῃ, quod Kustero ne quidem observatum, animadvertit Dawesius Miscell. Crit. p. 75. Præterea loquendi vices personis male divisas esse monuerunt Markland ad Eurip. Suppl. 454. et Toup Cur. Nov. in Suidam p. 82. sed neuter rem confecit. Postquam Lysistrata ira concitata dixit σιώπα, *tais-toi*, nihil insuper addere debuit: quod illi præterea tribuunt σίγα, frigidum est. Ubi duo illa verba conjunguntur, hoc primo loco semper positum videbis; σίγα, σιώπα. Tum participium φορούσῃ cum emphasi prolatum ob voces καὶ ταῦτα, ad expressum nomen, vel pronomen, vel personam præcedentis verbi referri debet. Tres mei codd. perspicue exhibent:

σοί γ', ὦ κατάρατε, σιωπῶ 'γὼ, καὶ ταῦτα κάλυμμα φορούσῃ
περὶ τὴν κεφαλήν; μὴ νῦν ζῴην.

In Regiis ante σοί γ' adscripta persona Προβ. cui omnia continuantur, ut in nostra editione. σοί γε σιωπῶ; *tibine taceam?* dictum hic, ut Ran. 1134. ἐγὼ σιωπῶ τῷδ';

559. Vulgo αἴρεσθ', ὦ γυναῖκες. Ab anapæstis transit sermo ad iambos. Qui vel pauxillum metra adtigit, statim videt illud αἴρεσθ' esse depravatum. Nihil tamen ad hunc locum belli editores Strepsiadis similes. Antiquiorem codicibus nostris labem eluam. Scholiastes textus vocem exponens ἀναχωρήσατε ait: quæ interpretatio manifeste refertur ad ἀπαίρετ'. Hesychius: ἀπαίρει, ἀναχωρεῖ. Concion. 818.

ἐν τῷ μέρει χ' ἡμεῖς τι ταῖς φίλαισι συλλάβωμεν.
ἐγὼ γὰρ οὔποτ' ἂν κάμοιμ' ὀρχουμένη,
οὔτε τὰ γόνατα κόπος ἕλοι μου καματηρός.
ἐθέλω δ' ἐπὶ πᾶν ἰέναι μετὰ τῶνδ',
ἀρετῆς ἕνεχ', αἷς
ἔνι φύσις, ἔνι χάρις,
ἔνι δὲ θράσος, ἔνι δὲ
σοφὸν, ἔνι φιλόπολις
ἀρετὴ φρόνιμος.
ἀλλ', ὦ τηθῶν ἀνδρειοτάτων καὶ μητριδίων ἀκαληφῶν,
χωρεῖτ' ὀργῇ, καὶ μὴ τέγγεσθ'· ἔτι γὰρ νῦν ἔρια θεῖτε.

Λυσιστράτη.

ἀλλ' ἤνπερ ὁ γλυκύθυμος Ἔρως, χ' ἡ Κυπρογένει' Ἀφροδίτη

μεστὴν ἀπῆρα τὴν γνάθον χαλκῶν ἔχων. Frequens historicis verbum tam de terrestri, quam de maritimo itinere. Hoc confidenter reposui, tam certus veram Comici manum restituisse, quam si tres codices adstipularentur. Mirabor tamen, ni mihi censor aliquis mutatæ absque auctoritate lectionis crimen intentet. At si quis,

οἴνου παρόντος, ὄξος ἠράσθη πιεῖν,

fruatur ille suo sensu.

540. *χ' ἡμεῖς τι ταῖς φίλαισι συλλάβωμεν.* Vulgo *χ' ἡμεῖς τε* perperam. Regii *τι*. Harum vocularum frequentissima permutatio viros etiam adtentiores aliquando fefellit, quod ipsi exemplo nostro ostendimus Thesm. 21.—*συλλάβωμεν.* Sic edi debuit nullo ad codices respectu, ne spondæus alienam occuparet sedem. Alibi observavi Atticum ξ librarios temere adscivisse vel neglexisse, sine certa lege. Hic, casune an consilio, recte in Regiis scriptum *συλλάβωμεν.*

541. Iambicum senarium in vulgata lectione nemo agnoscat:

ἐγὼ γὰρ οὔποτε κάμοιμ' ἂν ὀρχουμένη.

Nostram lectionem exhibet Regius A.

542. *οὔτε.* Sic ambo Regii: vulgo *οὐδέ.* Tum *ἕλοι*, quod nemo non reposuisset, quia pendet ab eadem particula *ἂν*, qua præcedens verbum *κάμοιμ'*, præstat A. pro vulgato *ἕλοι.*

549. *ἀνδρειοτάτων.* Nec *ἀνδρειοτάτη*, nec *ἀνδρειόταται* hic scribendum: sed retinenda codicum omnium lectio: subauditur nomen *θυγατέρες.* Utrumque substantivum suum adjectivum habet, quod multo est elegantius. Una fidelia duos parietes dealbavit Kusterus ad hunc locum et ad Suidam in *τήθη*: sed fallitur utrobique. Corrigendi e Comico Suidas, Athenæus, et qui eum descripsit Eustathius pag. 1485. l. 49.

Dixi ad hunc versum genitivos pendere a suppresso nomine *θυγατέρες.* Plena locutio occurrit apud Æschyl. S. Th. 794.

θαρσεῖτε παῖδες μητέρων τεθραμμέναι.

Est autem *μητριδίων* a recto *μητρίδιον*, non vero, ut inepte tradit Scholiastes, a *μητριδία*, unde Kusterus in indicem retulit *μητρίδιαι ἀκαλῆφαι*, quod reliquisse nollem. A *μήτηρ* formatur diminutivum *μητρίδιον*, ut a *πατὴρ*, *πατρίδιον.*

551. *ἤνπερ ὁ* — Syllaba *περ* producitur ob asperitatem consonantis *ρ*, quam sequitur vocalis aspirata, ut in illo Ho-

ἵμερον ἡμῶν κατὰ τῶν κόλπων καὶ τῶν μηρῶν καταπνεύσῃ,
κᾆτ' ἐντέξῃ τέτανον τερπνὸν τοῖς ἀνδράσι καὶ ῥοπαλισμοὺς,
οἶμαί ποτε Λυσιμάχας ἡμᾶς ἐν τοῖς Ἕλλησι καλεῖσθαι.

Πρόβουλος.

τί ποιησάσας;

Λυσιστράτη.

ἢν παύσωμεν πρώτιστον μὲν ξὺν ὅπλοισιν
ἀγοράζοντας, καὶ μαινομένους.

Γυνή.

νὴ τὴν Παφίαν Ἀφροδίτην.

Λυσιστράτη.

νῦν μὲν γὰρ δὴ καὶ ταῖσι χύτραις καὶ τοῖς λαχάνοισιν ὁμοίως
περιέρχονται κατὰ τὴν ἀγορὰν ξὺν ὅπλοις, ὥσπερ Κορύβαντες.

Πρόβουλος.

νὴ Δία· χρὴ γὰρ τοὺς ἀνδρείους.

Λυσιστράτη.

καὶ μὴν τόγε πρᾶγμα γέλοιον,
ὅταν ἀσπίδ' ἔχων καὶ Γοργόνα τις, κᾆτ' ὠνεῖται κορακίνους.

Γυνή.

νὴ Δί' ἔγωγ' ἓν ἄνδρα κομήτην φυλαρχοῦντ' εἶδον ἐφ' ἵππου
ἐς τὸν χαλκοῦν ἐμβαλλόμενον πῖλον λέκιθον παρὰ γραός·
ἕτερος δὲ Θρᾷξ πέλτην σείων κᾀκόντιον, ὥσπερ ὁ Τηρεὺς,

---

meri versu Ἰλ. α'. 342.

τοῖς ἄλλοις· ἦ γὰρ ὅγ' ὀλοιῇσι φρεσὶ θύει.

Tum observa in Κυπρογένει' primam produci, quod Dawesii canonem de potestate tenuis vel aspiratæ sequente liquida labefactat.

556. νὴ τὴν Παφίαν Ἀφροδίτην. Verba hæc, quæ vett. editt. Lysistratæ continuant, tres codd. alii personæ tribuunt. In Aug. lineola mutatam personam indicat: in Regiis adscriptum Προβ. Ego mulieri cuidam probabilius tribuo: ironiæ enim, quam his verbis Provisori tributis inesse ait Scholiastes, nihil mihi subolet.

557. χύτραι et λάχανα hic notant non *ollas* et *olera*; sed fora, seu loca ubi illa venibant. Usitatissima Atticis hæc synecdoche Eq. 1375.

τὰ μειράκια ταυτὶ λέγω, τἀν τῷ μύρῳ.

Sic Vesp. 789. ἐν τοῖς ἰχθύσι *in foro piscario*. Eupolis apud Pollucem ix. 47.

περιῆλθον εἰς τὰ σκόροδα καὶ τὰ κρόμμυα,
καὶ τὸν λιβανωτὸν, κεὐθὺ τῶν ἀρωμάτων,
καὶ περὶ τὰ γέλγη.

Multa exempla congessit Taylor Lect. Lysiacarum circa finem, quæ si conferas, facile mecum in opinionem venies hic scribi oportuisse:

νῦν μὲν γὰρ δὴ κἀν ταῖσι χύτραις κἀν τοῖς λαχάνοισιν ὁμοίως.

ἐδεδίσκετο τὴν ἰσχαδόπωλιν, καὶ τὰς δρυπέπεις κατέπινε.

Πρόβουλος.

πῶς οὖν ὑμεῖς ἕξετε παῦσαι τεταραγμένα πράγματα πολλὰ
ἐν ταῖς χώραις, καὶ διαλῦσαι;

Λυσιστράτη.

φαύλως πάνυ.

Πρόβουλος.

πῶς; ἀπόδειξον.

Λυσιστράτη.

ὥσπερ κλωστῆρ᾽ ὅταν ἡμῖν ᾖ τεταραγμένος, ὧδε λαβοῦσαι,
ἐπενεγκοῦσαι τοῖσιν ἀτράκτοις, τὸ μὲν ἐνταυθοῖ, τὸ δ᾽ ἐκεῖσε·
οὕτως καὶ τὸν πόλεμον τοῦτον διαλύσομεν, ἤν τις ἐάσῃ,
διενεγκοῦσαι διὰ πρεσβειῶν, τὸ μὲν ἐνταυθοῖ, τὸ δ᾽ ἐκεῖσε.

Πρόβουλος.

ἐξ ἐρίων δὴ καὶ κλωστήρων καὶ ἀτράκτων πράγματα δεινὰ
παύσειν οἴεσθ᾽, ὦ ἀνόητοι;

Λυσιστράτη.

κἂν ὑμῖν γ᾽ εἴ τις ἐνῆν νοῦς,
ἐκ τῶν ἐρίων τῶν ἡμετέρων ἐπολιτεύεσθ᾽ ἂν ἅπαντα.

Πρόβουλος.

πῶς δή; φέρ᾽ ἴδω.

Λυσιστράτη.

πρῶτον μὲν ἐχρῆν, ὥσπερ πόκον ἐν βαλανείῳ,
ἐκπλύναντας τὴν οἰσπώτην, ἐκ τῆς πόλεως ἐπικλινεῖς
ἐκραβδίζειν τοὺς μοχθηρούς, καὶ τοὺς τριβόλους ἀπολέξαι·

564. τὰς δρυπέπεις. Sic Aug. et B. quæ sincera est scriptura. Vulgo δρυπέπους. Vide Jo. Piersonum ad Mœrim p. 121.

565. Vulgo legitur labefactato metro, πῶς οὖν ὑμεῖς δύνασθε παῦσαι. Emendabat Kusterus πῶς οὖν ὑμῖν δυνατὸν παῦσαι. Sed ulcus soli verbo δύνασθε subest, quod glossema genuini verbi locum invasit. Scripserat Comicus: πῶς οὖν ὑμεῖς ἕξετε παῦσαι.

574. πρῶτον μὲν ἐχρῆν. Sic tres codd. optime. Vulgo πρῶτα, ruente metro, quia in ἐχρῆν prior semper corripitur. Nihil magis inutile est quam Kusteri emendatio reponentis πόκον.

576. ἀπολέξαι e duobus codd. a Kustero bene repositum agnoscunt etiam bini Regii. Mendosam priorum editt. lectionem ἀπολέσαι præfert Aug. At consentiunt tres codd. in prava lectione præc. v. ἐπὶ κλίνης, quod in duabus

καὶ τοὺς γε συνισταμένους τούτους, καὶ τοὺς πιλοῦντας ἑαυτοὺς
ἐπὶ ταῖς ἀρχαῖσι διαξῆναι, καὶ τὰς κεφαλὰς ἀποτῖλαι·
εἶτα ξαίνειν ἐς καλαθίσκον κοινὴν εὔνοιαν ἅπαντας,
καταμιγνύντας τούς τε μετοίκους, κεἴ τις ξένος, ἢ φίλος ὑμῖν,
κεἴ τις ὀφείλει τῷ δημοσίῳ, καὶ τούτους ἐγκαταμίξαι·
καὶ νὴ Δία τάς γε πόλεις, ὁπόσαι τῆς γῆς τῆσδ' εἰσὶν ἄποικοι,
διαγιγνώσκειν ὅτι ταῦθ' ἡμῖν ὥσπερ τὰ κατάγματα κεῖται
χωρὶς ἕκαστον· κᾆτ' ἀπὸ τούτων πάντων τὸ κάταγμα λαβόντας,
δεῦρο ξυνάγειν καὶ ξυναθροίζειν εἰς ἕν· κᾄπειτα ποιῆσαι
τολύπην μεγάλην· κᾆτ' ἐκ ταύτης τῷ Δήμῳ χλαῖναν ὑφῆναι.

Πρόβουλος.

οὔκουν δεινὸν ταυτὶ ταύτας ῥαβδίζειν καὶ τολυπεύειν,
αἷς οὐδὲ μετῆν πάνυ τοῦ πολέμου;

Λυσιστράτη.

καὶ μήν, ὦ παγκατάρατε,
πλεῖν ἤ γε διπλοῦν αὐτὸν φέρομεν. πρώτιστον μέν γε τεκοῦσαι
κἀκπέμψασαι παῖδας ὁπλίτας.

Πρόβουλος.

σίγα, μὴ μνησικακήσῃς.

Λυσιστράτη.

εἶθ' ἡνίκα χρῆν εὐφρανθῆναι, καὶ τῆς ἥβης ἀπολαῦσαι,
μονοκοιτοῦμεν διὰ τὰς στρατιάς. καὶ θἠμέτερον μὲν ἐᾶτε·

Venetis reperio. Propius ad verum accedit Juntina ἐπικλίνεις, accentu tantum male posito.

592. διὰ τὰς στρατιάς. Sic A. recte: minio superscriptum εί, sive sit interpretatio, sive emendatio, sive varia lectio. Aug. ut veteres editiones omnes στρατειὰς, accentu genuinæ vocis indicium dante, quod observavit Orvillius ad Charit. p. 540. Editiones recentiores στρατείας. Ammonius: στρατεία, ἐκτεταμένως, τὸ πρᾶγμα· στρατιά, συνεσταλμένως, τὸ τῶν στρατιωτῶν πλῆθος. ἐναλλάσσει δὲ πολλάκις ἐν τῇ χρήσει. Postremam observationem confirmat Photius in Lexico, Ruhnkenio laudatus ad Timæum p. 171. στρατιὰν, συστέλλοντες τὴν δευτέραν συλλαβὴν, οὐ μόνον τὸ στράτευμα λέγουσι, ἀλλὰ καὶ αὐτὴν τὴν στράτευσιν. οὕτως Ἀριστοφάνης. Parum interest fueritne Aristophanes, quem testem advocat, Comicus noster, an Grammaticus. Priorem certum est promiscue hoc vocabulo usum fuisse. In impressis etiam Acharn. 251. 1143. Eq. 587. στρατιὰ legitur pro στρατεία. Sequitur καὶ θἠμέτερον μὲν ἐᾶτε, ut recte legit Berglerus: vulgo κᾆθ' ἡμέτερον mendose. Articulus omnino requiritur, ut significari possit, quod sententia

περὶ τῶν δὲ κορῶν ἐν τοῖς θαλάμοις γηρασκουσῶν ἀνιῶμαι.

Πρόϐουλος.

οὔκουν κἄνδρες γηράσκουσιν;

Λυσιστράτη.

μὰ Δί' ἀλλ' οὐκ εἶπας ὅμοιον.
ὁ γὰρ ἥκων μὲν, κἂν ᾖ πολιὸς, ταχὺ παῖδα κόρην γεγάμηκε·
τῆς δὲ γυναικὸς μικρὸς ὁ καιρός· κἂν τέτε μὴ 'πιλάϐηται,
οὐδεὶς ἐθέλει γῆμαι ταύτην. ὀττευομένη δὲ κάθηται.

Πρ. ἀλλ' ὅστις ἔτι στῦσαι δυνατὸς ---

Λυ. σὺ δὲ δὴ τί παθὼν οὐκ ἀποθνήσκεις;
καίριος ἐσσί γε· σορὸν ὠνήσει·
μελιτοῦτταν ἐγὼ καὶ δὴ μάξω.

fert: *quod ad rem nostram spectat, illud quidem mittite.*

593. περὶ τῶν δὲ κορῶν. Perperam vulgo τῶνδε.

594. οὔκουν κἄνδρες—id est καὶ ἄνδρες. Sic duo Regii optime. Vulgo οὔκουν γ' ἄνδρες.

595. ὁ γὰρ ἥκων μέν. Sic duæ minores editt. Batavæ, e Florentis, ut videtur, emendatione, quam stulte contemsit Kusterus, qui priorum editionum mendosam revocavit lectionem, ὁ μὲν γὰρ ἥκων. At in duobus Regiis legitur, quod nunc primum, serius quam oportuit, animadverto, ὁ μὲν ἥκων γάρ. Iidem v. seq. habent κἂν τούτου. Perperam vett. editt. contra metri et constructionis legem habent τοῦτο. Illud Kusterus e Batavis adsumsit, quas etiam in præc. versus lectione sequi debebat.

598. ἀλλ' ὅστις ἔτι στῦσαι—Regulare est systema anapæsticum a v. 484. usque ad 607. quod rite clauditur dimetris, quorum ultimus parœmiacus est præcedente basi. Hoc nulli editorum suboluisse videtur, qui tot versus, quorum soluta metra, silentio præterierunt. Hic mendose vulgo legitur ὅστις ἐστὶ—

599. In Regiis persona huic versui præfixa Lysistratæ, non, ut vulgo, alius mulieris. Habent autem illi etiam τί μαθών. Quod habet edit. prior. Sed legendum est omnino τί παθών. Ut Nub. 402. Pace 701. Bene monentibus Florenti et Scaligero obsequi debueram. Frequentissima est Luciano formula illa τί παθὼν, cujus idiotismum explicatum videbis in nota ad Vigerum p. 230.

600. Vulgo legitur absque ullo sensu, χωρίον ἐστί· σορὸν ὠνήσει. Ad metrum saltem oportuisset ἐστίν. Reposui e mera conjectura; nam nihil hic juvant codd. καίριος ἐσσί γε. Nemo autem ad poëticam formam offendat, et credat ejusmodi verba Atticam scenam respuisse. En fidejussorem Euripidem, Helena 1246.

πιστὴ γὰρ ἐσσὶ σῷ πόσει φεύγουσά με.

Editiones Venetæ habent καίριόν ἐστι: nescio unde: sed propius ad meam emendationem. Confer quæ notavi ad Eurip. Or. 446.

601. μελιτοῦτταν. Vulgo ἀμέτρως et barbare μελιττοῦταν. Frequens in hac voce librariorum lapsus. Forma contracta est ex μελιτόεσσα, ut οἰνοῦττα ex οἰνόεσσα. Postremum hoc unicum est istius generis quod in vulgatis libris emendate excusum sit, Pl. 1121. Vide ad Nubes 507. et Aves 567.

λαβὲ ταυτὶ καὶ στεφάνωσαι.
Γυ. α'. καὶ ταυτασὶ δέξαι παρ' ἐμοῦ.
Γυ. β'. καὶ τουτονδὶ λαβὲ τὸν στέφανον.
Λυ. τί σε δεῖ; τί ποθεῖς; χώρει ἐς ναῦν.
ὁ Χάρων σε καλεῖ·
σὺ δὲ κωλύεις ἀνάγεσθαι.
Πρ. εἶτ' οὐχὶ ταῦτα δεινὰ πάσχειν ἔστ' ἐμέ;
νὴ τὸν Δί' ἀλλὰ τοῖς Προβούλοις ἄντικρυς
ἐμαυτὸν ἐπιδείξω, βαδίζων ὡς ἔχω.
Λυ. μῶν ἐγκαλεῖς, ὅτι οὐχὶ προὐθέμεσθά σε;
ἀλλ' ἐς τρίτην γοῦν ἡμέραν σοι πρῲ πάνυ

603, 4. Hi versus, qui in vulgatis eidem ac superiores tribuuntur personæ, singuli singulis mulieribus tributi in Regiis, quod actionem scenæ et vividiorem et lepidiorem reddit. In altero τουτονὶ perperam vulgo, labante versu, legitur.

605. τί σε δεῖ; τί ποθεῖς; χώρει ἐς ναῦν. Hic versus in duas lineas; non enim adeo ineptus sum, ut versus eas appellem; vulgo discerptus est ad hunc modum:

τοῦ δέει; τί ποθεῖς;
χώρει εἰς τὴν ναῦν.

Teterrimam labem codicibus meis antiquiorem, qui nihil variant, nisi quod pro δέει A. habet δέῃ, sustuli, reconcinnato anapæstico dimetro. Scriptum fuit olim τί σε δεῖ, cujus in locum glossema se intrusit τοῦ δέει. Verbum δεῖ cum accusativo personæ construitur, qua de re videndus Valckenarius ad Hippolytum 23. quem præstantissimum virum agniturum arbitror hac loquendi forma non abstinuisse Aristophanem. Dubitationi locus esset, si unicum hoc ex mea emendatione proferretur exemplum. Sed en alterum: Conc. 297.

ὡς ἂν χειροτονῶμεν
ἅπανθ', ὁπόσ' ἂν δέῃ τὰς ἡμετέρας φίλας.

Exemplis ex Euripide enotatis addantur ista: Herc. Fur. 1173.

ἦλθον, εἴ τι δεῖ, γέρον,
ἢ χειρὸς ὑμᾶς τῆς ἐμῆς, ἢ ξυμμάχων.

Ion. 1028.

ὦ φιλτάτη παῖ, πάντ' ἔχεις, ὅσων σε δεῖ.

611. ὅτι οὐχί. Sic bene Aug. Observes velim apud Aristophanem ι nuspiam elidi in ὅτι, non magis quam in περί. Nub. 1223.

ὅτι ἐς δύ' εἶπεν ἡμέρας. τοῦ χρήματος;

non ὅτ' ἐς, quod ambiguum fuisset, quum posset accipi pro ὅτε ἐς. Thesm. 275.

μέμνησο τοίνυν ταῦθ', ὅτι ἡ φρὴν ὤμοσεν.

non ὅθ' ἡ — Ad eundem modum scribo adstipulantibus codicibus, Ran. 922. ὅτι αὐτὸν ἐξελέγχω. 1386. ὅτι εἰσέθηκε. Eq. 101. ὅτι οὐκ ἐλήφθην. Acharn. 516. ὅτι οὐχὶ τὴν πόλιν λέγω. Et sic in omnibus locis, ubi vulgo facta elisio.

612. Legitur vulgo: ἀλλ' ἐς τρίτην γοῦν ἡμέραν πρωῒ πάνυ. Mendosissime. πρωῒ dissyllabum non agnoscit Atticus sermo, nec semel quidem apud Comicum occurrit, qui etiamsi eo usus fuisset, neutiquam tamen ultimam produxisset. Excidit pronomen ad sensum maxime necessarium, quod e Regiis codd. repono:

ἀλλ' ἐς τρίτην γοῦν ἡμέραν σοι πρῲ πάνυ.

Tres codd. γοῦν una voce exhibent. De Attico πρῲ vide doctissimum Ruhnkenium ad Timæum p. 160. et quæ

ἥξει παρ' ἡμῶν τὰ τρίτ' ἐπεσκευασμένα.

Χορὸς Γεροντῶν.

οὐκ ἔτ' ἔργον ἐγκαθεύδειν, ὅστις ἔστ' ἐλεύθερος·
ἀλλ' ἐπαποδυώμεθ', ἄνδρες, τουτῳὶ τῷ πράγματι.
ἤδη γὰρ ὄζειν πλειόνων καὶ μειζόνων
πραγμάτων ταδὶ δοκεῖ μοι.
καὶ μάλιστ' ὀσφραίνομαι τῆς Ἱππίου τυραννίδος·
καὶ πάνυ δέδοικα, μὴ
τῶν Λακώνων τινὲς
δεῦρο συνεληλυθότες
ἄνδρες ἐς Κλεισθένους,
τὰς θεοῖς ἐχθρὰς γυναῖκας ἐξεπαίρωσιν δόλῳ,
καταλαβεῖν τὰ χρήμαθ' ἡμῶν,
τόν τε μισθὸν ἔνθεν ἔζων.

notavi paucula ad Æsch. Prom. 702. ubi dubium non est, quin reponendum sit πρῴ γε στενάζεις. In A. emendate scriptum ΠΡΩ͂, ι ductu minore ad latus posito. In B. mendose πρωῒ pro πρωῒ, quomodo scribere solebant imperiti librarii, tametsi metri scansio monosyllabum requireret. Et ea est ratio, cur in Platonis codd. semper πρωῒ occurrat, licet certum sit illum pro dialecti suæ more adverbium hoc semper una syllaba extulisse. Vera hujús vocabuli, ut et aliorum multorum pronuntiatio e solis poëtis cognosci potest, ad quorum normam eorumdem vocabulorum scriptura in metro solutis auctoribus reformanda est, quod meminisse velim futurum Platonis editorem.

613. Vulgo legitur: ἥξει παρ' ἡμῶν τὰ τρίτ' ἐσκευασμένα; mendose, quia τὰ ante literas τρ male et contra artem producitur. Regius uterque recte ἐπισκευασμένα. Vide notam ad v. 408.

615. Vulgo legitur: ἀλλ' ἐπαποδυώμεθ', ἄνθρωποι, τουτωὶ τῷ πράγματι. Istud ἄνθρωποι metri ratio facessere jubet, quod alias per se ineptissimum est. Duo Regii dant ἄνδρες, quod etiam sine codd. proclive erat reponere.

616. ἤδη γὰρ ὄζειν γε ταδὶ μειζόνων καὶ πλειόνων. Sic edit. prior, et Regii ambo, nisi quod A. ὄζει habet: alter vero γε omittit. Vulgo ἤδη γὰρ ὄζειν ταδὶ πλειόνων καὶ μειζόνων. Harum lectionum neutra sana est. Scribendum:

ἤδη γὰρ ὄζειν πλειόνων καὶ μειζόνων
πραγμάτων ταδὶ δοκεῖ μοι.

Prior versus senarius est iambicus: alter dimeter trochaicus. Sic olim emendaveram et scripseram in priore meo apographo, quod, tametsi retinendum erat, stolida nescio qua veterum librorum reverentiâ præpeditus in textu non reposui, et nunc manifesto video fuisse reponendum.

619. Hic versus et tres sequentes dimetri sunt pæonici.

625. τόν τε μισθὸν ἔνθεν ἔζων. Cave credas casu aut typothetæ negligentia omissam fuisse vocem ἐγὼ, quam in fine hujus versus addunt editiones omnes, agnoscuntque codd. A. mala manu est, ex inutili et inepta glossa orta. Versus hic dimeter est trochaicus, ut præcedens.

δεινὰ γάρτοι τάσδε γ' ἤδη τοὺς πολίτας νουθετεῖν,
καὶ λαλεῖν γυναῖκας οὔσας ἀσπίδος χαλκῆς πέρι,
καὶ διαλλάττειν πρὸς ἡμᾶς ἀνδράσιν Λακωνικοῖς,
οἷσιν οὐδὲν πιστὸν, εἰ μή περ λύκῳ κεχηνότι.
ἀλλὰ ταῦθ' ὕφηναν ἡμῖν, ἄνδρες, ἐπὶ τυραννίδι.
ἀλλ' ἐμοῦ μὲν οὐ τυραννεύσουσ'· ἐπεὶ φυλάξομαι,
καὶ φορήσω τὸ ξίφος τολοιπὸν ἐν μύρτου κλαδὶ,
ἀγοράσω τ' ἐν τοῖς ὅπλοις ἑξῆς 'Αριστογείτονι,
ὧδέ θ' ἑστήξω παρ' αὐτόν· αὐτὸς οὖν μοι γίγνεται
τῆς θεοῖς ἐχθρᾶς πατάξαι τῆσδε γραὸς τὴν γνάθον.

Χορὸς Γυναικῶν.

οὐ γὰρ εἰσιόντας οἴκαδ' ἡ τεκοῦσα γνώσεται.
ἀλλὰ θώμεσθ', ὦ φίλαι γρᾶες, ταδὶ πρῶτον χαμαί.
ἡμεῖς γὰρ, ὦ πάντες ἀστοὶ, λόγων κατάρχομεν
τῇ πόλει χρησίμων·
εἰκότως, ἐπεὶ χλιδῶσαν ἀγλαῶς ἔθρεψέ με.
ἑπτὰ μὲν ἔτη γεγῶσ'
εὐθὺς ἠρρηφόρουν·
εἶτ' ἀλετρὶς ἦ· δεκέτις

628. πρὸς hic adverbii vicem fungitur, nec construitur cum ἡμᾶς: idem est ac προσέτι. Ordo est: καὶ πρὸς διαλλάττειν ἡμᾶς ἀνδράσιν Λακωνικοῖς: *et insuper*. Sic in Æsch. Prom. 937.

ἔπειτ' τελεῖται, πρὸς δ', ἃ βούλομαι, λέγω.

confer Ran. 415. 611. Eq. 578.

632. Alludit ad notissimum scolion, quod in minore nostra Anacreontis editione legitur p. 83. τοῦ μύρτου, eo sensu quo usurpat hoc nomen infra 1004. Lacedæmonius Caduceator. Haud equidem sum osor, nolim tamen eos interpretes imitari, qui, ubicunque occurrit vox aliqua apud Comicum, quæ ad obscenum sensum detorqueri queat, illico aiunt eo poëtam respexisse. Scio illum perquam libenter in ambiguitate vocum ludere, qui fons est ei jocorum facetissimorum: sed nihil inde haurit nisi lepidum et ingeniosum. Quod autem post Florentem commentus est Berglerus, id sane insulsum est.

634. In edit. prior. αὐτὸς γάρ μοι γίγνεται. Sic quidem libri omnes, sed manifesta corruptela, ob spondeum in quinta octonarii sede. Metri labem non persensisse videtur Berglerus, qui solius sententiæ ductu αὐτὸ suasit. Florens meras egit nugas. Menda est in γὰρ, ratiocinativa particula, cui nullus est hic locus. Legendum αὐτὸς οὖν μοι γίγνεται. Nisi forte quis putet γὰρ subnatum esse ex ἄρ', qua gratia legere etiam possit, αὐτὸς ἄρ' ἐμοὶ γίγνεται. Quod ad sententiam adtinet, vide not. ad Nub. 1483.

641. γεγῶσ', non, ut vulgo, γεγῶσα, habent duo Regii, et recte quidem. Versus hic dimeter est pæonicus, ut et tres sequentes et v. 639.

642. ἠρρηφόρουν. Sic emendate Aug. et A. Perperam vulgo ἠρριφόρουν. Vide Meursium Gr. Fer. in 'Αρρηφόρια.

οὖσά τ' Ἀρχηγέτι
καταχέουσα τὸν κροκωτὸν ἄρκτος ἢ Βραυρωνίοις·
κἀκανηφόρουν ποτ' οὖσα
παῖς καλὴ, σχοῦσ' ἰσχάδων ὁρμαθόν.
ἆρα προὐφείλω τι χρηστὸν τῇ πόλει παραινέσαι;
εἰ δ' ἐγὼ γυνὴ πέφυκα, τοῦτο μὴ φθονεῖτέ μοι,
ἢ ἀμείνω γ' εἰσενέγκω τῶν παρόντων πραγμάτων.
τοῦ 'ράνου γάρ μοι μέτεστι· καὶ γὰρ ἄνδρας εἰσφέρω,
τοῖς δὲ δυστήνοις γέρουσιν οὐ μέτεσθ' ὑμῖν· ἐπεὶ
τὸν ἔρανον τὸν λεγόμενον παππῷον ἐκ τῶν Μηδικῶν
εἶτ' ἀναλώσαντες, οὐκ ἀντεισφέρετε τὰς εἰσφοράς.
ἀλλ' ὑφ' ὑμῶν διαλυθῆναι προσέτι κινδυνεύομεν.

644. Ἀρχηγέτι. Sic tres codd. cum Schol. Perperam vulgo Ἀρχηγέτις. Dativus est contractus, ut μήτι. Significatur Diana, quæ in Braurone colebatur, et *præses* erat illius pagi. Vide rursus Meursium Gr. Fer. in Βραυρώνια.

645. καταχέουσα τὸν κροκωτὸν ἄρκτος ἢ Βραυρωνίοις. Sic legendus hic versus. Claudicat vulgo ob omissionem articuli τὸν, quem habent tres codd. cujusque indicium, seu potius reliquias servant vett. editt. in quibus excusum καταχέουσαν. In Aug. perspicue καταχέουσα. In Regiis κατέχουσα, quod in duobus aliis repertum præferendum duxit, immo in textu reposuit Kusterus sine ullo acumine, summaque cum metri imperitia. Nam κατέχουσα respuit versus trochaici lex, quæ trochæum vel tribrachyn, neutiquam vero pyrrichium in prima sede admittit. Præterea absurda est illa lectio. Quis unquam κατέχειν κροκωτὸν græce dixit, pro *crocota amictam esse?* καταχέουσα τὸν κροκωτὸν significat *laxam, recinctam fluere sinens crocotam, fluente crocota amicta.*

647. σχοῦσ'. Sic ad metri præscriptum scribendum. Vulgo ἔχουσ'.

παῖς καλὴ, σχοῦσ' ἰσχάδων ὁρμαθόν. Libri omnes pro σχοῦσ' habent ἔχουσ'. Dicere debebam, ingrati hiatus vitandi gratia ἔχουσ' me in σχοῦσ' mutasse, de metri autem præscripto silere, quod minime observavi. Quod enim pro versu dedi, versus non est, ne trochaicus quidem, quippe qui desinat in duas breves; nec, si pro tali haberi posset in hoc canticum rite insereretur, cujus constructio non alios admittit trochaicos, quam dimetros et tetrametros. Versus esse debet tetrameter pæonicus, quod manifesto ostendunt tres integri pedes, secundo duobus temporibus defecto. Facile erat frequens librariorum peccatum hic deprehendere, quorum culpa excidit præpositio verbi compositi. Scripserat Comicus:

παῖς καλὴ, περιέχουσ' ἰσχάδων ὁρμαθόν.

Agnoscis jam suavissimos pæonicos numeros. περιέχουσα autem præcise dictum valet ἔχουσα περὶ τὸν τράχηλον.

654. εἶτ' ἀναλώσαντες. Metro coactus poëta particulam εἶτα ante participium collocavit, quæ ei subjici debebat. Ordo enim naturalis est: ἐπεὶ τὸν ἔρανον ἀναλώσαντες, εἶτα οὐκ ἀντεισφέρετε. Observatum hoc Kœnio ad Corinthum de Dial. p. 62. ubi usus particulæ εἶτα post participia Comico admodum familiaris illustratur.

ἆρα γρυκτόν ἐστιν ὑμῖν; εἰ δὲ λυπήσεις τί με,
τῷδέ γ' ἀψήκτῳ πατάξω τῷ κοθόρνῳ τὴν γνάθον.

Χορὸς Γεροντῶν.

ταῦτ' οὐχ ὕβρις τὰ πράγματ'
ἐστὶ πολλή; κἀπιδώσειν
μοι δοκεῖ τὸ χρῆμα μᾶλλον.
ἀλλ' ἀμυντέον τὸ πρᾶγμ', ὅστις γ' ἐνόρχης ἔστ' ἀνήρ.
ἀλλὰ τὴν ἐξωμίδ' ἐκδυώμεθ', ὡς τὸν ἄνδρα δεῖ
ἀνδρὸς ὄζειν εὐθύς· ἀλλ' οὐκ ἐντεθριῶσθαι πρέπει.
ἀλλ' ἄγετε λυκόποδες,
οἵπερ ἐπὶ Λειψύδριον
ἤλθομεν, ὅτ' ἦμεν ἔτι,
νῦν δεῖ,
νῦν ἀνηβῆσαι πάλιν,
κἀναπτερῶσαι
πᾶν τὸ σῶμα, κἀποσείσα-
σθαι τοδὶ τὸ γῆρας.
εἰ γὰρ ἐνδώσει τις ἡμῶν ταῖσδε κἂν σμικρὰν λαβήν,
οὐδὲν ἐλλείψουσιν αὗται λιπαροῦς χειρουργίας·
ἀλλὰ καὶ ναῦς τεκτανοῦνται, κἀπιχειρήσουσ' ἔτι
ναυμαχεῖν, καὶ πλεῖν ἐφ' ἡμᾶς, ὥσπερ Ἀρτεμισία·
ἢν δ' ἐφ' ἱππικὴν τράπωνται, διαγράφω τοὺς ἱππέας.

658. Hic et duo seq. versus male vulgo scripti sunt,

ταῦτ' οὐχ ὕβρις τὰ πράγματ' ἐστὶ
πολλή; κἀπιδώσειν μοι δοκεῖ
τὸ χρῆμα μᾶλλον.

In Regiis diversa est nec tamen melior primi scriptura: ταῦτ' οὖν οὐχ ὕβρις τὸ πρᾶγμ' ἐστίν. Primus dimeter est iambicus catal. quem sequuntur duo dimetri trochaici.

671. Laborabat etiam versiculus iste qui male scriptus erat,

σθαι τὸ γῆρας τοδί.

dimeter est trochaicus brachycatal. quem phallicum vocant.

673. λιπαροῦς χειρουργίας. Absurde vulgo et labante metro legitur λιπαρᾶς. Illud reponendum esse vidit etiam Berglerus.

676. διαγράφω τοὺς ἱππέας. Sic ad metri normam scripserat poëta. Editiones omnes ante Kusterum διαγράψω, haud quidem repugnante sententia, sed cum versus labe, quod illi ne quidem suboluit. Quum vero in codicibus mendosiorem adhuc scripturam, quam præferunt etiam duo Regii, reperisset, διαγράψαι, istuc arripuit, perperamque interpretatus est. Reiskius, qui minus etiam quam Strepsiades metra curabat, saltem διαγράψαι illud, quod tamen præ

ἱππικώτατον γάρ ἐστι χρῆμα κἄποχον γυνή·
κοὐκ ἂν ἀπολίσθοι τρέχοντος· τὰς δ' Ἀμαζόνας σκόπει,
ἃς Μίκων ἔγραψ' ἐφ' ἵππων μαχομένας τοῖς ἀνδράσιν.
ἀλλὰ τούτων χρῆν ἁπασῶν ἐς τετρημένον ξύλον
ἐγκαθαρμόσαι λαβόντας τουτονὶ τὸν αὐχένα.

Χορὸς Γυναικῶν.

εἰ, νὴ τὼ θεώ, με ζωπυρήσεις,
λύσω τὴν ἐμαυτῆς ὗν ἐγὼ δή,
καὶ ποιήσω
τήμερον τοὺς δημότας βωστρεῖν σ' ἐγὼ πεκτούμενον.
ἀλλὰ χ' ἡμεῖς, ὦ γυναῖκες, θᾶττον ἐκδυώμεθα,
ὡς ἂν ὄζωμεν γυναικῶν αὐτοδὰξ ὠργισμένων.
νῦν πρὸς ἔμ' ἴτω τις, ἵνα
μή ποτε φάγῃ σκόροδα,
μηδὲ κυάμους μέλανας·

διαγράψαι non flocci faciebat, ad sensum non admodum improbabiliter explicavit, subintelligendo χρή. Præterquam quod præsens tempus hic omnino requirit lex metri, in eo etiam est quiddam elegans. Terentius Eun. ii. 3.

O faciem pulchram! deleo omnes dehinc ex animo mulieres.

677. Alluditur ad illum Ἀφροδίτης τρόπον, de quo supra ad v. 60. Ad pendulam illam Venerem, cujus fructu delectabantur etiam mulieres tribades alternis se inscendentes, spectant Asclepiadis Epigrammata xxix. xxx.

678. κοὐκ ἂν ἀπολίσθοι τρέχοντος. Sic distincte et perspicue Aug. et B. quæ genuina lectio est, cuilibet græce scienti statim se approbans. Misere depravata fuit a librariis et editoribus. In A. κοὐκ ἂν ἀπολίσθαι τρέχον γε. In Juntina et utraque Basil. κοὐκ ἀναπολίσθαι τρέχοντος. Duæ Venetæ κοὐκ ἀναπολεῖται. Pessime omnium editiones recentiores κοὐκ ἀναπολεῖσθαι. Nihil ad hunc locum Kusterus; pauca, sed inepta notavit Berglerus: tentavit eum, sed infeliciter, Taylor Lect. Lys. p. 686. Genuinam lectionem solus conjectura adsecutus est Dawesius Miscell. Crit. p. 339. ἂν ἀπολίσθοι. Illi κωυκ vel κουδ' condonandum est.

679. ἃς Μίκων ἔγραψ' ἐφ' ἵππων. Vulgo, metro reclamante, ἔγραψεν, quod jam emendaverat Florens. Facetum in modum depravata est scriptura binorum Reg. ἔγραψε φιλίππῳ ubi tamen latet vestigium veteris lectionis εγραψ εφ ιππων. Miconis pictura erat in Porticu, cui nomen Ποικίλη, quam describit Meursius Ath. Att. p. 20. In fine versus ἀνδράσιν scribendum ob vocalem initio sequentis versus, et sic est in A.

681. τουτονὶ τὸν αὐχένα. Sic libri omnes. Mallem τουτοὶ ad ξύλον relatum.

683. τὴν ἐμαυτῆς ὗν. Sic tres codd. et vett. editt. In recentioribus τόν. Duos seq. versus distinxi ad exemplum Reg. codd. quod recte factum nemo non videt. Prior monometer est trochaicus, alter tetrameter, ut duo sequentes.

689. In Regiis hic versus cum seq. in unum coaluit. Tetrameter esset pæonicus pro duobus dimetris.

ὥς εἰ
καὶ μόνον κακῶς ἐρεῖς,
ὑπερχολῶ γὰρ,
ἀετὸν τίκτοντα κάνθα-
ρός σε μαιεύσομαι.

Γυνή τίς.

οὐ γὰρ ὑμῶν φροντίσαιμ' ἂν, ἣν ἐμοὶ ζῇ Λαμπιτὼ,
ἥ τε Θηβαία φίλη παῖς εὐγενὴς Ἰσμηνία.
οὐ γὰρ ἔσται δύναμις, οὐδ' ἢν ἑπτάκις σὺ ψηφίσῃ,
ὅστις, ὦ δύστην', ἀπήχθου πᾶσι καὶ τοῖς γείτοσιν.
ὥστε κἀχθὲς τῇ 'κάτῃ ποιοῦσα παιγνίαν ἐγὼ,
τοῖσι παισὶ τὴν ἑταῖραν ἐκάλεσ' ἐκ τῶν γειτόνων,
παῖδα χρηστὴν κἀγαπητὴν ἐκ Βοιωτῶν ἔγχελυν·

694. ἀετὸν Attice ; vulgo αἰετόν.

700. τῇ 'κάτῃ, pro τῇ Ἑκάτῃ, cujus nominis ob metrum prima eliditur. Sic distincte Aug.

702. κἀγαπητήν. Sic duo Regii, ut Bisetus recte emendavit. Ante eum e Juntina legebatur, ut est in Aug. παῖδα χρηστὴν καμπτητὴν, sine ullo sensu. Hoc exemplo, multisque aliis passim in his notis obviis, ostenditur optime de antiquis auctoribus eorumque studiosis mereri viros doctos, qui sublatis librariorum mendis, genuinas revocant voces formasque loquendi, quas illis, ut ipsi olim auctori, ingenii acumen, linguæ peritia, et perspecta sententia suggerunt. Hæc quidem laus a viris quibusdam artis criticæ imperitis in invidiam trahitur. Quod pueri audierunt, receptam in veterum scriptis lectionem immutari non debere sine codicum auctoritate, legem iis, quibus pauper est ingenii vena, tenuisque eruditionis apparatus, sane percommodam, hanc omnibus impositam esse clamitant. Sed dicite mihi, quæso, quænam est illa recepta lectio, pro qua tam acriter digladiamini ? scilicet ea est, quam præfert liber, quo utimini : hic ex. gr. καμπτητήν : supra, v. 678. κοὐκ ἀναπολεῖσθαι. Sed absurda sunt ista, quæ nullam, ne coactam quidem, admittunt interpretationem : nec vir quispiam elegans hujusmodi sordes ob oculos habere velit, quibus nulla non præferenda conjectura est. Lectionibus a me repositis nulla amplius controversia moveri potest, quas satis confirmant veteres libri a me primum inspecti. Sed antequam sic suffultæ essent, dixisset Biseto, aut ei qui prudenter doctam ingeniosamque Dawesii recepisset emendationem, infrunitus aliquis censor: *Heus tu, cur receptam lectionem e conjectura mutas? Quiane probabile tibi videtur, id quod reponis? Sed alius de eo secus judicabit, suamque conjecturam* INFERCIET, *quam rursum alius non flocci faciet præ eo quod ipse commentus fuerit: eoque tandem res adducetur, ut tot diversi textus exstituri sint, quot fuerint editores, utque veteres poëtæ, si reviviscant, suamet ipsorum scripta in libris nostris non agnituri.* Sed, ô bone, ut paratragœdias! Non agnoscet Euripides sua dramata, ob triginta circiter in singulis voces emendatius scriptas, quam in codice quo usus est Aldus ? Næ ille si

οἱ δὲ πέμψειν οὐκ ἔφασκον διὰ τὰ σὰ ψηφίσματα.
κοὐχὶ μὴ παύσεσθε τῶν ψηφισμάτων τούτων, πρὶν ἂν

revivisceret, miraretur tot ea maculis a librariorum stupore conspersa fuisse, gratiasque haberet doctis viris, qui vel omnes, vel plurimas abstersissent. *Tu* vero eam rationem, qui fraudi vertere potes, quum, emendato textu, portenta priorum editionum, quibus adeo delectaris, in notis fideliter et accurate repræsentata reperias? Si autem aliquis tam hebeti palato est, ut saporem optimæ lectionis, sententiæ ex omni parte convenientis, et ad loquendi normam exactæ, non probet, aliudque sive ingenioli ostentandi cupidine, sive obloquendi studio conquirat, is ludibrium debebit et exsibilabitur, quo modo Kusterum ad hunc locum excipi par est, qui eleganti Biseti emendationi frigidam prætulit et ταυτολόγον Florentis conjecturam Κωπαΐτιν. Nec unicus hic locus est ubi Kusteri judicium desideres. Vide Thesm. 128.

704. κοὐχὶ μὴ παύσεσθε. Sic ad rectam loquendi normam scribi debuit, quod certis argumentis adstruxit Dawesius Misc. Crit. p. 222. vulgo παύσησθε. Quam proclivis fuerit in commutandis modis librariorum lapsus, præsertim ignorantium quidnam interesset, illene an alter cum negativis particulis οὐ μὴ adhiberetur, nemo non videt; et proinde quid amplectendum sit ex perspecta linguæ indole potius quam e scriptis libris decernendum est. Hi tamen, quo sunt antiquiores et emendatiores, eo minus hac in parte peccant, quod sæpius aliis in Comici locis ostendam. Nunc Tragicorum quædam loca proferre juvat quæ certissimam hanc græci sermonis regulam confirmant. Sophocles Electra 42.

οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ γνῶσ', οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον.

Vides ibi γνῶσι aor. 2. subj. et ὑποπτεύσουσιν futurum indic. in eadem phrasi conjungi cum οὐ μή. Qui Parisiensibus librorum institoribus nuper operam suam addixit, ut ante triginta circiter annos excuso Sophocli præfationem, notas, metrica scholia adderet, ne situ corrumperetur, sumtusque nunquam exsarciret suos, ad illum Tragici locum sic commentatur. *Cl. Brunck ex Cl. Dawes legibus edidit* ὑποπτεύσουσι. *conf. not. in Ajac. v.* 561. Temperare mihi nequeo, quin cum illo homine pauca verba commutem. "Dic mihi, amabo, CLARISSIME PROFESSOR, undenam rescivisti me ὑποπτεύσουσι edidisse *ex Dawesii legibus?* Ignorabas utique quid me permovisset ad eam lectionem amplectendam. Quanto tibi satius erat mei non meminisse, quam meas rationes temere sic hariolari! Scias velim in quatuor codicibus melioris notæ ὑποπτεύσουσιν a me fuisse repertum, quorum scriptura leges illas Dawesianas, quas tu ne quidem intelligis, confirmat. In Ajace v. 560.

οὔ σοι σ' Ἀχαιῶν, οἶδα, μή τις ὑβρίσει.

Sic in uno cod. perspicue scriptum reperi: in alio, ὑβρίσῃ, superposita ultimæ literæ diphthongo ει: in utroque vetus glossa ἀτιμάσει, quæ manifesto ad ὑβρίσει refertur, non autem ad ὑβρίσῃ. Age jam videamus, quid ad eum locum, quo nos amandas, nugeris. *Etiam in his aoristum primum subjunctivum locum habere vetat Cl. Dawes Miscell. Crit. p. 222. et probat Cl. Brunck. Sed exceptionem nullam aoristo passivo concedit. Non meminerat scilicet in Œdipo Tyr.* οὐ μὴ σε ῥηθῇς. *v.* 790. *nec in Æschyl. Sept. ad Theb.* οὔ τι μὴ ληφθῶ δόλῳ. *v.* 38. *De versu autem Trachin.* 996. οὐ μὴ 'ξεγείρῃς, *ubi Cl. vir legere jubet* οὐ μὴ 'ξεγερεῖς. *Vide notam ad locum.* Nondum nos docuisti particulas οὐ μή, qua lege aut qua ratione cum aor. 1. subj. vocis activæ construantur; nec argumenta Dawesii adtigisti, nedum ea convelleris. Sed quid tibi vis cum tua exceptione aor.

τοῦ σκέλους ὑμᾶς λαβών τις ἐκτραχηλίσῃ φέρων.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ, ΛΥΣΙΣΤΡΑΤΗ, ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ, ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ, ΓΕΡΩΝ ΤΙΣ.

Χορὸς Γυναικῶν.

ΑΝΑΣΣΑ πράγους τοῦδε καὶ βουλεύματος,
τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων;

Λυ. κακῶν γυναικῶν ἔργα, καὶ θήλεια φρὴν
ποιεῖ μ' ἄθυμον, περιπατεῖν τ' ἄνω κάτω.

Χορὸς Γυναικῶν.

τί φῄς; τί φῄς;

Λυ. ἀληθῆ, ἀληθῆ.

subj. vocis passivæ? Nonne illud est, quod modo aiebam, te Dawesianas leges ne quidem intelligere? Nam ille in egregia illa observatione ad Nub. 366. de voce passiva ne verbum quidem facit. Sed paulo infra, scilicet p. 229. ubi de particularum ὅπως μὴ, quarum eadem est ratio, constructione agit, hæc habet: IDEM DICTUM PUTA DE ALTERO VOCULARUM PARI ΟΥ ΜΗ. Et mox: *Legitime quidem construitur vocula ὅπως, altera μὴ vel comite vel absente, cum aoristo secundo formæ vel activæ vel mediæ,* UTI ET CUM AORISTO PRIMO PASSIVÆ. Postrema hæc tam de οὐ μὴ, quam de ὅπως μὴ ex Dawesii sententia intelligenda esse adeo manifestum est, ut Th. Burgess, qui summa cum laude Dawesiani operis novam editionem adornavit, binas observationes in indice conjunxerit his verbis: ΟΥ ΜΗ *non nisi cum futuro indicativi vel cum aoristo altero subjunctivi activæ, vel* AORISTO PRIMO PASSIVÆ VOCIS *construitur.* Vide jam quam bene Dawesium reprehenderis. Qui autem vir acutissimus et græce doctissimus negasset particulas οὐ μὴ cum aor. 1. subj. formæ passivæ construi, quod tu illi adfingis? Sane illæ cum verbis omnibus passivis construi debent, quorum tamen multa aoristo secundo prorsus carent: necesse est ergo, ut primum adsciscant. Denique videamus an in nota ad Trachin. quo nos rursus ablegas, meliora sis nos edocturus. Ibi v. 980. medio in systemate anapæstico leguntur hi versus:

οὐ μὴ 'ξεγείρῃς τὸν ὕπνῳ κάτοχον,
κἀκκινήσῃς, κἀνταστήσῃς.

Prioris versiculi corruptum metrum manifesto ostendit vitiosam esse lectionem. Sciunt pueri qui nondum ære lavantur, ει et η perpetuo a librariis commutata fuisse. Tu vero, ut Dawesio obloquaris, potius quam facillimam probes emendationem,

οὐ μὴ 'ξεγερεῖς τὸν ὕπνῳ κάτοχον,
κἀκκινήσεις, κἀνταστήσεις.

nobis tuum somnium narras, μὴ 'γείρῃς, quod a veteri lectione longius abest, nervosque abscidit verbo, demta præpositione minime hic vacante. Emendationem illam recipiet dehinc quisquis erit sana mente Sophoclis editor: et, crede mihi, lex Dawesii vigebit, quamdiu non ab alio, quam a te, impugnabitur."

Ut autem semel hac observatione defungar, mihique in posterum nihil aliud opus sit dicto, si codd. lectiones adnotavero regulam firmantes, locum solutæ orationis scriptoris proponam, in quo duo itidem modi conjuncti, ut in primo e Sophocle exemplo, qui itidem male

Χορὸς Γυναικῶν.

τί δ' ἐστὶ δεινόν; φράζε ταῖς σαυτῆς φίλαις.

Λυ. ἀλλ' αἰσχρὸν εἰπεῖν, καὶ σιωπῆσαι βαρύ.

Χορὸς Γυναικῶν.

μή νυν με κρύψῃς, ὅ τι πεπόνθαμεν κακόν.

Λυ. βινητιῶμεν, ᾗ βράχιστον τοῦ λόγου.

Χορὸς Γυναικῶν.

ἰὼ Ζεῦ.

Λυ. τί Ζῆν' ἀϋτεῖς; ταῦτα δ' οὖν οὕτως ἔχει.
ἐγὼ μὲν οὖν αὐτὰς ἀποσχεῖν οὐκέτι
οἵα τ' ἀπὸ τῶν ἀνδρῶν· ἀποδιδράσκουσι γάρ.
τὴν μέν γε πρώτην διαλέγουσαν τὴν ὀπὴν
κατέλαβον, ᾗ τοῦ Πανός ἐστι ταὔλιον·

vulgo constitutus est, quemque itidem e veteri libro emendabo. Initium est fragmenti DIOTOGENIS PYTHAGORÆI apud Stobæum p. 251. quod sic legendum est: Τὼς δὲ νόμως οὐκ ἐν οἰκήμασι καὶ θυρώμασιν ἐπῆμεν δεῖ, ἀλλ' ἐν τοῖς ἤθεσσι τῶν πολιτευομένων. τίς ὦν ἀρχὰ πολιτείας ἁπάσας; νέων τροφά. ΟΥ γὰρ ΜΗ πόκα τὸν καρπὸν ὀνασίφορον ἀμπέλοι ΓΕΝΝΑΣΟΝΤΙ, μὴ φυτοτροφεῦσαι καλῶς, ΟΥΔ' ἵπποι ΜΗ πόκα ΓΕΝΩΝΤΑΙ καλοὶ, πωλοτροφίαν παρέντες. Latini etiam scriptores duplici negatione more Græcorum utuntur, Plautus Epid. v. i. 57.

neque ille haud objiciet mihi
pedibus sese provocatum.—Bacch. iv. 9. 114.

Neque ego haud committam, ut si quid peccatum siet,
fecisse dicas de mea sententia.

Terentius Andr. i. 2. v. ult.
Ne temere facias. Neque tu haud dices tibi non prædictum. Cave.

705. τοῦ σκέλους ὑμᾶς λαβών τις. Sic recte ad metri legem edidit Kusterus, nec alio ordine collocatæ sunt voces in duobus Regiis. Ante Kusterum prorsus ἀμέτρως legebatur τοῦ σκέλους λαβὼν ὑμᾶς τις, quod tamen revocavit Berglerus, homo vanissimus, qui in edendo Aristophane nulli rei magis studuisse videtur, quam ut a Kustero descisceret.

713. Sumptus hic versus ex Æschylo Prom. 197.

ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε,
ἄλγος δὲ σιγᾶν· πανταχῇ δὲ δύσποτμα.

720. διαλέγουσαν. Bergleri versionem retinet edit. prior *pertundentem*. Fucum nobis fecit Scholiastes exponans διορύττουσαν, detorto in obscenum sensum hoc verbo. Quam bene hæc conveniant, non video. Longe melius Hesychius: διαλέγειν, ἀνακαθαίρειν. Verti debuit, *foramen repurgantem*.

721. Πανὸς αὔλιον. Panis antrum subter rupes, quæ *Macræ* dicebantur, ad latus arcis septentrionale. In eo compressa Creüsa ab Apolline, ibidem post exactos menses Ionem peperit. In cognomine Euripidis dramate Creüsæ arcana sua revelanti, v. 946.

οἶσθα Κεκροπίας πέτρας,
πρόσβορρον ἄντρον, ἃς Μακρὰς κικλήσκομεν;

respondet senex patris illius olim pædagogus:

οἶδ', ἔνθα Πανὸς ἄδυτα, καὶ βωμοὶ πέλας.

Ibid. v. 11.

ἔνθα προσβόρρους πέτρας

τὴν δ' ἐκ τροχιλίας αὖ κατειλυσπωμένην·
τὴν δ' αὐτομολοῦσαν· τὴν δ' ἐπὶ στρουθοῦ μίαν
ἤδη πέτεσθαι διανοουμένην κάτω
ἐς Ὀρσιλόχου χθὲς τῶν τριχῶν κατέσπασα.
πάσας τε προφάσεις, ὥστ' ἀπελθεῖν οἴκαδε,
ἕλκουσιν. ἤδη γοῦν τις αὐτῶν ἔρχεται.
αὕτη σύ, ποῖ θεῖς;

Γυ. α'. οἴκαδ' ἐλθεῖν βούλομαι.
οἴκοι γάρ ἐστιν ἔριά μοι Μιλήσια,
ὑπὸ τῶν σέων κατακοπτόμενα.

Λυ. ποίων σέων;
οὐκ εἶ πάλιν;

Γυ. α'. ἀλλ' ἥξω ταχέως, νὴ τὼ θεώ,
ὅσον διαπετάσασ' ἐπὶ τῆς κλίνης μόνον.

Λυ. μὴ διαπετάννυ, μηδ' ἀπέλθῃς μηδαμῇ.

Γυ. α'. ἀλλ' ἐῶ 'πολέσθαι τἄρι';

Παλλάδος ὑπ' ὄχθῳ τῆς Ἀθηναίων χθονὸς
Μακρὰς καλοῦσι γῆς ἄνακτες Ἀτθίδος.
Vide Meursium Ath. Att. ii. 6. ubi tamen Panis non meminit, cui sacrum fuit hoc antrum.

730. Edit. prior habet *κατακαπτόμενα*. Sic legit auctor Etymol. M. in *σεὺς* p. 709. extrema, ubi *κατακαμπτόμενος* male editum pro *κατακαπτόμενα*. Lectionem hanc, viro docto, cujus non recordor, probatam, prætuli vulgatæ *κατακοπτόμενα*, quam nunc meliorem esse agnosco, et reponi velim. Vide Scaligeri notam ad Plauti Mostell. iii. 2. 140. Bene verteretur, *quam tineæ secant*: vel, *quam cædunt tineæ*. Thomas M. *σέες Ἀττικοί, καὶ σίας, ἀπὸ τῆς σεὺς ἀχρήστου εὐθείας, ὥσπερ καὶ υἱέας, ἀπὸ τῆς υἱεὺς—σῆτες δὲ καὶ σῆτας, ἑλληνικὸν, ἀπὸ τοῦ σὴς σητός*. Observationem confirmat ex Luciano adv. indoctum libros multos ementem ubi legitur T. iii. p. 99. *ἢ πόθεν γάρ σοι διαγνῶναι δυνατὸν, τίνα μὲν παλαιὰ καὶ πολλοῦ ἄξια, τίνα δὲ φαῦλα καὶ ἄλλως σαπρὰ, εἰ μὴ τῷ διαβιβρῶσθαι καὶ ΚΑΤΑΚΕΚΟΦΘΑΙ αὐτὰ τεκμαίροιο, καὶ συμβούλους τοὺς ΣΕΑΣ ἐπὶ τὴν ἐξέτασιν παραλαμβάνοις.* Hinc apparet codd. lectionem *κατακοπτόμενα* locum suum optime tueri.

732. *διαπετάσασ'*—Mendam editionis Juntinæ *διαπετάσασα* nullus editor adeo cordatus fuerit ut elueret. Accurata scriptura est cum elisione et apostropho in Aug. et A. quorum auctoritas tamen hic non requiritur.

733. *μὴ διαπετάννυ, μηδ' ἀπέλθῃς.* Vulgo *διαπετάννυε*. Formam quam Regii exhibent, prætuli. Sic Eurip. Med. 747.

ὄμνυ πέδον γῆς, πατέρα θ' Ἥλιον πατρός.

Noster Pace 844.

στόρνυ τ' ἐμοὶ καὶ τῇδε κουρίδιον λέχος.

Est hoc ex indole dialecti Atticæ, quæ formis contractis gaudet. Perperam in A. *ἄπελθε*. Vide infra ad v. 1036.

734. *ἀλλ' ἐῶ 'πολέσθαι τἄρι'; ἦν τούτου δέῃ.* Vulgo minus bene *τἄρια* sine

Λυ. ἢ τούτου δέῃ.
Γυ. β'. τάλαιν' ἐγὼ, τάλαινα τῆς ἀμόργιδος,
ἣν ἄλοπον οἴκοι καταλέλοιπ'.
Λυ. αὕθ' ἡτέρα
ἐπὶ τὴν ἄμοργιν τὴν ἄλοπον ἐξέρχεται.
χώρει πάλιν δεῦρ'.
Γυ. β'. ἀλλὰ, νὴ τὴν Φωσφόρον,
ἔγωγ' ἀποδείρασ' αὐτίκα μάλ' ἀπέρχομαι.
Λυ. μὴ, μὴ 'ποδείρῃς. ἣν γὰρ ἄρξῃ τοῦτο σὺ,
ἑτέρα γυνὴ ταυτὸν ποιεῖν βουλήσεται.
Γυ. γ'. ὦ πότνια Εἰλείθυι', ἐπίσχες τοῦ τόκου,
ἕως ἂν εἰς ὅσιον μόλω 'γὼ χωρίον.
Λυ. τί ταῦτα ληρεῖς;
Γυ. γ'. αὐτίκα μάλα τέξομαι.
Λυ. ἀλλ' οὐκ ἐκύεις σύ γ' ἐχθές.
Γυ. γ'. ἀλλὰ τήμερον.
ἀλλ' οἴκαδέ μ' ὡς τὴν μαῖαν, ὦ Λυσιστράτη,
ἀπόπεμψον ὡς τάχιστα.
Λυ. τίνα λόγον λέγεις;
τί τοῦτ' ἔχεις τὸ σκληρόν;
Γυ. γ'. ἄῤῥεν παιδίον.

elisione. Tum quod Kusterus habet ἣν τοῦτο δέῃ mendum est typographicum, quod religiose servavit nuperrimus editor apud Batavos. Priores editt. omnes habent τούτου, quod metri lex flagitat. Initio versus nonnemini placere poterit lectio cod. A. vulgata mollior: ἐῶ δ' ἀπολέσθαι πᾶρ';

739. ἔγωγ' ἀποδείρασ'—Sic Regii. Perperam vulgo ἐγὼ δ'—Sæpissime ἐγὼ δὲ pro ἔγωγε a librariis positum fuisse observavi ad Eurip. Hippol. 483.—ἀπέρχομαι. Sic, ut impressi, Aug. et A. In B. αὐτίκα μάλα ἐπέρχομαι. Legi possit ἀνέρχομαι vel ἐπανέρχομαι. Sed vulgatum bonum est: subauditur οἴκοθεν, ἐξ οἴκου.

740. μὴ, μὴ 'ποδείρῃς. Male vulgo sine elisione μὴ ἀποδείρῃς.

742. ὦ πότνια Εἰλείθυι'—Vulgo claudicante versu ὦ πότνι' Εἰλείθυι'. Prima in πότνια nusquam apud Comicum producitur, nec salva prosodiæ lege produci potest.

743. ἕως ἂν, *donec, usquedum.* Eo sensu particulas ὡς ἂν ab ullo poëta Attico usurpatas fuisse negavi in nota ad Eurip. Phœn. 89. quod effatum librorum cuidam censori temerarium visum fuit. Si lis ex Aristophanis usu dirimenda sit, non equidem causa cecidero. Quippe in iis quæ Comici nostri supersunt ne semel quidem ὡς ἂν pro *donec* reperietur. Non cavillationibus, sed exemplis ejusmodi observationes refelli debent.

Λυ. μὰ τὴν Ἀφροδίτην οὐ σύ γ'· ἀλλ' ἦ χαλκίον
ἔχειν τι φαίνει κοῖλον· εἴσομαι δ' ἐγώ.
ὦ καταγέλαστ', ἔχουσα τὴν ἱερὰν κυνῆν,
κυεῖν ἔφασκες;
Γυ. γ'. καὶ κυῶ γε, νὴ Δία.
Λυ. τί δῆτα ταύτην εἶχες;
Γυ. γ'. ἵνα, μ' εἰ καταλάβοι
ὁ τόκος ἔτ' ἐν πόλει, τέκοιμ' ἐς τὴν κυνῆν
ἐσβᾶσα ταύτην, ὥσπερ αἱ περιστεραί.
Λυ. τί λέγεις; τί προφασίζει περιφανῆ πράγματα;
οὐ τἀμφιδρόμια τῆς κυνῆς αὐτοῦ μενεῖς;
Γυ. δ'. ἀλλ' οὐ δύναμαί γ' ἔτ' οὐδὲ κοιμᾶσθ' ἐν πόλει,
ἐξ οὗ τὸν ὄφιν εἶδον τὸν οἰκουρόν ποτε.
Γυ. ε'. ἐγὼ δ' ὑπὸ τῶν γλαυκῶν γε τάλαιν' ἀπόλλυμαι
ταῖς ἀγρυπνίαισι κακκαβιζουσῶν ἀεί.
Λυ. ὦ δαιμόνιαι, παύσασθε τῶν τερατευμάτων.
ποθεῖτ' ἴσως τοὺς ἄνδρας· ἡμᾶς δ' οὐκ οἴει
ποθεῖν ἐκείνους; ἀργαλέας εὖ οἶδ' ὅτι

749. *ἀλλ' ἦ χαλκίον.* Sic Regii: vulgo *ἀλλὰ χαλκίον.*

756. *τί λέγεις; τί προφασίζει περιφανῆ πράγματα;* vulgo, *τί λέγεις; προφασίζῃ περιφανῆ τὰ πράγματα.* In B. *τί προφασίζεις; περιφανῆ τὰ πράγματα,* syllaba ultra numerum excurrente. In A. *τί προφασίζῃ περιφανῆ πράγματα;* Hinc proclive fuit genuinam lectionem reconcinnare. Meliore distinctione vulgata juvari possit:

τὶ λέγεις; προφασίζει. περιφανῆ τὰ πράγματα.

In hac necessarius est articulus: in nostra otiosus esset et contra linguæ indolem. Quid intersit manifestum reddet utriusque phraseos gallica versio. *Que dites-vous? vous cherchez des prétextes.* LA CHOSE *est claire. Que dites-vous? pourquoi envelopper de prétextes* UNE CHOSE *évidente?*

757. *οὐ τἀμφιδρόμια.* Perperam vulgo *οὔτ' ἀμ*—Regii *οὐδ' ἀμ*—Vide Meursium Gr. Fer. in Ἀμφιδρόμια.

758. *ἀλλ' οὐ δύναμαί γ' ἔτ' οὐδὲ κοιμᾶσθ' ἐν πόλει.* Sic A. Vulgo, *ἀλλ' οὐ δύναμαι 'γωγ' οὐδὲ*—Pejus in B. *δύναμαί γ' ἔγωγ' οὐδέ.*

759. *τὸν ὄφιν εἶδον.* Sic bene Regii. Perperam vulgo *ἴδον*, quod poëticum in sermone comico locum non habet. Huc respexit Hesychius in *οἰκουρὸν ὄφιν*, ad quam glossam vide interpretes et imprimis Valckenarium ad Herodot. p. 638.

761. *κακκαβιζουσῶν, tutubantium.* Hoc in versione reponendum, ubi male *cacabantium*. Plautus Men. iv. 2. 90.

Tu, tu istic, inquam. Vin' afferri noctuam
quæ *Tu Tu* usque dicat tibi? nam nos, jam nos defessi sumus.

ad quem locum vide interpretes.

764. *ποθεῖν ἐκείνους; ἀργαλέας εὖ οἶδ'*

ἄγουσι νύκτας. ἀλλ' ἀνάσχεσθ', ὦ 'γαθαὶ,
καὶ προσταλαιπωρήσατέ γ' ὀλίγον χρόνον,
ὡς χρησμὸς ἡμῖν ἐστιν ἐπικρατεῖν, ἐὰν
μὴ στασιάσωμεν· ἔστι δ' ὁ χρησμὸς οὑτοσί.

Χορὸς Γυναικῶν.

λέγ' αὐτὸν ἡμῖν ὅ τι λέγει.

Λυ. σιγᾶτε δή.
ἀλλ' ὁπόταν πτήξωσι χελιδόνες εἰς ἕνα χῶρον,
τοὺς ἔποπας φεύγουσαι, ἀπόσχωνταί τε φαλήτων,
παῦλα κακῶν ἔσται· τὰ δ' ὑπέρτερα νέρτερα θήσει
Ζεὺς ὑψιβρεμέτης . . .

Χορὸς Γυναικῶν.

ἐπάνω κατακεισόμεθ' ἡμεῖς;

Λυ. ἢν δὲ διαστῶσι, καὶ ἀναπτῶνται πτερύγεσσιν
ἐξ ἱεροῦ ναοῖο χελιδόνες, οὐκέτι δόξει
ὄρνεον οὐδ' ὁτιοῦν καταπυγωνέστερον εἶναι.

Χορὸς Γυναικῶν.

σαφής γ' ὁ χρησμὸς, νὴ Δί'. ὦ πάντες θεοὶ,
μὴ νῦν ἀπείπωμεν ταλαιπωρούμεναι,
ἀλλ' εἰσίωμεν. καὶ γὰρ αἰσχρὸν τουτογὶ,
ὦ φίλταται, τὸν χρησμὸν εἰ προδώσομεν.

Χορὸς Γεροντῶν.

μῦθον βούλομαι
λέξαι τιν' ὑμῖν, ὅν ποτ' ἤκουσ'
αὐτὸς ἔτι παῖς ὤν,
οὕτως.
ἦν νεανίσκος Μελανίων τις, ὃς

ἔστι—Sic bene Regii, otiosas non agnoscentes particulas quas alius inseruit librarius.

766. καὶ προσταλαιπωρήσατέ γ' ὀλίγον—Sic ex Aug. edidi. In A. προσταλαιπωρήσατ' ὀλίγον—B. ut vulgo, προσταλαιπωρήσατ' ἔτ' ὀλίγον.

769. λέγ' αὐτόν. His verbis præscripta in Regiis Chori persona.

774. ἢν δὲ διαστῶσι, καὶ ἀναπτῶνται. Sic bene duo Regii, servata ratione epici metri et imitatione veterum oraculorum. Vulgo διαστῶσιν κἀναπτῶνται. In Aug. ἢν δὲ ἀποστῶσιν. Pejus Juntina ἢν δ' ἀποστῶσι.

777. σαφής γ' ὁ χρησμός. Sic Regii. Vulgo particula omissa.

φεύγων
γάμον, ἀφίκετ' ἐς ἐρημίαν,
κἀν τοῖς ὄρεσιν ᾤκει·
κᾆτ' ἐλαγωθήρα
πλεξάμενος ἄρκυς,
καὶ κύνα τιν' εἶχεν,
κοὐκέτι κατῆλθ' οἴκαδ' ὑπὸ μίσους.
οὕτω
τὰς γυναῖκας ἐβδελύχθη
κεῖνος· ἡμεῖς δ', οὐδὲν ἧττον
τοῦ Μελανίωνος, οἱ σώφρονες.

Γε. τις. βούλομαί σε, γραῦ, κύσαι.
Γυ. τις. κρόμμυόν τ' ἄρ' οὐκ ἔδει.
Γε. κἀνατείνας τὸ σκέλος λακτίσαι.
Γυ. τὴν λόχμην πολλὴν φορεῖς.
Γε. καὶ Μυρωνίδης γὰρ ἦν
τραχὺς ἐντεῦθεν, μελάμπυ-
γός τε τοῖς ἐχθροῖς ἅπασιν,
ὥς δὲ καὶ Φορμίων.

Χορὸς Γυναικῶν.

κἀγὼ βούλομαι
μῦθόν τιν' ὑμῖν ἀντιλέξαι
τῷ Μελανίωνι.
Τίμων
τις ἦν ἀΐδρυτος ἀβάτοισιν ἐν

789. κᾆτ' ἐλαγωθήρα. Male vulgo ἐλαγοθήρει. Duo Regii et Schol. ἐλαγοθήρα. Sed cum Atticismi, tum metri ratio flagitat id quod reposuimus, ἐλαγωθήρα.

792. κοὐκέτι κατῆλθ' οἴκαδ' ὑπὸ μίσους. Sic omnino legendum, ut hic versiculus pari suo congruat,

μισος κἀκ' ἀνδράσιν πονηροῖς.

Est uterque dimeter iambicus hypercatal. Vulgo legitur κοὐκέτι κατῆλθεν πάλιν οἴκαδ' ὑπὸ μίσους. Adverbio πάλιν sententiam frustra onerari nemo non videt.

795. ἡμεῖς δ'—Sic Regii: vulgo ἡμεῖς τ'—

798. κρόμμυόν τ' ἄρ'—id est τοι ἄρα. Sic optime duo Regii. Vulgo γὰρ, quod male scriptum conjunctim pro γ' ἄρ'. Hoc autem antea depravatum fuerat ex τ' ἄρ'.

809. ἀβάτοισιν ἐν σκώλοισι. Vulgo ἀ-

σκώλοι-
σι τὸ πρόσωπον περιειργμένος,
Ἐρινύων ἀποῤῥώξ.
οὗτος οὖν ὁ Τίμων
ᾤχεθ' ὑπὸ μίσους
πολλὰ καταρασά-
μενος κάκα πονηροῖς ἀνδράσιν.
οὕτω
κεῖνος ὑμῶν ἀντεμίσει
τοὺς πονηροὺς ἄνδρας αἰεί·
ταῖσι δὲ γυναιξὶν ἦν φίλτατος.

Γυ. τις. τὴν γνάθον βούλει θένω;
Γε. τις. μηδαμῶς ἔδεισά γε.
Γυ. ἀλλὰ κρούσω τῷ σκέλει . . .
Γε. τὸν σάκανδρον ἐκφανεῖς.
Γυ. ἀλλ' ὅμως ἂν οὐκ ἴδοις,
καίπερ οὔσης γραὸς, ὄντ' αὐ-
τὸν κομήτην, ἀλλ' ἀπεψι-
λωμένον τῷ λύχνῳ.

ΛΥΣΙΣΤΡΑΤΗ, ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ, ΜΥΡΡΙΝΗ, ΚΙΝΗΣΙΑΣ, ΠΑΙΣ, ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

Λυ. ΙΟΥ, ἰοὺ γυναῖκες, ἴτε δεῦρ' ὡς ἐμὲ

βαίτοισιν εὐσκώλοισι. In A. ἀσκώλοισι. Vide Toupium Cur. Nov. in Suidam p. 122.

812. Ἐρινύων cum unico ν scriptum in B. Vide quæ notavi ad Æschyli S. Th. 490.

816. Voculam κάκ' metro necessariam inserui, quam codices non agnoscunt.

Nondum satis exæquatus est hic versus antithetico suo. Scribendum: κακὰ πονηροῖς ἀνδράσιν. Trimetri sunt pæonici, quos sic dimetiare;

κουκετι κα | τηλθ' οικαδ' | ὑπο μισους.
μενος κακα | πονηροις | ανδρασιν.

Monuerunt rei metricæ magistri pedem, cui nomen *Antibacchio*, melicis carminibus parum esse congruentem, ἀνεπιτήδειον πρὸς μελοποιΐαν. Est tamen apud Comicum haud infrequens. Observari potuit supra v. 542.

ουτε τα γε | νατα κοπος ἐ | λοι μου
κα | ματηρος.

819. Post hunc versum lacuna est in utroque Regio usque ad v. 890. qui in A. post v. 819. continuatur: in B. vacuum relictum spatium quatuor circiter plagularum.

824. Suidas; σάκανδρος, τὸ γυναικεῖον αἰδοῖον. Derivatur a σάκος, *barbam* significante. Vide Conc. 502.

ταχέως.

Γυ. α'. τί δ' ἐστίν; εἴπ' ἐμοὶ, τίς ἡ βοή;

Λυ. ἄνδρ', ἄνδρ' ὁρῶ προσιόντα παραπεπληγμένον,
τοῖς τῆς 'Αφροδίτης ὀργίοις εἰλημμένον.

Γυ. β'. ὦ πότνια, Κύπρου καὶ Κυθήρων καὶ Πάφου
μεδέουσ', ἴθ' ὀρθὴν, ἥνπερ ἔρχει, τὴν ὁδόν.

Γυ. α'. ποῦ δ' ἐστὶν, ὅστις ἐστί;

Λυ. παρὰ τὸ τῆς Χλόης.

Γυ. α'. ὢ νὴ Δί', ἐστὶ δῆτα. τίς κἄστιν ποτέ;

Λυ. ὁρᾶτε· γιγνώσκει τίς ὑμῶν;

Μυ. νὴ Δία,
ἔγωγε· κἄστιν οὑμὸς ἀνὴρ Κινησίας.

Λυ. σὸν ἔργον εἴη τοῦτον ὀπτᾶν καὶ στρέφειν,
κἀξηπεροπεύειν, καὶ φιλεῖν, καὶ μὴ φιλεῖν,
καὶ πάνθ' ὑπέχειν, πλὴν ὧν ξύνοιδεν ἡ κύλιξ.

Μυ. ἀμέλει, ποιήσω ταῦτ' ἐγώ.

Λυ. καὶ μὴν ἐγὼ
ξυνηπεροπεύσω παραμένουσά γ' ἐνθαδὶ,
καὶ ξυνσταθεύσω τοῦτον. ἀλλ' ἀπέλθετε.

Κι. οἴμοι κακοδαίμων, οἷος ὁ σπασμός μ' ἔχει,
χὠ τέτανος, ὥσπερ ἐπὶ τροχοῦ στρεβλούμενον.

Λυ. τίς οὗτος οὑντὸς τῶν φυλάκων ἑστώς;

Κι. ἐγώ.

Λυ. ἀνήρ;

Κι. ἀνὴρ δῆτ'.

831. ἄνδρ', ἄνδρ' ὁρῶ. Claudicat in vulgatis versus, semel tantum posita vocula ἄνδρ'. Emendandi viam, quam aliquoties ingressus sum, stravit Orvillius ad Charit. p. 200. ubi memoriæ lapsu suppleti hujus versus laudem Kustero tribuit, quam sibi vindicat Florens.

835. Cereris Χλόης dictæ templum erat in urbe prope arcem. Vide Meursium Gr. Fer. in Χλόεια.

836. Lysistratæ hic versus absurde continuatur in vulgatis libris, in quibus totius hujus lepidissimi colloquii ita confusæ et perturbatæ sunt personæ, ut vix se quis eo extricare et actionem scenæ mente concipere queat. In Aug. lineola mutatæ personæ index huic versui præfixa: quæ vero initio seq. v. præfigi debuit, male omissa: at rursus posita est ante νὴ Δία. Melius in cod. ὢ νὴ Δί'—ut infra 857. ὢ πρὸς τῶν θεῶν.

843. παραμένουσά γ' ἐνθαδί. Perperam vulgo παραμένουσ' ἐνθαδὶ, deficiente ad integritatem versus syllaba.

Λυ. οὐκ ἄπει δῆτ' ἐκποδών;
Κι. σὺ δ' εἶ τίς ἡ 'κβάλλουσά μ';
Λυ. ἡμεροσκόπος.
Κι. πρὸς τῶν θεῶν νυν ἐκκάλεσόν μοι Μυῤῥίνην.
Λυ. ἰδού, καλέσω τὴν Μυῤῥίνην σοι. σὺ δὲ τίς εἶ;
Κι. ἀνὴρ ἐκείνης, Παιονίδης Κινησίας.
Λυ. ὦ χαῖρε φίλτατ'· οὐ γὰρ ἀκλεὲς τοὔνομα
τὸ σὸν παρ' ἡμῖν ἐστιν, οὐδ' ἀνώνυμον.
ἀεὶ γὰρ ἡ γυνή σ' ἔχει διὰ στόμα.
κἂν ᾠὸν ἢ μῆλον λάβῃ, Κινησίᾳ
τουτὶ γένοιτο, φησίν.
Κι. ὢ πρὸς τῶν θεῶν.
Λυ. νὴ τὴν 'Αφροδίτην· κἂν περὶ ἀνδρῶν γ' ἐμπέσῃ
λόγος τις, εἴρηκ' εὐθέως ἡ σὴ γυνή,
ὅτι λῆρός ἐστι τἄλλα πρὸς Κινησίαν.
Κι. ἴθι νυν, κάλεσον αὐτήν.
Λυ. τί οὖν; δώσεις τί μοι;
Κι. ἔγωγε, νὴ Δί', αὐτίκ', ἢν βούλῃ γε σύ·
ἔχω δὲ τοῦθ'· ὅπερ οὖν ἔχω, δίδωμί σοι.
Λυ. φέρε νυν καλέσω καταβᾶσά σοι.
Κι. ταχύ νυν πάνυ.
ὡς οὐδεμίαν ἔχω γε τῷ βίῳ χάριν,
ἐξ οὗπερ αὐτὴ 'ξῆλθεν ἐκ τῆς οἰκίας·

851. Vulgo egitur: ἰδού, καλέσω 'γὼ τὴν Μυῤῥίνην σοι. σὺ δὲ τίς εἶ; metro corrupto. Diversa, sed non melior, cod. lectio: ἰδού, καλέσω τὴν Μυῤῥίνην νῦν σοι. σὺ δὲ τίς εἶ; Hinc expuncto νῦν, illinc 'γὼ, constant numeri. Superest adhuc suspicio de forma minus Attica καλέσω, quam librario imputo. Scripserat, ni fallor, Comicus:

ἰδού, καλῶ τὴν Μυῤῥίνην σοι; σὺ δὲ τίς εἶ;

Et sic infra 864. rursus καλῶ rescribi velim. Vide ad Ran. 298.

855. ἡ γυνή σ' ἔχει διὰ στόμα. Non hoc tam insolenter dictum, quam rebatur Bisetus. In Æsch. S. Theb. 51. οἶκτος δ' οὔ τις ἦν διὰ στόμα.

862. Vulgo legitur, metro pessundato. ἔγωγε νὴ τὸν Δί', ἢν βούλῃ γε σύ. Nec aliter cod. nisi quod Δία plene habent sine elisione, versu non melius ideo fluente. Nihil interpretes ad hunc versum, quem ego non male restituisse mihi videor. V. seq. τοῦτο, δεικτικῶς, scilicet rigentem nervum.

866. αὐτὴ 'ξῆλθεν. Male cod. ut vett. editt. αὐτὴ ξυνῆλθεν. Florentis conjecturam, seu potius certam emendationem prudenter receperunt editores. Vide notam ad v. 702.

ἀλλ' ἄχθομαι μὲν εἰσιών· ἔρημα δὲ
εἶναι δοκεῖ μοι πάντα· τοῖς δὲ σιτίοις
χάριν οὐδεμίαν οἶδ' ἐσθίων. ἔστυκα γάρ.
Μυ. φιλῶ, φιλῶ 'γὼ τοῦτον· ἀλλ' οὐ βούλεται
ὑπ' ἐμοῦ φιλεῖσθαι. σὺ δ' ἐμὲ τούτῳ μὴ κάλει.
Κι. ὦ γλυκύτατον Μυῤῥινίδιον, τί ταῦτα δρᾷς;
κατάβηθι δεῦρο.
Μυ. μὰ Δί' ἐγὼ μὲν αὐτόσ' οὔκ.
Κι. ἐμοῦ καλοῦντος, οὐ καταβήσει, Μυῤῥίνη;
Μυ. οὐ γὰρ δεόμενος οὐδὲν ἐκκαλεῖς ἐμέ.
Κι. ἐγὼ οὐ δεόμενος; ἐπιτετριμμένος μὲν οὖν.
Μυ. ἄπειμι.
Κι. μὴ δῆτ', ἀλλὰ τῷ γοῦν παιδίῳ,
ὑπάκουσον· οὗτος, οὐ καλεῖς τὴν μαμμίαν;
Πα. μαμμία, μαμμία, μαμμία.
Κι. αὕτη, τί πάσχεις; οὐδ' ἐλεεῖς τὸ παιδίον,
ἄλουτον ὂν κἄθηλον ἕκτην ἡμέραν;
Μυ. ἔγωγ' ἐλεῶ δῆτ'· ἀλλ' ἀμελὴς αὐτῷ πατὴρ
ἔστιν.
Κι. κατάβηθ', ὦ δαιμονία, τῷ παιδίῳ.
Μυ. οἷον τὸ τεκεῖν. καταβατέον· τί γὰρ πάθω;
Κι. ἐμοὶ μὲν αὕτη καὶ νεωτέρα δοκεῖ
πολλῷ γεγενῆσθαι, κἀγανώτερον βλέπειν·
χ' ἃ δυσκολαίνει πρὸς ἐμὲ καὶ βρενθύεται,
ταῦτ' αὐτὰ δή 'σθ', ἃ κἄμ' ἐπιτρίβει τῷ πόθῳ.

873. οὐκ in fine versus scribendum, sequente versu a vocali incipiente. Sic bene vulgo Ran. 68.

οὐδείς γέ μ' ἂν πείσειεν ἀνθρώπων τὸ μὴ οὐκ
ἐλθεῖν ἐπ' ἐκεῖνον.

878. Mœris: Μάμμην, καὶ μαμμίαν, τὴν μητέρα, Ἀττικοί· Ἕλληνες τὴν μάμμαν. Ad quem locum videndi interpretes.

884. τί γὰρ πάθω; Perperam vulgo verba hæc Cinesiæ tribuuntur, quæ mulieri continuanda. Formulam illustravit Valckenarius ad Eurip. Phœniss. p. 335. Ea utitur Noster Conc. 860. Nub. 798. Av. 1432. Librarii error in personarum distinctione alium peperit errorem: ut enim postrema hæc verba cum sequentibus connecteret, particulam γὰρ posuit, pro ea quam adhibere debuit poëta, quamque reposui: ἐμοὶ μὲν αὕτη—

887. βρενθύεται. De hoc verbo vide Hemsterhusium ad Lucianum p. 367.

Μυ. ὦ γλυκύτατον σὺ τεκνίδιον κακοῦ πατρὸς,
φέρε σε φιλήσω γλυκύτατον τῇ μαμμίᾳ.
Κι. τί, ὦ πονηρὰ, ταῦτα ποιεῖς, χ' ἀτέραις
πείθει γυναιξί; κἀμέ τ' ἄχθεσθαι ποιεῖς,
αὐτή τε λυπεῖ.
Μυ. μὴ πρόσαγε τὴν χεῖρά μοι.
Κι. τὰ δ' ἔνδον ὄντα τἀμὰ καὶ σὰ χρήματα
χεῖρον διατιθεῖς.
Μυ. ὀλίγον αὐτῶν μοι μέλει.
Κι. ὀλίγον μέλει σοι τῆς κρόκης φορουμένης
ὑπὸ τῶν ἀλεκτρυόνων;
Μυ. ἔμοιγε, νὴ Δία.
Κι. τὰ τῆς Ἀφροδίτης ἱέρ' ἀνοργίαστά σοι

891. Male vulgo huic versui præfixa est persona Lysistratæ, quæ postquam v. 864. Myrrhinam evocatura intro abiit, non amplius prodit in scenam. Hoc quidem vidit Berglerus; sed male constituta verba insulse vertit. γυναιξὶ sine ν in fine exhibent duo Regii: tum habent κἀμέ τ' ἄχθεσθαι ποιεῖς, αὐτή τε λυπεῖ, sensu perspicuo et optimo. In Aug. ut in vett. editt. est etiam κἀμέ τ': sed in cod. post ποιεῖς non distinctum, nec initio seq. versus ante αὐτὴ ducta lineola mutatæ personæ index. At vulgo, quum duo præcedentes versus Lysistratæ, dudum e scena egressæ, tributi fuerint ista lectione, χ' ἀτέραις πείθει γυναιξὶν, κἄμ' ἔτ' ἄχθεσθαι ποιεῖς; initium versus 893. seu verba αὕτη με λυπεῖ Cinesiæ tribuuntur. Absurda autem ista sic reddidit Berglerus: CINESIAS. *Cur, ô improba, hæc incipis, aliisque pares mulieribus, et me anxium facis? hæc me contristat.* Quænam est illa, quæ pronomine *hæc* demonstratur? λυπεῖ est 2. pers. passiva, quam pro 3. activa accepit. Facile sagacior quispiam inspecta veteri editione mendam deprehendisset, quæ tota est in με pro τε posito, quod postremum hic requiri satis indicat prius τε præcedentis versus, cui alterum reddi debebat: καὶ ποιεῖς ἐμέ TE ἄχθεσθαι, αὐτή TE λυπῇ.

893. Medeæ apud Euripidem v. 1361. Jason hæc dicit:

καὐτή γε λυπῇ, καὶ κακῶν κοινωνὸς εἶ.

895. χεῖρον διατιθεῖς. In Juntina διατιθεῖσ', tanquam si participium esset διατιθεῖσα. Adsueti non erant sequioris ævi librarii veteri forma verbi τιθέω, quæ nullibi fere occurrit, quin aliquo in codice depravata reperiatur. Equit. 717.

μασώμενος γὰρ, τῷ μὲν ὀλίγον ἐντιθεῖς.

Ibi codicum optimus habet ἐντίθης, forma qua pueri verbum hoc conjugare docentur. In Eurip. Ione 747. et 1540.

ἔπου νυν· ἴχνος δ' ἐκφύλασσ', ὅπου τιθεῖς.

ἔπειτα τῷ θεῷ προστιθεὶς τὴν αἰτίαν.

Duorum Regg. codd. alter habet τιθεὶς et προστιθεὶς, tanquam si participia essent. In Soph. Phil. recte aliquando excudetur v. 991.

ὦ μῖσος, οἷα κἀξανευρίσκεις λέγειν·
θεοὺς προτείνων, τοὺς θεοὺς ψευδεῖς τιθεῖς.

Confer vulgatam lectionem in Johnsoni editionibus sive Britannis, sive nupera Parisiana v. 1017.

χρόνον τοσοῦτόν ἐστιν. οὐ βαδιεῖ πάλιν;
Μυ. μὰ Δί' οὐκ ἔγωγ', ἣν μὴ διαλλαχθῆτέ γε,
καὶ τοῦ πολέμου παύσησθε.
Κι. τοιγάρ, ἂν δοκῇ,
ποιήσομεν καὶ ταῦτα.
Μυ. τοιγάρ, ἂν δοκῇ,
κἄγωγ' ἄπειμ' ἐκεῖσε· νῦν δ' ἀπομώμοκα.
Κι. σὺ δ' ἀλλὰ κατακλίθητι μετ' ἐμοῦ διὰ χρόνου.
Μυ. οὐ δῆτα· καίτοι σ' οὐκ ἐρῶ γ' ὡς οὐ φιλῶ.
Κι. φιλεῖς; τί οὖν οὐ κατεκλίνης, ὦ Μύῤῥιον;
Μυ. ὦ καταγέλαστ', ἐναντίον τοῦ παιδίου;
Κι. μὰ Δί'· ἀλλὰ τοῦτό γ' οἴκαδ', ὦ Μανῆ, φέρε.
ἰδού, τὸ μέν σοι παιδίον καὶ δὴ 'κποδών·
σὺ δ' οὐ κατακλινεῖ;
Μυ. ποῦ γὰρ ἄν τις καί, τάλαν,
δράσειε τοῦθ';
Κι. ὅπου τὸ τοῦ Πανός, καλόν.
Μυ. καὶ πῶς ἔθ' ἁγνὴ δῆτ' ἂν ἔλθοιμ' ἐς πόλιν;

901. Post hunc versum is, qui sequi debebat, omissus fuit in omnibus editionibus, magno cum sententiæ et venustatis dispendio. Causam omissionis manifestam vides. Duobus continuis versibus in eadem verba τοιγὰρ ἂν δοκῇ desinentibus, a superiore ad inferiorem deflexit librarii oculus, alioqui non animadvertentis absurde Cinesiæ tribui ista, κἄγωγ' ἄπειμ' ἐκεῖσε. Versum qui desiderabatur, personis recte distinctis, exhibent tres codd. solus quidem B. in contextus serie, duo reliqui in margine ab eadem manu.

906. ὦ Μύῤῥιον. Sic optime Regii. Vulgo jugulato metro, ὦ Μυῤῥίνιον. Diminutivum Μύῤῥιον deductum a nomine primitivo μύῤῥα, unde Μυῤῥίνη. Hoc certum, et longe præstat Orvillii commento Μυρίδιον, quem vide ad Charit. p. 239.

910. κατακλινεῖ in futuro: sic Regii. Vulgo κατακλίνει.

911. ὅπου τὸ τοῦ Πανός, καλόν. Supra 721. ᾗ τοῦ Πανός ἐστι ταὔλιον. Conc. 321.

ἢ πανταχοῦ τοι νυκτός ἐστιν ἐν καλῷ.

Thesm. 292.

ποῦ, ποῦ καθίζωμαι 'ν καλῷ, τῶν ῥητόρων
ἵν' ἐξακούω;

Hic καλόν ἐστι, vel καλὸν ἂν εἴη, diversa loquendi forma idem valet, ac illis in locis ἐν καλῷ εἶναι. Ceterum duo Regii bene habent τὸ τοῦ Πανός, quod e suis reposuit Kusterus. In Aug. ut in Juntina, ὅπου τοῦτο Πανός.

912. καὶ πῶς ἔθ' ἁγνὴ δῆτ' ἂν ἔλθοιμ' ἐς πόλιν; Sic ad linguæ normam legendum. Male vulgo duæ voces coaluerunt ἀνέλθοιμ'—Πῶς cum optativo non construitur, nisi comite particula ἄν. Vide Dawesii Misc. Crit. p. 207.

Κι. κάλλιστα δήπου, λουσαμένη τῇ Κλεψύδρᾳ.
Μυ. ἔπειτ' ὀμόσασα δῆτ' ἐπιορκήσω, τάλαν;
Κι. εἰς ἐμὲ τράποιτο· μηδὲν ὅρκου φροντίσῃς.
Μυ. φέρε νυν ἐνέγκω κλινίδιον νῷν.
Κι. μηδαμῶς.
ἀρκεῖ χαμαὶ νῷν.
Μυ. μὰ τὸν Ἀπόλλω, μή σ' ἐγὼ,
καίπερ τοιοῦτον ὄντα, κατακλινῶ χαμαί.
Κι. ἥ τοι γυνὴ φιλεῖ με, δήλη 'στὶν, καλῶς.
Μυ. ἰδοὺ, κατάκεισ' ἀνύσας τι· κᾀγὼ 'κδύομαι.
καίτοι, τὸ δεῖνα, ψίαθός ἐστ' ἐξοιστέα.
Κι. ποία ψίαθος; μὴ ᾿μοιγε.
Μυ. νὴ τὴν Ἄρτεμιν,
αἰσχρὸν γὰρ ἐπ' ἐπιτόνου γε.
Κι. δός μοι νῦν κύσαι.

913. Clepsydra fons erat Athenis ex arce fluens. Vide Hesychium in κλεψίῤῥυτον ὕδωρ.

919. ἥ τοι γυνή. Sic Regii: vulgo ἡ δὴ γυνή. Male iidem φιλεῖν pro φιλεῖ. In A. φιλεῖ primo scriptum fuit: postea superscriptum ν.

921. καί τοι, τὸ δεῖνα, ψίαθός ἐστ' ἐξοιστέα. Voces τὸ δεῖνα cum ceteris partibus sermonis non construuntur, quod distinctione indicavi. Est ἐπιφώνημα, seu interjectio affectum animi significans, sive mirantis, sive dolentis, sive indignantis, nec alio verbo melius reddi potest, quam Comicis Latinis frequentissimo *Perii*. Plaut. Truc. iii. 2. 21.

Perii! rabonem? quam esse dicam
hanc beluam?

Terent. Eun. ii. 3. 69.

Perii! nunquamne etiam me illam
vidisse?

Vide aliud exemplum supra ad v. 202. Alibi, ut Pace 268. alia Comicis Latinis non minus frequenti interjectione usus sum, *Malum*. Quid sibi vellet istud τὸ δεῖνα non intellexerunt interpretes. Verti equidem: *At, perii! teges efferenda est*. Berglerus vero insulse: *sed illud erat efferendum, teges inquam*. Et ubicunque recurrit illud ἐπιφώνημα, eadem elegantia et perspicuitate vim ejus exprimit. In Acharn. 1149. τὸ δεῖνα aliud quid significat; nempe κατ' εὐφημισμὸν, ut ait Scholiastes, τὸ αἰδοῖον. Scilicet idem olim quod hodie contigit, ut proletarius sermo animi affectus quosdam significaret vocabulis e re Venerea sumtis. Italorum etiam politissimi vocem *cazzo*, qua primaria sua significatione non utuntur, nisi indecore εὐθυῤῥημονοῦντες, frequenter pro interjectione adhibent, plane idem significante quod Comici τὸ δεῖνα, et Latinorum *Perii*. Nostrûm autem quis sibi in tota vita adeo temperavit, ut illi nunquam exciderit

ce mot des Français révéré,
mot énergique, au plaisir consacré,
mot que souvent le profâne vulgaire
indignement prononce en sa colere?

923. αἰσχρὸν γὰρ ἐπ' ἐπιτόνου γε. Sic recte edidit Zanettus, et legitur

Μυ. ἰδού.
Κι. παπαιάξ. ἧκε νῦν ταχέως πάνυ.
Μυ. ἰδοὺ ψίαθος· κατάκεισο, καὶ δὴ 'κδύομαι.
καίτοι, τὸ δεῖνα, προσκεφάλαιον οὐκ ἔχεις.
Κι. ἀλλ' οὐ δέομ' οὐδὲν ἔγωγε.
Μυ. νὴ Δί' ἀλλ' ἐγώ.
Κι. ἀλλ' ἦ τὸ πέος τόδ' Ἡρακλῆς ξενίζεται.
Μυ. ἀνίστασ', ἀναπήδησον.
Κι. ἤδη πάντ' ἔχω.
Μυ. ἅπαντα δῆτα;
Κι. δεῦρο νῦν, ὦ χρύσιον.
Μυ. τὸ στρόφιον ἤδη λύομαι. μέμνησο νῦν·
μή μ' ἐξαπατήσῃς τὰ περὶ τῶν διαλλαγῶν.
Κι. νὴ Δί' ἀπολοίμην ἆρα.
Μυ. σισύραν οὐκ ἔχεις.
Κι. μὰ Δί' οὐ δέομαι 'γωγ'· ἀλλὰ βινεῖν βούλομαι.

etiam in posteriori Veneta: in aliis γὰρ ἐπὶ τόνου. In A. conjunctim ἐπιτόνου, ut legit etiam Scholiastes, qui nugatur ellipsim hic esse statuens præpositionis ἐπὶ, quam olim scriptam, absorpsit postea sequens syllaba. Sunt autem ἐπίτονοι lora, quibus lecti instruuntur ad sustinendas culcitas, aut stragulas, aut tegetes.

928. ἀλλ' ἦ τὸ πέος. Sic primum emendaveram, tam certus genuinam lectionem restituisse, quam nunc, postquam eandem in ambobus Regiis reperi. In Aug. et in binis Venetis ἀλλ' ἦ τοι τὸ πέος, syllaba ultra numerum excurrente: ceteræ editt. et ἀμέτρως et absurde ἄλλῃ τοι τὸ πέος. Confer Vesp. 60. et Suidam in Ἡρακλῆς ξενίζεται.

929. Longe aliter, ac vulgo, personis distributa sunt quæ sequuntur: nempe ut in duobus Regiis, binisque aliis codicibus quorum collationes Kusterus habuit. Eadem in Aug. lineolis indicata distinctio. *Surge*, ait Myrrhina, *ut cervical tibi supponam*. Verba ἅπαντα δῆτα interrogative cum ironia proferri possunt: *omniane, quæso? me tamen nondum*. Vel affirmative: *omnia sane, ut dicis*.

933. νὴ Δί' ἀπολοίμην ἆρα. Qui non animadverterunt editores ad metri legem scribendum esse ἆρα, non autem, ut vulgo, ἄρα, næ illi prosodiæ prorsus erant rudes. Scilicet versum dimetientes mediam in σισύραν producebant, quæ corripitur semper. Conc. 347.

ἵνα μὴ 'γχέσαιμ' ἐς τὴν σισύραν· φανὴ
γὰρ ἦν.

Conc. 421.

χειμῶνος ὄντος, τρεῖς σισύρας ὀφειλέτω.

Av. 122.

ὥσπερ σισύραν ἐγκατακλιθῆναι μαλθακήν.

Vesp. 738.

λείχειν, χλαῖναν μαλακὴν, σισύραν.

Confer Toup. ad Suidam iii. 132.

934. μὰ Δί' οὐ δέομαι 'γωγ'· ἀλλὰ— Sic ad metri integritatem legendum, ut Thesm. 594.

Μυ. ἀμέλει, ποιήσεις τοῦτο· ταχὺ γὰρ ἔρχομαι.
Κι. ἥ'νθρωπος ἐπιτρίψει με διὰ τὰ στρώματα.
Μυ. ἔπαιρε σαυτόν.
Κι. ἀλλ' ἐπῆρται τοῦτό γε.
Μυ. βούλει μυρίσω σε;
Κι. μὰ τὸν Ἀπόλλω, μή με γε.
Μυ. νὴ τὴν Ἀφροδίτην, ἤν τε βούλῃ γ', ἤν τε μή.
Κι. εἴθ' ἐκχυθείη τὸ μύρον, ὦ Ζεῦ δέσποτα.
Μυ. πρότεινέ νυν τὴν χεῖρα, κἀλείφου λαβών.
Κι. οὐχ ἡδὺ τὸ μύρον, μὰ τὸν Ἀπόλλω, τουτογὶ,
εἰ μὴ διατριπτικόν γε, κοὐκ ὄζον γάμων.
Μυ. τάλαιν' ἐγὼ, τὸ Ῥόδιον ἤνεγκον μύρον.
Κι. ἀγαθόν· ἔα 'ὔτ', ὦ δαιμονία.
Μυ. ληρεῖς ἔχων.
Κι. κάκιστ' ἀπόλοιθ' ὁ πρῶτος ἑψήσας μύρον.
Μυ. λαβὲ τόνδε τὸν ἀλάβαστρον.
Κι. ἀλλ' ἕτερον ἔχω.
ἀλλ' ᾧ 'ζυρὰ, κατάκεισο, καὶ μή μοι φέρε
μηδέν.

οὐκ οἴομαι 'γωγ', ὦ πολυτιμήτω θεώ. Infra 1114. τάχα δ' εἴσομαι 'γώ. Vulgo claudicante metro οὐ δίομαί γ' ἀλλά. Pejus B. οὐ δίομαι ἀλλά. Illam tamen sinceriorem puto cujus vestigia servant alii libri.

936. ἥ'νθρωπος. Male vulgo omisso articulo ἄνθρωπος. Schol. ἀντὶ τοῦ ἡ γυνὴ, ἡ ἄνθρωπος εἶπε. Quod Tonpio observatum fuit ad Suidam i. 13.

939. ἤν τε βούλῃ. Sic bene Regii, ut supra 194. Solœce vulgo βούλει.

941. πρότεινέ νυν τὴν χεῖρα. Vulgo πρότεινε δή. Regii πρότεινε νῦν. Glossema est δὴ pro νυν enclitico.

943. εἰ μὴ διατριπτικόν γε. Sic bene Schol. et A. Vulgo τε. Copula hic locum non habet.

945. ἀγαθόν· ἔα 'ὔτ', ὦ δαιμονία. Sic emendate scribi debet. Vulgo ἔα αὔτ', quod si plene pronuntietur, et aures ingrato hiatu offendit, et numeros solvit. ἔα αὔτ' pes est bacchius, quem nullibi versus iambicus admittit: duæ voces tanquam una efferuntur ἐαυτ': et sic versui constat rhythmus. ἰώ, ἔα apud poëtas Atticos sæpe in unam syllabam coalescunt; sed in ἔα, ultima, quæ longa est, nunquam eliditur. Vide ad Ranas 1243.

946. ὁ πρῶτος ἑψήσας. Sic bene ambo Regii. Vulgo πρῶτον.

948. ᾧ 'ζυρὰ, pro ὦ οἰζυρά. Ad vulgarem pronuntiandi morem, qui Athenis obtinebat, referendum videtur, quod media hic in οἰζυρὸς corripiatur, quod sane analogiæ repugnat, nec aliorum poëtarum exemplis confirmari posse arbitror. Etymol. M. p. 620. l. 3. οἰζυρὸς, τὸ ζὺ μακρόν. In Daphnidis et puellæ colloquio inter Theocritea, ubi ediderunt:

τὰν σαυτῶ φρένα τέρψον· ὀϊζυον οὐδὲν ἀρέσκει,

Μυ. ποιήσω ταῦτα, νὴ τὴν Ἄρτεμιν.
ὑπολύομαι γοῦν. ἀλλ' ὅπως, ὦ φίλτατε,
σπονδὰς ποιεῖσθαι ψηφιεῖ.

Κι. βουλεύσομαι.
ἀπολώλεκέν με κἀπιτέτριφεν ἡ γυνὴ,
τά τ' ἄλλα πάντα, κἀποδείρασ' οἴχεται.
οἴ μοι τί πάθω; τίνα βινήσω,
τῆς καλλίστης πασῶν ψευσθείς;
πῶς ταύτην παιδοτροφήσω;
ποῦ Κυναλώπηξ;
μίσθωσόν μοι τὴν τίτθην.

Χορὸς Γερόντων.

ἐν δεινῷ γ', ὦ δύστηνε, κακῷ
τείρει ψυχὴν, ἐξαπατηθείς.

Scaliger οἴζυρὸν contra prosodiam reponebat: nec scio an melius locum tueatur ὀΐζυον significatione transitiva. Ut autem ad ὦ 'ζυρὰ revertar, si unico in hoc loco reperissem, vitii suspectum mihi fuisset: sed recurrit Nub. 655.

οὐ γὰρ, ὦ 'ζυρὲ,
τούτων ἐπιθυμῶ μανθάνειν οὐδέν.

quo in loco non magis quam hic variant codd.

950. *ὑπολύομαι γοῦν.* Sic duo codd. In A. *ἀποδῦομαι γοῦν.* Supra bis dixit *ἐκδύομαι.* Supererat ut calceos exueret. Male vulgo divisim *γ' οὖν.*

957. *ποῦ Κυναλώπηξ.* Sic ambo Regii. Vulgo *χηναλώπηξ.* Quis non miretur editores latuisse, versus hos esse anapæsticos, quorum legi illud *χηναλώπηξ* neutiquam accommodari potest? At Kusteri socordiam non video, quomodo excusari queat, qui repertæ in scholiis, quæ ille primus edidit, genuinæ vocis ne meminerit quidem in notis, nedum illam in textum referret. Bergleri nota nihil est ineptius. Innuitur Philostratus, famosus illius ætatis leno, cujus meminit Comicus etiam Eq. 1069.

958. *μίσθωσόν μοι τὴν τίτθην.* Sic omnino legendum, quod e Scholiaste discere poterant nuperi editores. In B. liquido et emendate scriptum *τὴν τίτθην.* In A. *τὴν τίθην.* Vulgo barbare *τὴν κύστην.* Aug. *τὴν κύστιν,* quod saltem græcum est. Berglerus spreta Scholiastæ lectione, cujus venustatem non adsequebatur, legebat *τὴν κύσθην,* quæ vox ne græca quidem est: oportebat *τὸν κύσθον*: et vertit: *conduc mihi cunnum mercede.* Cui talia placuerint, ille

οὔ ποτ' ἐκ ταυτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου.

Coriaceum penem erectum manu tenens et ostendens Cinesias, tanquam si puellula esset partu recenti edita, quærit: *Quomodo istam educabo? ubi Cynalopex? loca mihi mercede nutricem.* Intelligebant ex alumni visu spectatores, et ex notissimo lenonis cognomine, quanam nutrice opus esset. Facetum hoc et comicum est: quod antea legebatur, inficetum et absonum. Nominis *τίτθη* veram scripturam hic locus ostendit: ut mendosa est in A. sic aliis in auctoribus peccatum a librariis, quorum error fraudi fuit Scaligero, apud Ammonium p. 135. scribere jubenti *τιθὴ* pro *τιτθὴ,* cui morem non gessit Valckenarius noster.

κἄγωγ' οἰκτείρω σ'· αἶ, αἶ,
ποῖος γὰρ ἂν ἢ νέφρος ἀντίσχοι;
ποία ψυχὴ, ποῖοι δ' ὄρχεις,
ποία δ' ὀσφύς; ποῖος ἂν ὄῤῥος
κατατεινόμενος,
καὶ μὴ βινῶν τοὺς ὄρθρους;

Κι. ὦ Ζεῦ, δεινῶν ἀντισπασμῶν.

Χορὸς Γεροντῶν.

ταυτὶ μέντοι νυνί σ' ἐποίησ'
ἡ παμβδελυρὰ καὶ παμμυσαρά.

Κι. μὰ Δί' ἀλλὰ φίλη καὶ παγγλυκερά.

Χορὸς Γεροντῶν.

ποία γλυκερά; μιαρὰ, μιαρὰ
δῆτ'. ὦ Ζεῦ, Ζεῦ,
εἴθ' αὐτὴν, ὥσπερ τοὺς θωμοὺς,
μεγάλῳ τυφῷ καὶ πρηστῆρι
ξυνστρέψας καὶ ξυγγογγυλίσας,
οἴχοιο φέρων, εἶτα μεθείης·
ἡ δὲ φέροιτ' αὖ πάλιν ἐς τὴν γῆν,
κᾆτ' ἐξαίφνης
περὶ τὴν ψωλὴν περιβαίη.

963. Alieno loco hic positum mihi videtur nomen ψυχὴ, quod librarius repetiit e v. 960. τείρει ψυχήν. Ad institutam partium enumerationem non pertinet ψυχή. Scripserat, ni fallor, Comicus, ποία ψωλή; ποῖοι δ' ὄρχεις—de his non dicas, ὡς οὐ ξύμφορον.

964. ποῖος ἂν ὄῤῥος. Metrum jugulans particula male vulgo inserta, ποῖος δ' ἄν. Recte eam omittit B.

966. μὴ βινῶν. Sic ambo Regii: vulgo κινῶν. Frequens horum verborum permutatio. Quia κινεῖν ad rem Veneream non raro traducitur, eandemque vim significandi habet quam βινεῖν, loco hujus magis notum illud librarii sæpe posuerunt.

967. ὦ Ζεῦ, δεινῶν ἀντισπασμῶν. Sic distingui oportet. Genitivi pendent a suppresso admirationis adverbio ὦ. Sic Nub. 153.

ὦ Ζεῦ βασιλεῦ, τῆς λεπτότητος τῶν
φρενῶν.

Loquendi formam imitantur Latini. Plautus Most. iii. 3. 9.

Di immortales, mercimoni lepidi!

972. δῆτ'. ὦ Ζεῦ, Ζεῦ. Monometer est seu basis. Vulgo contra artem ὦ repetitum. Mox v. 977. ἐς τὴν γῆν, non εἰς, habent ambo Regii. Lege in scholio ad v. 973. θωμοὶ δὲ λέγονται οἱ τῶν πυρῶν σωροί. Male excusum πυρσῶν. Hesychius: θωμὸς, σωρὸς σταχύων.

ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ, ΠΡΟΒΟΥΛΟΣ, ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ, ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

Κη. ΠΑ τᾶν Ἀσανᾶν ἐστιν ἁ γερωσία,
ἤτοι Πρυτάνιες; λῶ τι μυσίξαι νέον.
Πρ. σὺ δ' εἶ πότερον ἄνθρωπος, ἢ Κονίσαλος;
Κη. κάρυξ ἐγὼν, ὦ κυρσάνιε, ναὶ τὼ σιὼ,
ἔμολον ἀπὸ Σπάρτας περὶ τᾶν διαλλαγᾶν.
Πρ. κᾆπειτα δόρυ δῆθ' ὑπὸ μάλης ἥκεις ἔχων;
Κη. μὰ τὸν Δί' οὐκ ἐγώνγα.
Πρ. ποῖ μεταστρέφει;
τί δὴ προβάλλει τὴν χλαμύδ'; ἢ βουβωνιᾷς
ὑπὸ τῆς ὁδοῦ;
Κη. παλαιόρ γα, ναὶ τὸν Κάστορα,
ὤνθρωπος.

980. γερωσία. Sic bene A. Vulgo γερωχία. Hinc emendari possit Hesychius in γερωνία.

981. Πρυτάνιες. Sic tres codd. Vulgo Πρυτάνεις claudicante versu. Tum ambo Regii μυσίξαι itidem e dialecto, ut supra 94. μύσιδδέ τοι. Vulgo μυθίξαι.

982. σὺ δ' εἶ πότερον. Vulgo syllaba redundante, σὺ δ' εἶ τίς; πότερον. Illud τις Regii non agnoscunt. Kusterus ad Suidam in Κονίσσαλος versum sic emendabat: σὺ δὲ πότερον εἶ ἄνθρωπος ἢ Κονίσσαλος; Poterat etiam sine ullius vocis dispendio et cum eodem hiatu: σὺ δὲ τίς; πότερ' εἶ ἄνθρωπος ἢ Κονίσσαλος; Sed sunt hi versus pravi commatis. Scripturam nominis Κονίσσαλος, quam habet Suidas, duplici σ, male prætuli. Codd. Comici, Hesychius, auctor Etymol. M. alteram, quæ impressorum librorum est, unico σ, confirmant. A κονίσω futuro verbi κονίω, cujus penultima longa est, derivatur κονίσαλος, ut ab ἴξω, ἴξαλος. Sic κονίποδες Conc. 848. antepenult. producta, ab eodem futuro κονίσω. De nominis significatione vide Hesychii interpretes ad κονιορτόποδες et seq. aliquot glossas: confer Eustathium ad Ἰλ. γ'. p. 373.

983. κάρυξ. Sic Regii: vulgo κήρυξ. Suidas: κυρσάνιε, νεανία, ἔφηβε, ἢ εὐτελέστατε. κυρσὸς γὰρ, εὐτελὴς λάχανον. κυρσανίους δὲ καλοῦσιν οἱ Λάκωνες τὰ μειράκια, καὶ τοὺς εὐτελεῖς ἀνθρώπους. Confer Hesychii interpretes ad κυρσάνιοι.

986. ἐγώνγα. Sic ambo Regii. In Aug. ἐγώνγε: at infra 990. recte habet ἐγώνγα, ut iterum Regii. Utroque in loco impressi ἐγώγα.

988. παλαιόρ γα. Hoc reponere debuerat Kusterus, qui perite vidit genuinam eam esse lectionem, cujus elementa omnia repræsentant veteres editt. sed male distincta, πάλαι ὄργα. Nec diversa est in Aug. scriptura. Laconicum est παλαιὸρ pro παλαιός. Vide Hesychii interpretem ad v. σιόρ. In A. ut in recentioribus editt. παλιός γα. Vocem παλιὸς adsciverunt forte e Suida, qui eam a Scholiaste ad hunc locum habet. Hic vero λῆρον ληρεῖ. Pro παλαιόρ γα absurdissime in B. παλιολόγα.

Πρ. ἀλλ' ἔστυκας, ὦ μιαρώτατε.
Κη. οὐ τὸν Δί', οὐκ ἐγώνγα· μηδ' αὖ πλαδδίη.
Πρ. τί δ' ἐστί σοι τοδί;
Κη. σκυτάλα Λακωνικά.
Πρ. εἴπερ γε χ' αὕτη 'στὶ σκυτάλη Λακωνική,
ἀλλ' ὡς πρὸς εἰδότα με σὺ τἀληθῆ λέγε.
τί τὰ πράγμαθ' ὑμῖν ἐστὶ τὰ 'ν Λακεδαίμονι;
Κη. ὀρσὰ Λακεδαίμων πᾶα, καὶ τοὶ σύμμαχοι
ἅπαντες ἐστύκαντι· Πελλάνας δὲ δεῖ.
Πρ. ἀπὸ τοῦ δὲ τουτὶ τὸ κακὸν ὑμῖν ἐνέπεσεν;
ἀπὸ Πανός;
Κη. οὔκ. ἀρχὰ μὲν οἴα Λαμπιτώ·
ἔπειτα δ' ἄλλαι ταὶ κατὰ Σπάρταν ἅμα
γυναῖκες, ᾇπερ ἀπὸ μιᾶς ὑσπλαγίδος,
ἀπήλαον τὼς ἄνδρας ἀπὸ τῶν ὑσσάκων.
Πρ. πῶς οὖν ἔχετε;
Κη. μογιῶμες. ἂν γὰρ τὰν πόλιν,
ᾇπερ λυχνοφοριῶντες, ἀποκεκύφαμες.

V. seq. ἄνθρωπος edidi, addito ex linguæ indole articulo, quod suasit etiam Toupius ad Suidam i. 107.

990. Male vulgo πλαδδίῃ excusum cum ι subscripto. Imperativus est formæ Doricæ πλαδδίη, ut πάδη, ἐρώτη, ἔμβη, ὅρη. Vide Kœnium ad Corinthum p. 79. et 105.

998. Sic vulgo legitur hic versus:

ἀπὸ Πανός; Οὐκ, ἀλλ' ἀρχὰ μὲν οἰῶ. Λαμπιτώ.

Nonne ergo animadverterunt ultimam in ἀρχὰ corripi non posse, ut cum duabus seq. syllabis anapæstum faciat? Præterea quid sibi vult dubitandi verbum οἰῶ? Legendum, Οὔκ· ἀρχὰ μὲν οἴα Λαμπιτώ. *Caput quidem huic rei sola Lampito.*

999. ταὶ κατὰ Σπάρταν. Sic Aug. Vulgo κατὰ τὰν Σπάρταν. Articulus hic non magis necessarius, quam supra v. 984. ἔμολον ἀπὸ Σπάρτας.

1000. ὑσπλαγίδος. Hoc jam reposueram e Piersoni ad Mœrin p. 376. emendatione, quæ mihi tunc non minus certa videbatur, quam nunc, postquam eandem scripturam reperi in ambobus Regg. perspicue sic ὑσπλαγίδος, accentu in penultima. Vulgo ὑσπλάτιδος. Confer notam supra 702.

1002. μογιῶμες et v. seq. λυχνοφοριῶντες, idiomata sunt Laconiæ dialecti, a librariis et typographis male habita. Vulgo μογίομες, λυχνοφορίοντες. A communibus verbis μογέω, λυχνοφορέω, Laconica formantur μογιάω, λυχνοφοριάω, ut supra 198. ἐπαινιῶ pro ἐπαινέω. Vide laudatum Kœnium ad Corinthum. A dialecto longius adhuc recedit scriptura in A. μογίομες, λυχνοφορίοντες. ᾇπερ edidi ex Aug. in quo veteris scripturæ remanent vestigia, ut et in primariis editt. Hæ αἶπερ habent: ille αἶπερ.

ταὶ γὰρ γυναῖκες οὐδὲ τῶ μύρτω σίγειν
ἐῶντι, πρίν γ' ἅπαντες ἐξ ἑνὸς λόγω
σπονδὰς ποιησώμεσθα πόττὰν Ἑλλάδα.

Πρ. τουτὶ τὸ πρᾶγμα πανταχόθεν ξυνομώμοται
ὑπὸ τῶν γυναικῶν· ἄρτι νυνὶ μανθάνω.
ἀλλ' ὡς τάχιστα φράσον περὶ τῶν διαλλαγῶν
αὐτοκράτορας πρέσβεις ἀποπέμπειν ἐνθαδί.
ἐγὼ δ' ἑτέρους ἐνθένδε τῇ Βουλῇ φράσω
πρέσβεις ἑλέσθαι, τὸ πέος ἐπιδείξας τοδί.

Κη. ποτάομαι, κράτιστα γὰρ παντᾷ λέγεις.

Χορὸς Γεροντῶν.

οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον,

In antiquo exemplari ι, quod nunc subscribi solet, ad latus erat positum.

1004. τῶ μύρτω σίγειν. Sic A. In B. σιγεῖν. In Aug. vero θιγῆν, quod præferunt etiam vett. editt. Quum verbum θίγω barytonum sit, non credo terminationem infinitivi ειν mutasse Laconas in ην, quod illis solemne est in verbis formæ contractæ, ut supra 171. πλαδδιῆν.

1005. πρίν γ' ἅπαντες. Sic perspicue tres codd. Malebat Kœnius πρίν γε πάντες.—V. seq. ποιησώμεσθα. Sic A. In B. prorsus omissum est verbum. Vulgo ποιησόμεσθα. Doricam futuri indicativi formam ποιησούμεσθα reponit Valckenarius in erudito commentario ad Theocriti Idyl. xv. p. 280. ubi hunc locum emendatum proposuit, uti eum exhibuimus. Sed πρὶν cum subjunctivo construitur, ut Conc. 629. 752. sæpius quidem cum particula ἄν: ita ut, si quid mutandum esset, mallem:

ἐῶντι, πρίν γ' ἂν πάντες ἐξ ἑνὸς λόγω
σπονδὰς ποιησώμεσθα ποττὰν Ἑλλάδα.

1007. Huic versui præfixa pers. in impressis Ἀθηναῖος. Recte in A. Πρόβουλος.

1009. ἀλλ' ὡς τάχιστα φράσον περὶ τῶν διαλλαγῶν. Sic optime A. In B. reclamante metro, φράζε περὶ τῶν—Vulgo φράζε περὶ διαλλαγῶν. Supra 984. ἵμολον ἀπὸ Σπάρτας περὶ τᾶν διαλλαγᾶν.

1010. πρέσβεις ἀποπέμπειν. Perperam in A. et cum ruina metri πρέσβεις πέμπειν. Confer notam ad v. 408.

1013. Ab hoc v. usque ad 1035. si duos primos mulierum chori excipias, sunt versus omnes asynarteti e dimetro trochaico, et dimetro pæonico, constante ex pæone primo et cretico, seu dimetro iambico brachycatal. cujus primus pes semper est dactylus. Versus 1016, 1017. 1035. et sequentes tetrametri sunt trochaici. Hoc præstruendum, ut depravati versus ad metri normam exigi queant.

1014. Hic et sequens versus in impressis metro soluti sunt. In priore σὺ ante ξυνίεις inserendum. Carere quidem sententia potest pronomine, sed illud abesse metri non patitur ratio, cujus ignorantia librarium in fraudem egit. Alter vulgo sic legitur:

ἐξὸν, ὦ πόνηρε σὺ, βεβαίαν νῦν μ' ἔχειν
φίλην.

quæ vocum collocatio metrum prorsus perimit. In A. σοι βεβαίαν μ' ἔχειν φίλην. Sic etiam B. nisi quod σὺ pro σοι habet. In Aug. et in Juntina σὺ βεβαίαν μ' ἔχειν. Vides voculam νῦν, quæ in recentioribus editt. est, a nullo veterum librorum agnosci. Bene sit tamen illi, qui eam inseruit. σοι codice A. fir-

οὐδὲ πῦρ, οὐδ' ὧδ' ἀναιδὴς οὐδεμία πόρδαλις.

Χορὸς Γυναικῶν.

ταῦτα μέντοι σὺ ξυνιεῖς, εἶτα πολεμεῖς; εἴπ' ἐμοὶ,
ἐξὸν, ὦ πόνηρε, σοί μ' ἔχειν βεβαίαν νῦν φίλην.

Χορὸς Γεροντῶν.

ὡς ἐγὼ μισῶν γυναῖκας οὐδέποτε παύσομαι.

Χορὸς Γυναικῶν.

ἀλλ' ὅταν βούλῃ σύ· νῦν δ' οὖν οὔ σε περιόψομαι
γυμνὸν ὄνθ' οὕτως: ὁρῶ γὰρ, ὡς καταγέλαςος εἶ.
ἀλλὰ τὴν ἐξωμίδ' ἐνδύσω σε προσιοῦσ' ἐγώ.

Χορὸς Γεροντῶν.

τοῦτο μὲν μὰ τὸν Δί' οὐ πονηρὸν ἐποιήσατε·
ἀλλ' ὑπ' ὀργῆς γὰρ πονηρᾶς καὶ τότ' ἀπέδυν ἐγώ.

Χορὸς Γυναικῶν.

πρῶτα μὲν φαίνει γ' ἀνήρ· εἶτ' οὐ καταγέλαςος εἶ.
κᾂν με μὴ 'λύπεις, ἐγὼ σοῦ κᾂν τόδε τὸ θηρίον
τοὐπὶ τῷ 'φθαλμῷ λαβοῦσ' ἐξεῖλον ἂν, ὃ νῦν ἔνι.

Χορὸς Γεροντῶν.

τοῦτ' ἄρ' ἦν με τοὐπιτρίβον, δακτύλιος οὑτοσί·

matum, repositum jam fuerat in minoribus editt. Batavis, forte Florentis suasu, qui sic legendum esse viderat. Inde facile versus in integrum restituitur, repositis in suam sedem singulis vocibus:

ἐξὸν, ὦ πόνηρε, σοί μ' ἔχειν βεβαίαν νῦν φίλην.

1019. νῦν δ' οὖν οὔ σε περιόψομαι. Sic Regii. Vulgo νυνὶ δ' οὔ σε, quod æque bonum est. In Aug. metro ruente νῦν δ' οὔ σε, ut in primariis editionibus, unde liquet alterum vulgatum ab emendatore esse.

1020. ὡς καταγέλαςος εἶ. Sic bene tres codd. Mala manus pronomen inseruit, quod vulgo habetur, ὡς σὺ κατ—

1023. καὶ τότ' ἀπέδυν. Sic bene Aug. et primariæ editt. In aliis καὶ τόδ'— Adverbium τότε tempus præteritum notat, tam quod diu, quam quod proxime effluxit: redditur per *olim, prius, modo.* Vide Thesm. 13. Sophoclem El. 278. 676. et Abresch. Dilucid. Thucyd. p. 313. et 420.

1025. κᾂν με μὴ 'λύπεις. Sic ad sensum et metri legem scribendum, uti jam Florenti visum est. In B. scriptum λυπεῖς. Vulgo κᾂν μή με λυπῇς—Tum σοῦ κᾂν τόδε præferunt ambo Regii. Vulgo σοῦ γ' ἂν τόδε.

1027. δακτύλιος. Vulgo ὁ δακτύλιος. Articulum, qui versui officit, non agnoscunt Regii. Male conjectura hic cessit Florenti. Vett. editt. Italicæ et prior Basileensis, quas consulere poterat, habent τοῦτ' ἄρ' ἦν με τοὐπιτρίβον. In Frobenii officina typothetæ incuria με omissum fuit, quæ menda in aliquot alias editiones transiit. Culicem δακτύλιον appellat, derivato nomine a δακεῖν, quare reddidi *mordaculus ille.*

ἐκσκάλευσον αὐτό· κᾆτα δεῖξον ἀφελοῦσά μοι·
ὡς τὸν ὀφθαλμόν γ' ἐμοῦ, νὴ τὸν Δία, πάλαι δάκνει.

Χορὸς Γυναικῶν.

ἀλλὰ δράσω ταῦτα· καίτοι δύσκολος ἔφυς ἀνήρ.
ἦ μέγ', ὦ Ζεῦ, χρῆμ' ἰδεῖν τῆς ἐμπίδος ἔνεστί σοι.
οὐχ ὁρᾷς; οὐκ ἐμπίς ἐστιν ἥδε Τρικορυσία;

Χορὸς Γεροντῶν.

νὴ Δί' ὤνησάς γ' ἔμ', ὥς πάλαι γέ μ' ἐφρεωρύχει·
ὥστ' ἐπειδὴ 'ξῃρέθη, ῥεῖ μου τὸ δάκρυον πολύ.

Χορὸς Γυναικῶν.

ἀλλ' ἀποψήσω σ' ἐγὼ, καίτοι γε πάνυ πόνηρος εἶ·
καὶ φιλήσω.

Χορὸς Γεροντῶν.

μὴ φιλήσῃς.

Χορὸς Γυναικῶν.

ἤν τε βούλῃ γ', ἤν τε μή.

Χορὸς Γεροντῶν.

ἀλλὰ μὴ ὥρας ἵκοισθ'· ὡς ἐστὲ θωπικαὶ φύσει·
κἄς' ἐκεῖνο τοὔπος ὀρθῶς, κοὐ κακῶς, εἰρημένον·

1028. ἐκσκάλευσον. Sic optime ambo Regii. Vulgo ἐκσάλευσον. Perperam in A. mutato versus genere, δεῖξον ἐξελοῦσά μοι.

1030. δύσκολος ἔφυς. Male vulgo inter illas voces inserta particula γε, quæ metro magis adhuc quam sententiæ inutilis est.

1036. μὴ φιλήσῃς. Sic bene Aug. et B. Perperam A. οὐ φιλήσεις. Vulgo μὴ φίλησον. Negat οὐ: vetat μή. Hoc cum verbis temporis præsentis in imperativo, cum verbis aoristis in subjunctivo construitur. Vide Thomam in μή. Ideo si duo verba ex hac particula pendeant diversorum temporum, in diversis etiam modis ponuntur, ut supra 733.

μὴ διαπετάννυ, μηδ' ἀπέλθῃς μηδαμῇ.

Solœcum fuisset ἄπελθε. Scribere potuit etiam poëta:

καὶ φιλήσω.—Οὐ μὴ φιλήσεις.

οὐ μὴ cum futuro indicativi vetantis est: et ω ου in unam syllabam coalescunt. Vide supra ad v. 273. Thesm. 269.

βάδιζε τοίνυν.—Μὰ τὸν Ἀπόλλω, οὐκ,
ἤν γε μὴ—

1039. οὔτε σὺν πανωλέθροισιν. Metricæ rationis imperitus erat editor e recentioribus nescio quis, a quo invectum ξύν. Vett. editt. ut codd. habent σύν—In Juntina συμπανωλέθροισιν—οὔτ' ἄνευ. Sic bene Regii: vulgo οὐδ'—Exstant in eam sententiam Susarionis veteris Comici versus, in scholiis olim laudati, sed quorum particula tantum in iis hodie legitur. Eos adponam ex Bentleii Dissertatione Phalaridea de origine Comœdiæ:

Ἀκούετε λεώς· Σουσαρίων λέγει τάδε,
υἱὸς Φιλίνου Μεγαρόθεν Τριποδίσκιος.

ΟΥΤΕ ΣΥΝ ΠΑΝΩΛΕΘΡΟΙΣΙΝ, ΟΥΤ᾽ ΑΝΕΥ ΠΑΝΩΛΕΘΡΩΝ.

Χορὸς Γυναικῶν.

ἀλλὰ νυνὶ σπένδομαί σοι, καὶ τολοιπὸν οὐκέτι
οὔτε δράσω φλαῦρον οὐδὲν, οὔθ᾽ ὑφ᾽ ὑμῶν πείσομαι.
ἀλλα κοινῇ ξυσταλέντες τοῦ μέλους ἀρξώμεθα.
οὐ παρασκευαζόμεσθα τῶν πολιτῶν οὐδὲν᾽, ὦ ἄν-
δρες, φλαῦρον εἰπεῖν οὐδὲ ἕν·
ἀλλὰ πολὺ τοὔμπαλιν
πάντ᾽ ἀγαθὰ καὶ λέγειν,
καὶ δρᾶν. ἱκανὰ γὰρ τὰ κακὰ
καὶ τὰ παρακείμενα.
ἀλλ᾽ ἐπαγγελλέτω
πᾶς ἀνὴρ καὶ γυνὴ,
εἴ τις ἀργυρίδιον
δεῖται λαβεῖν, μνᾶς ἢ δύ᾽, ἢ
τρεῖς, ὡς ἔσω πόλλ᾽ ἐστὶν,
κἄχομεν βαλάντια.
κἄν ποτ᾽ εἰρήνη φανῇ,
ὅστις ἂν νυνὶ δανείσηται, παρ᾽ ἡ-

καλὸν γυναῖκες· ἀλλ᾽ ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.
καὶ γὰρ τὸ γῆμαι, καὶ τὸ μὴ γῆμαι κακόν.

1040. καὶ τολοιπὸν οὐκέτι. Sic præter codd. veteres editiones omnes. In nescio qua recentiori, forte Genevensi, vocula καὶ typothetæ errore omissa fuit, quæ menda deinceps in reliquas omnes transiit, non animadversa ab editoribus versus labe. In utroque Reg. præfixa est huic versui persona χορὸς γυναικῶν.

1044. Versus est dimeter iambicus. In Regiis scriptum οὐδὲ ἕν. In Aug. ὀδείν. Perperam vulgo οὐδέν.

1053. In edit. prior. hujus versiculi corrupti sunt numeri. Scriptum oportuit;

τρεῖς, ὡς ἔσω πόλλ᾽ ἐστίν.

Dimeter est iambicus: ut autem transpositæ sunt duæ voces, nihil tam plane est. Pæonici sunt hujus cantici plerique versiculi: haud abs re fuerit advertere, ubi Comicus pro licentia in melicis concessa a prosodiæ legibus recesserit. Prima in ἔντος producitur v. 1060. itidem in κεκλείσεται, v. 1071. Versiculos istos sic dimetiare:

κᾄστιν ἐσ | ωθέν τι καί.
ἰσως δ᾽ ἡ | θυρα κεκ | λεισεται.

Prior creticus est: alter bacchius.

1056. Hujus et seq. versus tum scripturam, tum divisionem exhibeo, quam præfert uterque Regius, nisi quod in altero ἄ"ν excudi curavi, ut in iis scribi

μῶν ἂν λάβῃ, μηκέτ' ἀποδῷ.
ἑστιᾶν δὲ μέλλομεν ξένους τινὰς Καρυστίους,
ἄνδρας καλούς τε κἀγαθούς.
κἄστιν ἔτνος τι, καὶ
δελφάκιον ἦν τι μοι,
καὶ τοῦτο τέθυχ', ὡς τὰ κρέα
ἔξεσθ' ἁπαλὰ καὶ καλά.
ἥκετ' οὖν εἰς ἐμοῦ
τήμερον· πρῷ δὲ χρὴ
τοῦτο δρᾷν λελουμένους,
αὐτούς τε καὶ τὰ παιδί'· εἶτ'
ἔσω βαδίζειν· μηδ' ἔρεσθαι μηδ' ἕνα,
ἀλλὰ χωρεῖν ἄντικρυς,
ὥσπερ οἴκαδ' εἰς ἑαυτῶν, γεννικῶς.
ἴσως δ' ἡ θύρα κεκλείσεται.

Χορὸς Γεροντῶν.

καὶ μὴν ἀπὸ τῆς Σπάρτης οἱδὶ πρέσβεις ἕλκοντες ὑπήνας
χωροῦσ', ὥσπερ χοιροκομεῖον περὶ τοῖς μηροῖσιν ἔχοντες.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ, ΠΡΕΣΒΕΙΣ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ, ΠΟΛΥΧΑΡΙΔΗΣ, ΛΥΣΙΣΤΡΑΤΗ, ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ, ΑΓΟΡΑΙΟΙ ΤΙΝΕΣ, ΘΕΡΑΠΩΝ, ΑΘΗΝΑΙΟΣ ΤΙΣ, ΧΟΡΟΣ ΛΑΚΩΝΩΝ.

debuit, et alibi in vulgatis libris bene excusum occurrit, ut Thesm. 344. Frequens, quod aliis observatum fuit, librariorum hic error: vide Marklandum ad Eurip. Suppl. 364. Prior versus trochaicus est, alter iambicus. Vulgo in tres lineas, versus enim appellare pudet, ad istum modum digesti sunt:

ὅστις ἂν δανείσηται,
παρ' ἡμῶν ἂν τινὶ λάβῃ,
μηκέτ' ἀποδιδῷ.

1062. *ὡς τὰ κρέα.* Sic Regii: vulgo *ὥστε τὰ—*

1068. Versus est trimeter iambicus, qui sic, ut eum exhibui, bene digestus est in utroque Regio, ubi tamen minus bene *εἴσω* et *μηδένα.* Vulgo autem sic distincti sunt versus:

αὐτούς τε, καὶ τὰ παιδί· εἶ-
τα εἴσω βαδίζειν·
μηδ' ἔρεσθαι μηδ' ἕνα.

1070. Unus versus est in Regiis trochaicus trimeter catalect. Male vulgo in duos distinctus.

1073. *χοιροκομεῖον.* Duplex fertur hujus vocis interpretatio. Vel enim est *πάτταλος ἐν ᾧ δεσμεύοντες τοὺς χοίρους τρέφουσι*: vel *πλεκτὸν ἀγγεῖον, ἐν ᾧ τοὺς*

Χορὸς Γεροντῶν.

ΑΝΔΡΕΣ Λάκωνες πρῶτα μέν μοι χαίρετε·
εἶτ' εἴπαθ' ἡμῖν, πῶς ἔχοντες ἥκετε.

Πρ. τί δεῖ ποτ' ὔμμε πολλὰ μυσίδδειν ἔπη;
ὀρῆν γὰρ ἔξεσθ', ὡς ἔχοντες ἥκομες.

Χορὸς Γεροντῶν.

βαβαί· νενεύρωται μὲν ἥδε συμφορὰ
δεινῶς· τεθερμῶσθαί γε χεῖρον φαίνεται.

Πρ. ἄφατα. τί κᾶν λέγοι τις; ἀλλ' ὅπα σέλει
παντᾶ τις ἐλσὼν ἁμὶν εἰράναν σέτω.

Χορὸς Γεροντῶν.

καὶ μὴν ὁρῶ γε τούσδε τοὺς αὐτόχθονας,
ὥσπερ παλαιστὰς παῖδας, ἀπὸ τῶν γαστέρων

νέους ἔτρεφον χοίρους περιδήσαντες. Utramque e Scholiaste habet Suidas. Prior placuit Biseto aliisque, argutias quærentibus in adlusione ad muliebre pudendum, quod etiam indigetatur nomine χοῖρος, et ad caudam salacem, quæ πάτταλος appellatur. Sed nugæ sunt. Si quos domi saginabant porcellos, eos paxillo adligabant: putasne paxillum illum tam diversum fuisse ab aliis, quibus in humum depactis quævis animalia adligari poterant, ut peculiari nomine insigniri debuerit? χοιροκομεῖον hic idem prorsus est, quod Vesp. 844. scilicet hara e vimine texta et plicatilis, qua, duabus extremitatibus ad parietem adnexis, circumsepiebatur spatium quoddam, intra quod conclusi saginabantur porcelli. Qui vocem hanc exponunt doctissimi Grammatici Pollux et Hesychius *paxilla* nullam mentionem faciunt. Ille x. 159. καὶ χοιροτροφεῖον δὲ, ἐν ᾧ χοῖροι τρέφονται, ὡς Εὔπολις καὶ Φρύνιχος ἐν Ποαστρίαις· τὸ δ' αὐτὸ καὶ χοιροκομεῖον ἐν Ἀριστοφάνους Λυσιστράτῃ. Hic, χοιροκομεῖον, λεπτόν τι πλεκτὸν, ὡς ὀρνιθοτροφεῖον. Istiusmodi quidpiam vas textile circa coxas habere videbantur Spartani legati, quia, ut ait Suidas, veniebant ἐγκεκολπωμένα τὰ ἱμάτια ἔχοντες, quæ verba male Kusterus accepit, scilicet prominente ex adversa parte vestis sinu, idque propter τὴν τοῦ αἰδοίου τάσιν. Verti itaque debuit: *adveniunt tanquam suile vimineum circa femora adligatum habentes.* Altera expositio ridiculum est Grammaticorum commentum. Quidni etiam paxillos memorant singulis animalibus ligandis aptos, κυνοκομεῖον, ἀρνοκομεῖον, πωλοκομεῖον, ὀνοκομεῖον? Quidni ὀρνιθοκομεῖον *paxillum avi ligando aptum?* Anne nomen instrumenti domestici vilis et quotidiani usus modo *vas vimineum* significabit, modo *paxillum?* In Juntina et priore Basileensi male legitur ἔχοντας, ut in Aug. Mendam sustulerat jam prior Veneta. Bene Regii ἔχοντες, quod Kusterus e Suida in χοιροκομεῖον reponere poterat.

1074. πρῶτα μέν μοι χαίρετε. Elegans est lectio cod. Aug. Inepte vulgo μέντοι. Venustam habet ἔμφασιν istud μοι, quod abundare videtur. Sic supra 125. τί μοι μεταστρέφεσθε; τί μοι μυᾶτε; 707. τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων; Thesm. 291. καὶ πρὸς φάλητα νοῦν ἔχειν μοι καὶ φρένας. Confer notam ad v. 202.

1081. ἁμὶν præterquam e dialecto est,

θαιμάτι' ἀποστέλλοντας· ὥστε φαίνεται
ἀσκητικὸν τὸ χρῆμα τοῦ νοσήματος.
Πο. τίς ἂν φράσειε, ποῦ 'στιν ἡ Λυσιστράτη;
ὡς ἄνδρες ἡμεῖς οὑτοιῒ τοιουτοιῒ.

Χορὸς Γεροντῶν.

χ' αὕτη ξυνᾴδει χ' ἀτέρα ταύτῃ νόσῳ.
ἦπου πρὸς ὄρθρον σπασμὸς ὑμᾶς λαμβάνει;
Πο. μὰ Δί', ἀλλὰ ταυτὶ δρῶντες ἐπιτετρίμμεθα.
ὥστ' εἴ τις ἡμᾶς μὴ διαλλάξει ταχὺ,
οὐκ ἔσθ' ὅπως οὐ Κλεισθένη βινήσομεν.

Χορὸς Γεροντῶν.

εἰ σωφρονεῖτε, θαιμάτια λήψεσθ', ὅπως
τῶν ἑρμοκοπιδῶν μή τις ὑμᾶς ὄψεται.
Πο. νὴ τὸν Δί' εὖ μέντοι λέγεις.
Πρ. ναὶ τὼ σιὼ
παντᾶ γε. φέρε τὸ ἔσθος ἐμβαλώμεθα.
Πο. ὦ χαίρετ', ὦ Λάκωνες, αἰσχρὰ γ' ἐπάθομεν.
Πρ. ὦ Πολυχαρίδα, δεινά γ' αὖ πεπόνθαμες,
αἴ κ' εἶδον ἀμέ γ' ἄνδρες ἀναπεφλασμένως.

sic hoc loco scribi debet ob metrum, quod a primis editoribus observatum, posteriores, ut alia multa, susque deque habuerunt.

1084. θαιμάτι'. Sic bene Aug. et Juntina. Vulgo θοιμάτι'.

1085. ἀσκητικόν. Vide Kusterum ad Suidam hac voce.

1086. Persona vulgo est ΑΘΗΝΑΙΟΣ ΤΙΣ. Quum perspicuitati studerem, maxime in personarum distinctione, quæ plurimum confert ad fabulæ intelligentiam actionisque scenicæ, hunc interlocutorem eo nomine insignivi, quo eum appellat Laco v. 1098. licet probabilius sit, id nomen non esse proprium viri, sed blande compellandi vocabulum. Reponi possit ΑΘΗΝΑΙΟΣ α'. et v. 1225. præponi persona ΑΘΗΝΑΙΟΣ β'.

1092. Clisthenes Sibyrtii filius homo erat effeminatus et mollis, quem sæpe exagitat Comicus.

1094. Alludit ad notissimam in historia Attica Hermarum mutilationem, de qua videndus Thucydides vi. 27. et ad eum Dukerus.

1096. τὸ ἔσθος ἐμβαλώμεθα. Vellem reperisse ἀναβαλώμεθα, quod proprium est amiciendi verbum, sed saltem ἐπιβαλώμεθα. Utrumvis vulgato melius videri possit, nisi forte idiotismus hic est Laconici sermonis.

ἐμβαλώμεθα. Sic quidem libri: legendum tamen videtur ἀμβαλώμεθα.

1097. Post hunc versum lacuna est in utroque Regio usque ad v. 1237. ᾆδει Τιλαμῶνος —sine defectus indicio in P. vacuis in B. quinque fere paginis.

1099. αἴ κ' εἶδον ἀμέ. In Aug. αἴκ' ἴδον, ut in vett. editt. Qui metro subvenire voluerunt posteriores editores,

Πο. ἄγε δὴ, Λάκωνες, αὖθ᾽ ἕκαστα χρὴ λέγειν.
ἐπὶ τί πάρεστε δεῦρο;

Πρ. περὶ διαλλαγᾶν
πρέσβεις.

Πο. καλῶς δὴ λέγετε· χ᾽ ἡμεῖς τουτογί.
τί οὐ καλοῦμεν δῆτα τὴν Λυσιστράτην,
ἥπερ διαλλάξειεν ἡμᾶς ἂν μόνη;

Πρ. ναὶ τὼ σιὼ, κἂν λῆτε, τὸν Λυσίστρατον.

Χορὸς Γεροντῶν.

ἀλλ᾽ οὐδὲν ὑμᾶς, ὡς ἔοικε, δεῖ καλεῖν·
αὐτὴ γὰρ, ὡς ἤκουσεν, ἥδ᾽ ἐξέρχεται.

Πολυχαρίδης.

χαῖρ᾽, ὦ πασῶν ἀνδρειοτάτη· δεῖ δὴ νυνί σε γενέσθαι
δεινὴν, ἀγαθὴν, φαύλην, σεμνὴν, ἀγανὴν, πολύπειρον·
ὡς οἱ πρῶτοι τῶν Ἑλλήνων τῇ σῇ ληφθέντες ἴυγγι
ξυνεχώρησάν σοι, καὶ κοινῇ τἀγκλήματα πάντ᾽ ἐπέτρεψαν.

Λυ. ἀλλ᾽ οὐχὶ χαλεπὸν τοὔργον, εἰ λάβοι γε τις
ὀργῶντας, ἀλλήλων τε μὴ πειρωμένους.
τάχα δ᾽ εἴσομαι ᾽γώ. ποῦ ἐστιν ἡ Διαλλαγή;
πρόσαγε λαβοῦσα πρῶτα τοὺς Λακωνικοὺς,
καὶ μὴ χαλεπῇ τῇ χειρὶ, μηδ᾽ αὐθαδικῇ,
μήθ᾽ ὥσπερ ἡμῶν ὤνδρες ἀμαθῶς τοῦτ᾽ ἔδρων·
ἀλλ᾽, ὡς γυναῖκας εἰκὸς, οἰκείως πάνυ.
ἢν μὴ διδῷ τὴν χεῖρα, τῆς σάθης ἄγε.

male reposuerunt αἰκεῖν ἴδεν. Vide supra ad v. 759. Perperam etiam vulgo legitur ἀμὶς ἄνδρες, quod et κακόφωνον et male græcum: ἀμὶς nominativus est; quem sensus flagitat, accusativus est ἀμέ.

1108. Hi versus qui vulgo Choro continuantur, alii personæ tributi sunt in Aug.

Aug. codici fidem derogare debebam, in quo perspicuo errore huic versui præfixus est index mutatæ personæ. Quatuor isti versus recte in impressis Choro continuati erant.

1109. Excidit librarii culpa nomen aliquod adjectivum: nam versus toto pede mutilus est.

1115. Hic versus et sex sequentes absurde vulgo tribuuntur Choro. Nec cod. nec vett. editt. distinctionem hanc agnoscunt. Chori personam hic primum præfixam invenio in editione Frobeniana.

1119. τῆς σάθης ἄγε. Hesych. σάθη (male legitur σάθαι) τὰ ἀνδρεῖα ἀναγκαῖα. Ad quam glossam vide interpretes.

ἴθι καὶ σὺ τούτους τοὺς Ἀθηναίους ἄγε·
οὗ δ' ἂν διδῶσι, πρόσαγε τούτους λαβομένη.
ἄνδρες Λάκωνες στῆτε παρ' ἐμὲ πλησίον,
ἐνθένδε θ' ὑμεῖς, καὶ λόγων ἀκούσατε.
ἐγὼ γυνὴ μέν εἰμι· νοῦς δ' ἔνεστί μοι·
αὐτὴ δ' ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω·
τοὺς δ' ἐκ πατρός τε καὶ γεραιτέρων λόγους
πολλοὺς ἀκούσασ', οὐ μεμούσωμαι κακῶς.
λαβοῦσα δ' ὑμᾶς, λοιδορῆσαι βούλομαι
κοινῇ δικαίως, οἳ μιᾶς ἐκ χέρνιβος
βωμοὺς περιῤῥαίνοντες, ὥσπερ ξυγγενεῖς,
Ὀλυμπιᾶσιν, ἐν Πύλαις, Πυθοῖ, (πόσους
εἴποιμ' ἂν ἄλλους, εἴ με μηκύνειν δέοι;)
ἐχθρῶν παρόντων βαρβάρων, στρατεύμασιν
Ἕλληνας ἄνδρας καὶ πόλεις ἀπόλλυτε.
εἷς μὲν λόγος μοι δεῦρ' ἀεὶ περαίνεται.

Πο. ἐγὼ δ' ἀπόλλυμαί γ' ἀπεψωλημένος.

Λυ. εἶτ', ὦ Λάκωνες, πρὸς γὰρ ὑμᾶς τρέψομαι,
οὐκ ἴσθ', ὅτ' ἐλθὼν δεῦρο Περικλείδας ποτὲ
ὁ Λάκων, Ἀθηναίων ἱκέτης καθέζετο
ἐπὶ τοῖσι βωμοῖς ὠχρὸς ἐν φοινικίδι,
στρατιὰν προσαιτῶν; ἡ δὲ Μεσσήνη τότε
ὑμῖν ἐπέκειτο, χὡ θεὸς σείων ἅμα.
ἐλθὼν δὲ σὺν ὁπλίταισι τετρακισχιλίοις
Κίμων, ὅλην ἔσωσε τὴν Λακεδαίμονα.

1129. *μιᾶς ἐκ χέρνιβος.* Sic manifestum est legi debere. Perperam vulgo *μιᾶς τε χέρνιβος.*

1133. *στρατεύμασιν.* Male vulgo *στρατεύματι.* In his terminationibus frequens librariorum lapsus.

1135. De formula Attica *δεῦρ' ἀεὶ* significante *ἕως τοῦ δεῦρο,* vide Valckenarium ad Eurip. Phœn. p. 413.

1138. *Περικλείδας.* In Aug. *Περικλείδησα.* Emendationem in veteri exemplari adscriptam male accepit librarius: *α* pro *η* reponi debuit, *Περικλείδας,* quæ Laconica nominis est forma. Plutarchus in Cimone p. 129. editionis Bryani: *πέμπουσιν οὖν οἱ Λακεδαιμόνιοι Περικλείδαν εἰς Ἀθήνας, δεόμενοι βοηθεῖν, ὃν φησι κωμῳδῶν Ἀριστοφάνης, καθεζόμενον ἐπὶ τοῖς βωμοῖς ὠχρὸν ἐν φοινικίδι, στρατιὰν ἀπαιτεῖν.*

1140. *ἐπὶ τοῖσι βωμοῖς.* Vulgo pessumdato metro *ἐπὶ τοῖς βωμοῖσιν*: quæ quidem lectio imperito nescio cui editori debetur: nam in vett. editionibus est *ἐπὶ τοῖς βωμοῖς.*

1144. *ἔσωσε τὴν*—In Juntina men-

ταυτὶ παθόντες τῶν Ἀθηναίων ὕπο,
δῃοῦτε χώραν, ἧς ὕπ' εὖ πεπόνθατε;
Πο. ἀδικοῦσιν οὗτοι, νὴ Δί', ὦ Λυσιστράτη.
Πρ. ἀδικοῦμες· ἀλλ' ὁ πρωκτὸς ἄφατος καὶ καλός.
Λυ. ὑμᾶς δ' ἀφήσειν τοὺς Ἀθηναίους οἴει;
οὐκ ἴσθ' ὅθ' ὑμᾶς οἱ Λάκωνες αὖθις αὖ
κατωνάκας φοροῦντας, ἐλθόντες δορὶ
πολλοὺς μὲν ἄνδρας Θετταλῶν ἀπώλεσαν,
πολλοὺς δ' ἑταίρους Ἱππίου καὶ ξυμμάχους,
ξυνεκμαχοῦντες τῇ τόθ' ἡμέρᾳ μόνοι,
κᾀλευθέρωσαν, κᾀντὶ τῆς κατωνάκης
τὸν δῆμον ὑμῶν χλαῖναν ἤμπισχον πάλιν;
Πρ. οὔπα γυναῖκ' ὄπωπα χαϊωτέραν.
Πο. ἐγὼ δὲ κύσθον γ' οὐδέπω καλλίονα.
Λυ. τί δῆθ', ὑπηργμένων τε πολλῶν κἀγαθῶν,
μάχεσθε, κοὐ παύεσθε τῆς μοχθηρίας;
τί δ' οὐ διηλλάγητε; φέρε, τί τοὐμποδών;
Πρ. ἀμές γε λῶμες, αἴ τις ἀμὶν τοὔγκυκλον
λῇ τοῦτ' ἀποδόμεν.
Λυ. ποῖον, ὦ 'τάν;
Πρ. τὰν Πύλον,
ὥσπερ πάλαι δεόμεσθα, καὶ βλιμάδδομες.

dose et cum versus ruina ἴσωσιν, quod per omnes deinceps editiones propagatum fuit. Aug. recte supra ἐπὶ τοῖσι βωμοῖς, et hic ἴσωσι. Sed quis adeo ineptus sit, ut in his codicum auctoritatem requirat?

1148. ἀδικοῦμες. Hic per metrum non licuit poëtæ Laconica forma uti ἀδικιῶμες.—ἄφατος καὶ καλὸς, idem quod ἄφατον ὡς καλός. Av. 427. ἄφατον ὡς φρόνιμος.

1150. οὐκ ἴσθ'. Sic Aug. ut supra 1138. Vulgo οὐκ οἶσθ'. Idem cod. infra 1154. ξυνεκμαχοῦντες, uti absque eo etiam scripsissem.

1162. λῶμες. Vulgo λώμεσθ'. Forma activa λῇ occurrit v. seq. λῶ 981. λῇς 95. 1188. λῆτε 1105. Unde λῶμες hic scribendum esse recte censet Kœnius ad Cor. p. 115.

1163. ἀποδόμεν. Sic scribendum e notissimo dialecti idiomate, pro ἀποδοῦναι. Male vulgo ἀποδῶμεν, quæ non est forma infinitivi, sed prima pers. plur. aoristi subjunctivi.

1164. In edit. prior. βλιμάττομες. sed vid. not. seq.

Huc respicit Suidas in βλιμάζειν. βλιμάττομεν, ψηλαφῶμεν, ἐπιθυμοῦμεν. Sed, quod me fugit, quum textum descripsi, restituenda est Laconica forma, a librariis obliterata, βλιμάδδομες. Ut supra

Πο. μὰ τὸν Ποσειδῶ, τοῦτο μέν γ' οὐ δράσετε.
Λυ. ἄφετ', ὦ 'γάθ', αὐτοῖς.
Πο. κᾆτα τίνα κινήσομεν;
Λυ. ἕτερόν γ' ἀπαιτεῖτ' ἀντὶ τούτου χωρίον.
Πο. τὸ δεῖνα, τοίνυν παράδοθ' ἡμῖν τουτονὶ
πρώτιστα τὸν 'Εχινοῦντα, καὶ τὸν Μηλιᾶ
κόλπον τὸν ὄπισθεν, καὶ τὰ Μεγαρικὰ Σκέλη.
Πρ. οὐ τὼ σιὼ, οὐχὶ πάντα γ', ὦ λισσάνιε.
Λυ. ἐᾶτε, μηδὲν διαφέρου περὶ Σκελοῖν.
Πο. ἤδη γεωργεῖν γυμνὸς ἀποδὺς βούλομαι.
Πρ. ἐγὼ δὲ κοπραγωγῆν γα πρᾶτα ναὶ σιώ.
Λυ. ἐπὴν διαλλαγῆτε, ταῦτα δράσετε.
ἀλλ' εἰ δοκεῖ δρᾶν ταῦτα, βουλεύσασθε, καὶ
τοῖς ξυμμάχοις ἐλθόντες ἀνακοινώσατε.
Πο. ποίοισιν, ὦ 'τὰν, ξυμμάχοις; ἐστύκαμεν.
οὐ ταυτὰ δόξει τοῖσι συμμάχοισι νῷν,
βινεῖν ἅπασι;
Πρ. τοῖσι γοῦν, ναὶ τὼ σιὼ,
ἁμοῖσι.
Πο. καὶ γὰρ, ναὶ μὰ Δία, Καρυστίοις.
Λυ. καλῶς λέγετε. νῦν οὖν ὅπως ἁγνεύσετε,
ὅπως ἂν αἱ γυναῖκες ὑμᾶς ἐν πόλει

82. *γυμνάδδομαι* pro *γυμνάζομαι*: 94. *μύσιδδε* pro *μύθιζε*: 1302. *ψιάδδοντι* pro *ψιάζοντι*: 1313. *θυρσάδδω* et *παίδδω* pro *θυρσάζω* et *παίζω*: ita hoc loco a *βλιμάζω*, *βλιμάδδω*, *βλιμάδδομες*. Communis forma occurit Av. 530. *οἱ δ' ὠνοῦνται βλιμάζοντες*.

1167. *ἀντὶ τούτου χωρίον*. Sic recte vulgatam scripturam *χωρίου* emendat Dawesius Miscell. Crit. p. 307.

1168. Hunc locum docte explicuit Palmerius, pro ea qua erat Historiæ et Geographiæ peritia. Quid autem '*Εχινοῦς*, *Μηλιεὺς κόλπος*, et *τὰ Μεγαρικὰ σκέλη*, ad aliam deflexa significationem, innuant, nemo non intelligit.

1171. *πάντα γ', ὦ Λ*. Male vulgo sine elisione *γε ὦ*.

1174. In Aug. et in Juntina sic legitur hic versus:

ἐγὼ δὲ κοπραγωγῆν γᾶ πρῶτα ναὶ τὼ σιώ.

Hancque lectionem retinent vett. editt. omnes. Quæ in recentioribus obtinet, sciolo nescio cui, syllabas numeranti, debetur:

ἐγὼ δὲ κοπραγωγῆν γᾶ πρᾶ ναὶ τὼ σιώ.

Profecto malus ille fuit versuum artifex. Proclive erat emendare:

ἐγὼ δὲ κοπραγωγῆν γα πρῶτα ναὶ σιώ.

γα Dorica particula pro *γε*. *ναὶ σιὼ* sine articulo occurrit in hac fabula 81. 90.

1178. *ἐστύκαμεν*. Perperam vulgo *ἐστύκαμες*, tanquam si loqueretur Laco.

ξενίσωμεν, ὧν ἐν ταῖσι κίσταις εἴχομεν.
ὅρκους δ' ἐκεῖ καὶ πίστιν ἀλλήλοις δότε·
κἄπειτα τὴν αὑτοῦ γυναῖχ' ὑμῶν λαβὼν
ἄπεισ' ἕκαστος.

Πο. ἀλλ' ἴωμεν ὡς τάχος.

Πρ. ἄγ' ὅπα τὺ λῇς.

Πο. νὴ τὸν Δί' ὡς τάχιστά γε.

Χορὸς Γυναικῶν.

στρωμάτων δὲ ποικίλων, καὶ χλανιδίων, καὶ ξυστίδων,
καὶ χρυσίων, ὅσ' ἐστὶν ἐμοὶ,
οὐ φθόνος ἔνεστί μοι
πᾶσι παρέχειν φέρειν
τοῖς παισὶν, ὁπόταν τε θυγάτηρ
τινὶ κανηφορῇ.
πᾶσιν ὑμῖν λέγω,
λαμβάνειν τῶν ἐμῶν
χρημάτων νῦν ἔνδοθεν,
καὶ μηδὲν οὕτως
εὖ σεσημάνθαι, τὸ μὴ οὐχὶ τοὺς ῥύπους ἀνασπάσαι,
χ' ἃ τ' ἔνδον ᾖ φορεῖν.
ὄψεται δ' οὐδὲν, σκοπῶν, εἰ μή
τις ὑμῶν ὀξύτερον ἐμοῦ βλέπει.
εἰ δέ τῳ μὴ σῖτος ὑμῶν ἐστι, βόσκει δ' οἰκέτας,
καὶ σμικρὰ πολλὰ παιδία,
ἔστι παρ' ἐμοῦ λαβεῖν
πυρίδια λεπτὰ μὲν,
ὁ δ' ἄρτος ἀπὸ χοίνικος
ἰδεῖν μάλα νεανίας.

1190. χρυσίων. Sincerum esse arbitror χρυσίδων.

1194. ὁπόταν κανηφορῇ. Solœce vulgo κανηφορεῖ.

1199. Pollux x. 59. Οὐ μὴν ἀγνοητέον, ὅτι τὸν ἐπιτήδειον εἰς τὸ κατασημαίνεσθαι κηρὸν οἱ παλαιοὶ ῬΥΠΟΝ ὠνόμαζον καὶ ῬΥΠΟΥΣ, ὡς ἐν Λυσιστράτῃ Ἀριστοφάνης· Καὶ μηδὲν οὕτως εὖ σεσημάνθαι, τὸ μὴ οὐχὶ τοὺς ῥύπους ἀνασπάσαι. Hujus observationis si meminisset Florens, mendosam Venetæ editionis lectionem τοὺς τύπους præferendam non duxisset. Hesychius: ῥύπος. ῥύπον Ἀττικοὶ, τὸν εἰς τὰς σφραγίδας κηρὸν λέγουσι.

ὅστις οὖν βούλεται
τῶν πενήτων, ἴτω
εἰς ἐμοῦ, σάκους ἔχων καὶ κωρύκους· ὡς
λήψεται πυρούς· ὁ Μανῆς δ' αὐτοῖς οὑμὸς ἐμβαλεῖ.
πρός γε μέντοι τὴν θύραν
προαγορεύω μὴ βαδίζειν τὴν ἐμήν,
ἀλλ' εὐλαβεῖσθαι τὴν κύνα.

Αγ. ἄνοιγε τὴν θύραν.

Θε. οὐ παραχωρεῖν θέλεις;
ὑμεῖς τί κάθησθε; μῶν ἐγὼ τῇ λαμπάδι
ὑμᾶς κατακαύσω; φορτικὸν τὸ χωρίον.

Αγ. οὐκ ἂν ποιήσαιμ'.

Θε. εἰ δὲ πάνυ δεῖ τοῦτο δρᾶν,
ὑμῖν χαρίζεσθαι, ταλαιπωρήσομεν.

Αγ. χ' ἡμεῖς γε μετὰ σοῦ ξυνταλαιπωρήσαμεν.

Θε. οὐκ ἄπιτε; κωκύσεσθε τὰς τρίχας μακρά.
οὐκ ἄπιτ', ὅπως ἂν οἱ Λάκωνες ἔνδοθεν
καθ' ἡσυχίαν ἀπίωσιν εὐωχημένοι;

Αθ. τις. οὔπω τοιοῦτον ξυμπόσιον ὄπωπ' ἐγώ.
ἦ καὶ χαρίεντες ἦσαν οἱ Λακωνικοί·
ἡμεῖς δ' ἐν οἴνῳ ξυμπόται σοφώτατοι.

Χορὸς Γεροντῶν.

ὀρθῶς γ', ὁτιὴ νήφοντες οὐχ ὑγιαίνομεν·

1215. εὐλαβεῖσθαι τὴν κύνα. Confer Plauti interpretes ad Most. iii, 2. 162.

1216. Unicus est in tota hac fabula locus, qui mihi adhuc negotium facessat, et quem nescio an recte constituerim. Aliter vulgo divisæ personis loquendi vices. Prodeunt in scenam homines aliquot otiosi et circumforanei, qui convivio interesse cupientes, a servo janitore ostium sibi aperiri flagitant: horum unus ait ἄνοιγε τὴν θύραν. Hæc verba et quæ sequuntur ad finem quinti versus vulgo tribuuntur famulo, quod absurdum est.

1220. ὑμῖν χαρίζεσθαι, ταλαιπωρήσομεν. Vulgo redundante syllaba προσταλαιπωρήσομεν. Pejus in Aug. προσταλαιπωρήσαιμεν. Qui sæpe e compositis simplicia faciebant librarii, ut observatum ad v. 408. iidem præpositiones temere addebant verbis, si quod forte compositum eorum memoriæ obversabatur, de sensu parum solliciti, quid autem metri leges admitterent aut repudiarent, nihil pensi habentes. Sic in Eurip. Hippol. 31. ἐγκαθείσατο pro καθείσατο intruserunt.

1222. κωκύσεσθε. Sic bene Aug. Vulgo titubante metro κωκύσετε.

1228. ὁτιὴ νήφοντες. Male vulgo cum versus ruina ὅτι νήφοντες.

ἢν τοὺς Ἀθηναίους ἐγὼ πείσω λέγων,
μεθύοντες αἰεὶ πανταχοῖ πρεσβεύσομεν.
νῦν μὲν γὰρ ὅταν ἔλθωμεν ἐς Λακεδαίμονα
νήφοντες, εὐθὺς βλέπομεν ὅ τι ταράξομεν·
ὥσθ', ὅ τι μὲν ἂν λέγωσιν, οὐκ ἀκούομεν·
ἃ δ' οὐ λέγουσι, ταῦθ' ὑπονενοήκαμεν.
ἀγγέλλομεν δ' οὐ ταυτὰ τῶν αὐτῶν πέρι.
νυνὶ δ' ἅπαντ' ἤρεσκεν· ὥστ' εἰ μέν γε τις
ᾄδοι Τελαμῶνος, Κλειταγόρας ᾄδειν δέον,
ἐπῃνέσαμεν ἂν, καὶ προσεπιωρκήσαμεν.
Θε. ἀλλ' οὑτοιὶ γὰρ αὖθις ἔρχονται πάλιν
ἐς ταυτόν. οὐκ ἐῤῥήσετ', ὦ μαστιγίαι;
Αγ. νὴ τὸν Δί', ὡς ἤδη γε χωροῦσ' ἔνδοθεν.
Πρ. ὦ Πολυχαρίδα, λαβὲ τὰ φυσατήρια,
ἵν' ἐγὼ διποδιάξω γα, κᾀείσω καλὸν
ἐς τὼς Ἀσαγαίως τε, κὴς ἡμᾶς ἅμα.

1230. μεθύοντες αἰεί. Vulgo ἀεί. Vide quæ notavi ad Æschyli Pers. 174. et Eurip. Phœn. 84. Mihimet ipsi constare volui. Sed si quis istud αἰεὶ e Scenicis exsulare juberet, illi non refragarer.—πανταχοῖ. Vulgo minus bene πανταχοῦ. Hæc accurate distinxit Photius, cujus observationem e Lexico MS. protulit Hesychii interpres ad πανταχῶς. Πανταχῆ, πάντα τρόπον. καὶ πανταχοῦ ἐν παντὶ τόπῳ· καὶ πανταχόθι. πανταχοῖ δὲ καὶ πανταχόσε, εἰς πάντα τόπον. Sæpe confusa a librariis ista adverbia. In Av. 165. ubi vulgo legitur: μὴ περιπέτεσθε πανταχῆ κεχηνότες, membr. habent πανταχοῦ: at vero legendum πανταχοῖ.

1242. Ista Legatus dicit puero tibicini, qui eum e convivio exeuntem comitatus fuerat; unde liquet vocem πολυχαρίδας non esse nomen proprium, sed blandam compellationem, qua utebantur Lacones. Nimis ineptum est, quod hoc nomine Atheniensem virum induxi. Reponenda sunt omnino personarum nomina ad eum quem dixi modum in nota ad v. 1086.

1243. διποδιάξω. Laconicæ saltationis genus erat, ut observatum Meursio in Orchestra, Διποδία, Διποδισμός.—κᾀείσω. Hoc ex emendatione est nescio cujus, sed bona. Sic jam legebat Meursius loco citato. Aug. et vett. editt. κἀίσω. Notissima phrasis est ᾄδειν εἴς τινα: nec loci sensus de quopiam alio verbo cogitare sinit. Ambo Regii dant καὶ κινήσω καλὸν, quam lectionem in Vat. etiam MS. repertam probat Kusterus, posthabita metri lege, quæ illam respuit. Vide enim qui versum illum dimetiare

ἵν' ἐγὼ | διποδι | άξω | γα καὶ κι | νήσω
—καλον.

Præterea quid significat κινήσω καλὸν εἰς τοὺς Ἀθηναίους? hujus similes aliquot Kusteri notæ non fuerunt, ut Lysistratæ nostræ consilium,

πολλαῖσιν ἀγρυπνίαισιν ἐῤῥιπτασμέναι.

Suspicari quis possit voces illas καὶ κινήσω glossema esse, olimque scriptum fuisse κᾀΐξω pro καὶ ἀΐξω. Sed hoc si metro satisfacit, probabili sensu cassum est.

1244. κὴς ἡμᾶς. Regii καὶ ἐς ἡμᾶς,

Πο. λαβὲ δὴ σὺ τὰς φυσαλλίδας, πρὸς τῶν θεῶν,
ὡς ἥδομαί γ' ὑμᾶς ὁρῶν ὀρχουμένους.
Πρ. ὅρμαον
τὼς κυρσανίως, ὦ Μναμοσύνα,
τάν τ' ἐμὰν Μῶαν, ἅτις
οἶδεν ἄμμε, τώς τ' Ἀσαναίως·
ὅκα τοὶ μὲν ἐπ' Ἀρταμιτίῳ
πρόκροον θείκελοι
ποττὰ κᾶλα, τὼς Μήδως τ' ἐνίκων·
ἀμὲ δ' αὖ Λεωνίδας
ἆγεν, ᾇπερ τὼς κάπρως
θάγοντας οἴω τὸν ὀδόντα. πολὺς δ'

unde Doricum κὴς facile erat eruere. Vulgo titubante versu καὶ ἡμᾶς.

1245. λαβὲ δὴ σὺ τὰς—Sic bene A. In B. λαβὲ δὴ τὰς—Vulgo λαβὲ δῆτα τὰς — Hesych. φυσαλλίδες, φυσητήρια, αὐλοί. Eundem ad modum scripta est hæc vox in A. duplici λ: in duobus aliis unico, ut apud Suidam. Pessima est veterum editionum scriptura φυσσαλίδας. In φυσᾶν prima longa est.

1246. ὡς ἥδομαί γ' ὑμᾶς ὁρῶν ὀρχουμένους. Vulgo fœdissima metri corruptela legitur, ὡς ἥδομαί γ' ὁρῶν ὑμᾶς ὀρχουμένους, quod tamen concoxerunt interpretes. In duobus Regiis ἥδομαί γ' ὑμᾶς ὀρχουμένους, omisso ὁρῶν, quod versus integritati adeo necessarium est, ut dubitari non possit, quin a poëta sit: et hoc habet Aug. sed sede sua, ut vulgo motum. Alias salva sententia abesse posset. Quin scita est phrasis ἥδομαι ὑμᾶς ὀρχουμένους, cujus tamen elegantiam non credo librariis ita placuisse, ut ejus specie ducti ὁρῶν consulto omiserint. Vide Musgravium ad Eurip. Suppl. 328. et Valckenarium ad Hippol. 1339.

1247. ὅρμαον, Μῶα, et supra 995. πᾶα, pro ὅρμασον, Μῶσα, πᾶσα, idiomata sunt Laconicæ dialecti, de quibus vide Valckenarium in Theocr. p. 274.

1248. ὦ Μναμοσύνα. Sic Regii. Aug. et vett. editt. ὦ μναμόνα.

1249. τάν τ' ἐμὰν Μῶαν. Sic bene Regii: vulgo τὰν τεάν.

1250. ἄμμε. Sic scriptum in A. Vulgo ἀμέ.

1253. πρόκροον θείκελοι ποττὰ κᾶλα, *in naves Persarum.* Sic in utroque Regio scriptum: male vulgo καλά. πρόκροον autem e dialecto est pro προὔκρουον.

1256. In edit. prior. θάγοντας τὸν ὀδόντα, de quo vid. not.

Vulgo θάγοντας οἰῶ τὸν ὀδόντα, ad quæ Berglerus sic commentatur: οἰῶ *autem est puto; sed hoc loco abundat, ut aliquoties in antecedentibus.* Abundat quidem, sed ita absurde, ut plane ejiciendum sit, librarioque reddendum, qui illud infercit.

Nulla profecto erat causa, cur insertum, idque eleganter, in hoc versu verbum οἴω ejicerem; abundat hic, ut v. 156. Nec deerunt fortasse, quibus minus probabitur, idem verbum οἴω in v. 998. mutatum a me fuisse in οἴω: meque etiam nunc conjecturæ istius pœnitet, quæ me primum melioris sensus specie deluserat. Non satis adtenderam ad venustum usum verborum dubitandi, οἶμαι, δοκέω, νομίζω, ἐοικέναι,

ἀμφὶ τὰς γένυας ἀφρὸς ἤνσει,
πολύς δ' ἅμα
καὶ καττῶν σκελῶν ἵετο.
ἦν γὰρ τὤνδρες οὐκ ἐλάσσως.
τὰς ψάμμας, τοὶ Πέρσαι.
ἀγρότερ' Ἄρταμι σηροκτόνε,
μόλε δεῦρο, παρσένε σιὰ,
ποττὰς σπονδὰς, ὡς
συνέχῃς πολὺν ἄμμε χρόνον·
νῦν δ' αὖ
φιλία δ' αἰὲς εὔπορος εἴη
ταῖς συνθήκαις·
καὶ τᾶν αἱμυλᾶν ἀλωπέκων
παυσαίμεθ'. ὦ
δεῦρ' ἴθι, δεῦρ', ὦ
κυναγὲ παρσένε.

Λυ. ἄγε νῦν, ἐπειδὴ τἄλλα πεποίηται καλῶς,
ἀπάγεσθε ταύτας, ὦ Λάκωνες· τάσδε τε
ὑμεῖς· ἀνὴρ δὲ παρὰ γυναῖκα, καὶ γυνὴ
στήτω παρ' ἄνδρα· κᾆτ' ἐπ' ἀγαθαῖς ξυμφοραῖς
ὀρχησάμενοι θεοῖσιν, εὐλαβώμεθα
τολοιπὸν αὖθις μὴ 'ξαμαρτάνειν ἔτι.

quæ apud quosvis scriptores, præsertim vero Atticos, sic adhibentur, etiam quum quis de re certa, et quam maxime compertam habet, loquitur. οἶμαι centies ita apud Comicum occurrit. Verbi δοκέω frequentissimus est Xenophonti usus. Vide Hutchinsonum ad K. Π. præfationis ultima verba: ὅσα οὖν καὶ ἐπυθόμεθα καὶ ᾐσθῆσθαι δοκοῦμεν περὶ αὐτοῦ, ταῦτα πειρασόμεθα διηγήσασθαι. E tribus istis exemplis verbi οἴω mediæ sententiæ interjecti, quæ Lacónum sermo in hac fabula exhibet, pronum est colligere fuisse hunc idiotismum illis perquam familiarem.

1258. Vulgo πολύς θ' ἅμα καὶ κατὰ τῶν σκελῶν ἀφρὸς ἵετο. Uterque Regius πολύς δ' — Tum A. καὶ κατῶν, mendose pro καττῶν. Nomen ἀφρὸς, e superiori versu male repetitum, glossema est, quod expungi debuit.

1262. ἀγρότερ' Ἄρταμι. Male vulgo Ἄρτεμι. Ut supra 1251. Ἀρταμιτίῳ scriptum e dialecto, pro Ἀρτεμισίῳ, ita hic scribi debuit Ἄρταμι pro Ἄρτεμι. Vide Kœnium ad Corinthum p. 139.

1268. ταῖς συνθήκαις. Sic Regii. Vulgo παῖσιν.

1274. τάσδε τε ὑμεῖς. Id est καὶ ὑμεῖς Ἀθηναῖοι τάσδε. Male vulgo τάς δέ τε. In Regiis scriptum τασδεΐ.

1277. ὀρχησάμενοι θεοῖσιν. Postquam

Χορὸς Ἀθηναιῶν.

πρόσαγε χορόν· ἔπαγε χάριτας,
ἐπὶ δὲ κάλεσον Ἄρτεμιν·
ἐπὶ δὲ δίδυμον ἀγέχορον, ἰήϊον,
εὔφρον'· ἐπὶ δὲ Νύσιον,
ὃς μετὰ Μαινάσι Βάκχειος ὄμμασι
δαίεται·
Δία τε πυρὶ φλεγόμενον, ἐπί τε
ποτνίαν ἄλοχον ὀλβίαν.
εἶτα δὲ δαίμονας, οἷς ἐπὶ μάρτυσι
χρησόμεθ' οὐκ ἐπιλήσμοσιν
ἡσυχίας πέρι τῆς μεγαλόφρονος,
ἣν ἐποίησε θεὰ Κύπρις.
ἀλαλαὶ ἰὴ παιήων.
αἴρεσθ' ἄνω, ἰαὶ,
ὡς ἐπὶ νίκῃ, ἰαί.
εὐοὶ, εὐοί. εὐαὶ, εὐαί.
Λάκων, πρόφαινε δὴ σὺ μοῦσαν
ἐπὶ νέᾳ νέαν.

Χορὸς Λακωνῶν.

Ταΰγετον αὖτ' ἐραννὸν ἐκλιπῶα Μῶα,
μόλε Λάκαινα, πρεπτὸν ἁμὶν
κλεῶα τὸν Ἀμύκλαις σιὸν,

in honorem deorum saltaveritis. De hac loquendi formula videndus Valckenarius ad Eurip. Phœn. p. 582. ὀρχήσασθαι θεοῖσιν plane eodem modo dictum, quo τοῖς θεοῖς παιῶν dixit Anacreon. Od. xxxi.

1279. Hic versus et sequentes vulgo Lysistratæ continuantur. In Regiis adscripta Chori persona.

1281. δίδυμον ἀγέχορον. Vulgo ἄγε χορόν. Pejus Regii ἄγετε χορόν. Facilem certamque emendationem præcepit Berglerus.

1287. οἷς ἐπὶ μάρτυσι χρησόμεθ'— Tmesis pro οἷς μάρτυσι ἐπιχρησόμεθα. Sic divisim scriptum in Regiis. Vulgo οἷς ἐπιμάρτυσι, quod minus placet, maxime ob sequens epitheton ἐπιλήσμοσιν.

1299. κλεῶα τὸν Ἀμύκλαις σιὸν—κλεῶα, ἐκλιπῶα, pro κλέωσα, ἐκλιπῶσα, eaque pro communibus κλέουσα, ἐκλιποῦσα. Vide supra ad 1247. Vulgo legitur κλεῶα τὸν Ἀμύκλαις Ἀπόλλω σιόν. Nomen Ἀπόλλω glossema est, et ejici debuit, quod jam monuit Valckenarius loco laudato. Dativus Ἀμύκλαις vel est pro genitivo Ἀμυκλῶν, quod schema breviter observavi ad Apollonium iii. 862. χθονίην, ἐνέρωσιν ἄνασσαν: vel potius pendet a suppressa præpositione

καὶ χαλκίοικον Ἀσάναν,
Τυνδαρίδας τ' ἀγασώς,
τοὶ δὴ παρ' Εὐρώταν ψιάδδοντι.
εἶα μάλ' ἔμβη,
ὢ εἶα κοῦφα πάλλων,
ὡς Σπάρταν ὑμνιῶμες,
τᾷ σιῶν χοροὶ μέλοντι,
καὶ ποδῶν κτύπος·
ᾇτε πῶλοι δ' αἱ κόραι
πὰρ τὸν Εὐρώταν

ἐν, cujus frequens ellipsis. Sic Acharn. 697.

ἄνδρ' ἀγαθὸν ὄντα Μαραθῶνι περὶ τὴν πόλιν;
εἶτα Μαραθῶνι μὲν ὅτ' ἦμεν, ἐδιώκομεν.

1300. χαλκίοικον. Minervæ cognomen apud Spartanos, de cujus ratione vide Meursium Misc. Lac. i. 3.

1303. ἔμβη. Sic recte Aug. Vide supra ad. 990. Vulgo εἶα μάλα ἔμβα.

1304. In edit. prior. ὤϊα κῦφα πάλλων. Aug. et vett. editt. ὤϊα. Kusterus, mutationis non reddita ratione, ὢ εἶα, quod e scripto libro habuisse videtur: sic enim duos versiculos exhibent Regii:

εἶα μάλα, ἔμβα εἶα.
ὢ εἶα. κοῦφα πάλλων.

ὤϊα tam neutro genere effertur, quam feminino ὤϊαι, quam vocem Hesychius exponit. ὤϊαι, ἄκραι, ἔσχαται, μηλωταί, λέγναι.

1304. Quam e veteribus editt. revocaveram lectionem, vereor ut exemplis adstrui possit. τὰ ὤϊα vox nihili esse videtur, cujus frustra patrocinium susceperim. Sincerum est ὢ εἶα, quod tuentur ambo Regii, quodque tam frequens est apud Comicum. κουφὰ neutrum plurale adverbii præstat usum: πάλλων activum participium neutraliter adhibetur, ut mox infra ἀμπάλλοντι. Nihil hic erat impediti.

1305. ὡς Σπάρταν ὑμνιῶμες. Vulgo ὦ Σπάρταν ὑμνιῶμες. Bene uterque Regius ὡς. Tum B. ὑμνίωμες, servato dialecti idiomate, de quo supra ad v. 1002. Scribi debuit ὑμνιῶμες.—ὡς perinde ac ὅπως *ut*, causam finalem significans, raro apud Comicum occurrit sine particula ἄν. Ter in hac fabula sic nudum reperitur, hic et 183. 1265. ubique in Laconum ore. Tragici ὡς et ὅπως sine ἂν sæpissime adhibent. Verum ubi ὅπως non *causam finalem* significat, sed *modum rationemque agendi*, et per *quomodo* verti potest, ut supra 289. nunquam, nisi solœce, cum aoristo primo subjunctivi construitur, sed cum futuro indicativi. Solœcum est, quod vulgo apud Sophoclem legitur Ajac. 556.

δεῖ σ' ὅπως πατρὸς
δείξῃς ἐν ἐχθροῖς οἷος ἐξ οἵου 'τράφης.

legendum est δείξεις. Pendent ista ὅπως δείξεις a verbo suppresso ὁρᾷν, vel simili. δεῖ σε ὁρᾷν ὅπως δείξεις. Miræ imperitiæ sunt, quæ Parisinus Professor ad hunc locum nuper commentatus est, diversas significationes particulæ ὅπως confundens, et exempla advocans, quæ nihil ad rem faciunt.

1308. ᾇτε πῶλοι δ' αἱ κόραι. Sic optime Regii, nisi quod scriptura ἅτε pro ᾇτε exhibet, librarii errore. Versus hic est trochaicus. Absurde vulgo αἶ τε πῶλοι ταὶ κόραι—αἶτε conjunctim excusum in Juntina depravatum est ex Dorico ᾇτε.

ἀμπάλλοντι πυκνὰ ποδοῖν
ἐγκονιῶσαι·
ταὶ δὲ κόμαι σείονθ᾽, ᾇπερ Βακχᾶν
θυρσαδδωᾶν καὶ παιδδωᾶν·
ἁγῆται δ᾽ ἁ Λήδας παῖς
ἁγνὰ χοραγὸς εὐπρεπής.
ἀλλ᾽ ἄγε, κόμαν παραμπύκιδδέ τε
χερὶ, ποδοῖν τε πάδη, πάδη,
ᾇ τις ἔλαφος· κρότον δ᾽ ἅμα ποί-
η χορωφελέταν·
καὶ τᾶν σιᾶν δ᾽ αὖ τὰν κρατίσταν
Χαλκίοικον ὕμνει,
τὰν παμμάχον.

1311. ἐγκονιῶσαι. Sic e dialecto scribendum. Quod vulgo habetur ἀγκονιύοισαι, vel quod est in B. ἀγκονίουσαι, nauci non sunt. Bene quidem animadvertit Berglerus, nihil aliud vulgato significari posse, quam ἐγκονιοῦσαι: sed lectionis monstrum procurandum erat. Vide modo Hesychii interpretem ad ἀγκόνους.

1312. σείονθ᾽, ᾇπερ. Male vulgo σείοντ᾽. A prima editione in reliquas omnes transiit hæc menda. Regii literam aspiratam habent, sed male ἅπερ. Aug. αἵπερ, ut supra 1308. αἵτι.

1313. θυρσαδδωᾶν καὶ παιδδωᾶν, id est θυρσαζουσῶν καὶ παιζουσῶν. Vide supra ad 1164. Vulgo legitur καὶ παδδωᾶν. Quod reposui liquido exhibent duo Regii, quorum auctoritatem secutus sum. Doctorum virorum de hoc loco conjecturas vide apud Valckenarium in Theocriteis p. 275.

1316. ἀλλ᾽ ἄγε, κόμαν παραμπύκιδδέ τε. Unus versus est in utroque Regio, male vulgo in duos digestus. Trimeter est pæonicus. Hoc primum. Deinde male vulgo ἀλλά γε et παραμπυκίδδετε in plurali, quum sit singularis: καὶ κόμαν παραμπύκιζε χερὶ, ἢ πήδα ποδοῖν— singularis est imperativi πάδη, ut παραμπύκιδδε.

1317. χερί. Sic Regii. Vulgo χειρί. Iidem bis perperam πάδδη, quod ut in πάδη mutandum, sic bene vulgatum παδδωᾶν v. 1313. mutari poterat in παδωᾶν. Hic Aug. bene πάδη: perperam Juntina πᾶ δή.

1318. ᾇ τις ἔλαφος. κρότον δ᾽ ἅμα ποί-
η χορωφελέταν.

Sic distincti hi versus in utroque Regio bene. In Aug. male in tres digesti:

αἵ τις ἔλαφος
κρότον δ᾽ ἅμα ποί-
η χορωφελέταν.

Sed vides tamen alteram syllabam verbi ποίη ultimo versui contributam esse. Prior versus est trimeter pæonicus catal. Alter trochaicus monometer hypercatal.

1320. Vulgo καὶ τὰν σιὰν δ᾽ αὐτὰν κρατίσταν. In duobus Regiis est δ᾽ αὖ τὰν, unde veram restitui lectionem: καὶ τᾶν σιᾶν δ᾽ αὖ τὰν κρατίσταν.

ΤΕΛΟΣ ΤΗΣ ΛΥΣΙΣΤΡΑΤΗΣ.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΜΝΗΣΙΛΟΧΟΣ Εὐριπίδου κηδεστής.

ΕΥΡΙΠΙΔΗΣ.

ΘΕΡΑΠΩΝ Ἀγάθωνος.

ΑΓΑΘΩΝ.

ΧΟΡΟΣ Ἀγάθωνος.

ΚΗΡΥΞ.

ΧΟΡΟΣ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΩΝ.

ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ.

ΚΛΕΙΣΘΕΝΗΣ.

ΠΡΥΤΑΝΙΣ.

ΣΚΥΘΗΣ ΤΟΞΟΤΗΣ.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ.

ΜΝΗΣΙΛΟΧΟΣ, ΕΥΡΙΠΙΔΗΣ, ΘΕΡΑΠΩΝ, ΑΓΑΘΩΝ, ΧΟΡΟΣ ΑΓΑΘΩΝΟΣ.

Μν. Ω ΖΕΥ, χελιδὼν ἄρα πότε φανήσεται;
ἀπολεῖ μ' ἀλοῶν ἄνθρωπος ἐξ ἑωθινοῦ.
οἷόν τε, πρὶν τὸν σπλῆνα κομιδῇ μ' ἐκβαλεῖν,
παρὰ σοῦ πυθέσθαι, ποῖ μ' ἄγεις, ὦ 'υριπίδη;

Ευ. ἀλλ' οὐκ ἀκούειν δεῖ σε πάνθ', ὅσ' αὐτίκα
ὄψει παρεστώς.

Rarissima sunt hujus fabulæ scripta exemplaria. Non exstat in ullo codicum quorum notitiam exhibet impressus Bibliothecæ Regiæ Catalogus, nec in iis reperitur qui post annum MDCCXL. in splendidum illum literarium thesaurum illati fuerunt. Hac de re per epistolam rogatus certiorem me fecit optimus Juvenis Jo. Capperonnerii filius unicus, qui deplorabili casu paulo post fato functus est, conceptasque de eo spes, fore ut acceptam a parente, parentisque patruo nominis claritatem novis in literas meritis illustriorem redderet, destituit. E solo itaque Augustano codice emendata fuit.

1. χελιδὼν ἄρα πότε φανήσεται; Non pertinent hæc ad notationem temporis, quo Thesmophoria celebrabantur; multo minus illius, quo acta fuit hæc fabula. Sed proverbii locum apud veteres obtinuisse illud videtur: *Quando tandem optatum veniet tempus, quo a molestiis hisce liberabor?* ab iis ducta locutione, qui hiemis pertæsi, hirundinis adventum, ut veris indicium, cupide exspectant. *E notis Kusteri apud quem plura in hanc rem vide.*

2. ἀλοῶν. Suidas: ἔξωθεν ἐν κύκλῳ περιάγων, ὡς οἱ ἐν ταῖς ἅλωσιν. Hesychius: ἀλοῶν, πλανῶν, καὶ τύπτων. Qua ex glossa liquet Grammaticum eidem verbo binas significationes tribuisse quarum prior huc congruit. Falsi itaque sunt qui ἀλῶν hic reponi volunt. Activa enim forma ἀλάω non est in usu: ἀλάομαι dixerunt veteres neutrali significatione.

4. ὦ 'υριπίδη. Sic cod. Vulgo sine elisione ὦ Εὐριπίδη. Confer Lysistr. 700.

5. ὅσ' αὐτίκα ὄψει, *quæ videbis.* Sic cod. Vulgo ὃς relatum ad σὺ, *qui videbis.*

Μν. πῶς λέγεις; αὖθις φράσον.
οὐ δεῖ μ' ἀκούειν;
Ευ. οὐχ', ἅ γ' ἂν μέλλῃς ὁρᾷν.
Μν. οὐδ' ἆρ' ὁρᾷν δεῖ μ';
Ευ. οὐχ', ἅ γ' ἂν ἀκούειν δέῃ.
Μν. πῶς μοι παραινεῖς; δεξιῶς μέντοι λέγεις.
οὐ φῂς σὺ χρῆναί μ' οὔτ' ἀκούειν, οὔθ' ὁρᾷν.
Ευ. χωρὶς γὰρ αὐτοῖν ἑκατέρου 'στιν ἡ φύσις,
τοῦ μήτ' ἀκούειν, μήθ' ὁρᾷν· εὖ ἴσθ' ὅτι.
Μν. πῶς χωρίς;
Ευ. οὕτω ταῦτα διεκρίθη τότε.
αἰθὴρ γὰρ, ὅτε τὰ πρῶτα διεχωρίζετο,
καὶ ζῶ' ἐν αὐτῷ ξυνετέκνου κινούμενα,
ᾧ μὲν βλέπειν χρὴ, πρῶτ' ἐμηχανήσατο
ὀφθαλμὸν ἀντίμιμον ἡλίου τροχῷ·
ἀκοὴν δὲ χοάνης ὦτα διετετρήνατο.
Μν. διὰ τὴν χοάνην οὖν μήτ' ἀκούω, μήθ' ὁρῶ.
νὴ τὸν Δί' ἥδομαί γε τουτὶ προσμαθών.
οἷόν τι που 'στὶν αἱ σοφαὶ ξυνουσίαι;
Ευ. πόλλ' ἂν μάθοις τοιαῦτα παρ' ἐμοῦ.
Μν. πῶς ἂν οὖν
πρὸς τοῖς ἀγαθοῖς τούτοισιν ἐξεύροις, ὅπως

11. Hæc vulgo male Mnesilocho continuantur. In cod. lineola mutatæ personæ index, quæ huic versui præponi debuit, librarii errore initio sequentis posita.

13. τότε hic *olim* notat. Vide ad Lys. 1023. male Kusterus vertit *tunc*.

16. πρῶτ' ἐμηχανήσατο. Sic bene Kusterus. Priores editt. ut cod. πρῶτα μηχανήσατο.

18. ἀκοὴν δὲ χοάνης. Facete Comicus tragico stylo loquentem inducit Euripidem, simulque Tragicos irridet, qui hujusmodi nominum commutationibus, a vulgi sermone alienis, dignitatem orationi suæ conciliabant. De ista figura vide quæ observavi ad Æsch. Pers. 94. et ad Eurip. Hec. 432.

20. ἥδομαί γε τουτί. Sic cod. et vett. editt. quinque. In Frobeniana typothetæ errore ἥδομαι γὰρ, contra metri legem. Sed per omnes deinceps editiones propagata fuit turpis menda.

21. οἷόν τι που 'στίν. Gravis hic fuit error in re tenui. Supra v. 3. ubi recte editum οἷόν τε, perperam cod. habet οἷόν τι. Hic vero ubi sententia et loquendi ratio οἷόν τι flagitant, habent οἷόν τε.

22. πῶς ἂν οὖν. Hæc verba vulgo Mnesilocho tributa, et seq. duo versus Euripidi, manifesta absurditate. Nobiscum consentit cod. in personarum distinctione.

ἔτι προσμάθω, μὴ χωλὸς εἶναι τὼ σκέλη;

Ευ. βάδιζε δευρὶ, καὶ πρόσεχε τὸν νοῦν.

Μν. ἰδού.

Ευ. ὁρᾷς τὸ θύριον τοῦτο;

Μν. νὴ τὸν Ἡρακλέα,
οἶμαί γε.

Ευ. σίγα νῦν.

Μν. σιωπῶ τὸ θύριον.

Ευ. ἄκου'.

Μν. ἀκούσω, καὶ σιωπῶ τὸ θύριον.

Ευ. ἐνταῦθ' Ἀγάθων ὁ κλεινὸς οἰκῶν τυγχάνει,
ὁ τραγῳδοποιός.

Μν. ποῖος οὗτος ὠ'γάθων;

24. ἔτι προσμάθω. Vulgo προσμάθοις e Zanetti interpolatioue. Cod. et Juntina, ut Basileenses habent προσμάθοι. Quum ista loqui facerent Euripidem, necesse illis erat verbum in secunda persona ponere. At vero loquitur Mnesilochus: proinde verbum in prima persona esse debet. Accedit linguæ ratio verbum modi subjunctivi flagitans, quia ὅπως significans *quomodo* cum futuro indicativo, vel aor. 2. subjunctivo construitur. Itaque προσμάθω reponi debuit.

In versu præcedente legebatur in prior. edit. ἐξεύροιμ', sed vid. not. seq.

Post excusum hujus editionis textum, interquiescentibus operis, dum Lugduno adveherentur literarum formæ quibus latina versio describenda erat, casu incidi in Reiskii notulas in Aristophanem, quas notulis in Euripidem subjectas vidisse non memineram. Præclari viri, cujus acumen ingenii et doctrinam plurimi semper feci, in mentem mihi non venerat, forte quia sciebam eum prosodiæ leges, totamque de re metrica doctrinam pro vana atque imaginaria habuisse, quod sane facilius erat, quam eam addiscere; nec operam collocanti mihi in emendando poëta, quæ se offerebant in eo difficultates, facile poterant Reiskium in memoriam mihi redigere. Utut hæc sunt, casu incidi in illius animadversionum libellum, ubi quædam deprehendi, quæ prius cognovisse vellem; et sane illius ope locum hunc melius constituissem. Scilicet sup. versu legendum ἐξεύροις, quod in versione secutus sum.

πῶς ἂν οὖν
πρὸς τοῖς ἀγαθοῖς τούτοισιν ἐξεύροις,
ὅπως
ἔτι προσμάθω, μὴ χωλὸς εἶναι τὼ
σκέλη.

Vices loquendi, quomodo personis essent dividendæ, vidit Reiskius, suasitque ἐξεύροις μ' ὅπως ἔτι προσμάθω. Inserti pronominis με gratiam illi facimus. πῶς ἂν verti debuit per *utinam*. Vide doctissimos viros Marklandum ad Eurip. Suppl. 796. et Valckenarium ad Hippol. 208.

28. ἀκούσω. Sic quidem libri: sed legendum ἀκούω, et verti debuit: *ausculto et taceo ostiolum*.

30. ποῖος οὗτος ὠ'γάθων. Sic bene Kusterus in notis post Scaligerum. Vulgo ruente versu οὗτος Ἀγάθων.

31. ἔστιν τις Ἀγάθων. Hæc perperam vulgo socero continuata per interrogationem, codex recte genero tribuit, cujus sermonem abrumpit alter.

Ευ. ἔστιν τις Ἀγάθων - - -
Μν. μῶν ὁ μέλας, ὁ καρτερός;
Ευ. οὔκ· ἀλλ' ἕτερός τις. οὐχ ἑώρας πώποτε;
Μν. μῶν ὁ δασυπώγων;
Ευ. οὐχ ἑώρας πώποτε;
Μν. μὰ τὸν Δί', οὔ τοί γ', ὥστε κἀμέ γ' εἰδέναι.
Ευ. καὶ μὴν βεβίνηκας σύ γ'· ἀλλ' οὐκ οἶσθ' ἴσως.
ἀλλ' ἐκποδὼν πτήξωμεν, ὡς ἐξέρχεται
θεράπων τις αὐτοῦ, πῦρ ἔχων καὶ μυῤῥίνας.
προθυσόμενος ἔοικε τῆς ποιήσεως.
Θε. εὔφημος πᾶς ἔστω λεὼς,
στόμα συγκλείσας. ἐπιδημεῖ γὰρ
θίασος Μουσῶν ἔνδον μελάθρων
τῶν δεσποσύνων μελοποιῶν.
ἐχέτω δὲ πνοὰς νήνεμος αἰθήρ·
κῦμα δὲ πόντου μὴ κελαδείτω
γλαυκόν.
Μν. βομβάξ.
Ευ. σίγα. τί λέγεις;

32. Vulgo sic legitur hic versus: *οὐκ, ἀλλ' ἕτερός τις. οὐχ ἑώρακας πώποτε;* syllaba ultra numerum excurrente. Kustero *metri gratia* scribendum videbatur *οὐχ ἑώρακάς ποτε*. Sed ob metrum sermoni proprietas non erat deroganda. *οὔποτε*, ut observavimus ad Lys. 301. nunquam verbo præteriti temporis jungitur, nec *οὐπώποτε* verbo temporis futuri: qua de re vide Piersonum ad excerpta ex Herodiano Mœridi subjecta p. 461. et confer quæ notavimus ad Vesp. 984. Genuinam lectionem restituit Dawesius, *οὐχ ἑώρας πώποτε*. Forma istæ *ἑώρας*, *ἑώρακας* a libraiis non raro permutatæ. Vide quæ notamus ad Pl. 713. Nub. 767. Nihil magis obvium apud Atticos scriptores forma illa imperfecti seu aoristi *ἑώρων*. Lysias p. 775. *οὐ τοίνυν ἄξιον χρῆσθαι τούτοις, οἷς ἐκείνους ἑωρᾶτε ἐξαμαρτάνοντας*. Thucyd. viii. 40. *ὡς ἑώρα καὶ τοὺς ξυμμάχους προθύμους ὄντας, ὥρμητο ἐς τὸ βοηθεῖν.* Xenoph. Hellen. p. 22. edit. Lips. *ἐπεὶ δὲ ἑώρα ἑαυτῷ εὔνουν οὖσαν*. In cod. verba *οὐκ, ἀλλ' ἕτερός τις*, Euripidi tributa sunt: Mnesilocho autem ea quæ sequuntur, sic scripta: *οὐχ ἑώρακα πώποτε*, et sequens versus omissus.

39. Hic incipit anapæsticum systema in impressis libris pessime digestum, cujus primus versus parœmiacus est, vocis *λεὼς* duabus syllabis in unam coalescentibus, et spondeo subjecta illa catalectica syllaba. Hæc quidem minus mihi placent, nec ullus dubito, quin antiqua et sincera lectio sit,

εὔφημος πᾶς ὁ λεὼς ἔστω.

43. *ἐχέτω δὲ πνοάς*. Sic cod. et vett. editt. quinque. In Frobeniana, typothetæ, ut videtur, culpa, *πνοιὰς* excusum fuit, turpisque menda per ceteras deinceps editiones propagata fuit.

50. *πράμες*. Sid cod. et impressi. Vereor ut genuina sit hæc forma, quam nescio an Doricam dicam: sane

Θε. πτηνῶν τε γένη κατακοιμάσθω,
θηρῶν τ' ἀγρίων πόδες ὑλοδρόμων
μὴ λυέσθων.
Μν. βομβαλοβομβάξ.
Θε. μέλλει γὰρ ὁ καλλιεπὴς Ἀγάθων,
πρόμος ἡμέτερος - -.-
Μν. μῶν βινεῖσθαι;
Θε. τίς ὁ φωνήσας;
Μν. νήνεμος αἰθήρ.
Θε. δρυόχους τιθέναι, δράματος ἀρχάς.
κάμπτει δὲ νέας ἁψῖδας ἐπῶν·
τὰ δὲ τορνεύει, τὰ δὲ κολλομελεῖ,
καὶ γνωμοτυπεῖ, κἀντονομάζει,
καὶ κηροχυτεῖ, καὶ γογγυλέει,

nullibi eam obviam habui. Bene Scaliger πρόμος reponebat.

52. Male hic vulgo famuli persona omissa, lineola indicata est in cod. Δρύοχοι sunt trabes erectæ, carinam sustinentes, quibus ea imponitur, quando construendæ navis exordiuntur opus naupegi. Eustathius p. 1878. in fine: δρύοχοι δὲ κυρίως, πάσσαλοι, ἐφ' ὧν στοιχηδὸν διατιθεμένων ἡ τρόπις ἵσταται τῶν καινουργουμένων πλοίων, διὰ ἰσότητα. καὶ ἄλλως δὲ εἰπεῖν, δρύοχοι, πάτταλοι ἐκ δρυὸς, ὅ ἐστιν ἁπλῶς ξύλου, καθιστῶντες τὴν τρόπιν ἐν τῷ πέριξ αὐτὴν συνέχειν· ὡς δῆλον ἐκ τοῦ:

πῶς δὲ κατὰ δρυόχων ἐπάγη σανίς; ἢ τίνι γόμφοι
τμηθέντες πελέκει, τοῦτ' ἔκαμον τὸ κύτος;

Distichon est ex Archimeli Epigr. in Hieronis navem. Quia autem a pangendis his trabeculis construendæ navis initium fiebat, facete ad dramatis exordium locutionem transfert Comicus. Suidas: δρύοχοι, πάτταλοι, οἱ ἐντιθέμενοι ναυπηγουμένης νεώς· καταχρηστικῶς δὲ τὰ προοίμια. Cujus rei in exemplum hunc locum profert. At quod ei subjicit, alio pertinet, scilicet ad eam significationem nominis δρύοχος, qua pro δρυμὸς ponitur. Est autem pars Epigr. Archiæ vii. Apollonius i. 723.

δίπλακα πορφυρέην περονήσατο, τήν οἱ ὄπασσε
Παλλὰς, ὅτε πρῶτον δρυόχους ἐπεβάλλετο νηὸς
Ἀργοῦς.

56. καὶ γογγυλέει. Male vulgo καὶ γογγυλίζει, quam verbi formam non admittit metrum anapæsticum. Hunc locum adtigit Bentleius ad Horatii A. P. 441. Sed fefellit eum conjectura, quando verbum finxit γογυλίζει, quod male tuetur exemplo φάρυγος, pro φάρυγγος: nam illud formatur ab obsoleto recto φάρυξ, estque poëtis omnibus usitatum: γογυλίζω autem et γογύλος sunt vocabula prorsus inaudita. Dixerunt antiqui γογγυλίζω et γογγυλέω. Hesychius: γογγυλεῖν, συστρέφειν. Huc respexit lexicographus; nec tamen animadvertit illius interpres ex eo comicum esse emendandum. Eodem modo variatur forma multorum verborum. Latebat apud Hesychium etiam verbum ἀολλέω carens auctoritate, quod Apollonio restitui i. 863. Homeroque plus semel reddendum esse dixi.

καὶ χοανεύει ---

Μν. καὶ λαικάζει.

Superiorem notulam cum amico quodam meo Parisino communicavi, Græcarum Musarum cultore studiosissimo, in primisque docto, a quo facetum hocce responsum accepi. *Emendatio tua anapæstici versiculi in Thesmophoriazusis haud sane inepta est: eam tamen minus necessariam judico. Et, ut verum fatear, pœnitet me operæ, quam in excutiendis scriptis et impressis tot libris, conquirendisque exemplis, conteris, ut Aristophanis versus rectis exæques pedibus. Habemus hic virum longe doctissimum, Professorem Regium, qui sibi et discipulis suis novum excogitavit prosodiæ Græcæ systema, cujus ope versuum salebræ nullo labore complanantur omnes. Legas modo recondita doctrina refertam notam in Electræ Sophocleæ v. 21. Ibi disces versiculum illum, qui tibi negotium facessivit, esse, ut aiunt, ὑγιέστερον κρότωνος, nec apicem in eo mutari debere. Nam γογγυλίζει facilem se tibi præbet, et, prout tibi libuerit, vel primam, vel penultimam corripiet, ita jubente nostro Professore. Nec tibi hoc mirum accidere ille velit. Nam qui Aristophanem trivisti, scire debes, quam sit versabilis ejus prosodia, quotque apud eum occurrant similis licentiæ exempla. Pauca quæ advocavit Vir, Cl. ista sunt. In Equit. 810. Θεμιστοκλεῖ secundam corripit. Ibid. 803. σιμφύλων primam corripit. In Nub. 346. παρδάλει primam corripit. Ib. 964. περίπτολιν antepenultimam corripit. In Av. 460. σκυτοδέψαι, et in Pl. 514. σκυτοδεψεῖν leguntur penultima brevi.*

Amico meo hæc rescripsi: "Quem mihi dicis hominem non novi, sed profecto miror illius ὁμουσίαν. In illa quam prædicas nota vix unum verbum est, quod justæ reprehensioni obnoxium non sit. Exempla quæ e tragicis aliisque poëtis nescio unde corrasit, alias excutiam. Nunc quandoquidem in Aristophane versamur, quid de versibus ex eo prolatis sentire debeas, paucis tibi declarabo. Priorem ex Equit. versum sic dimetimur:

ω πολις | Αργους | κλυιθ' οἱ | α λεγει |
συ Θεμις | τοκλει αν | τιφερι | ζεις.

Dic mihi nunc sodes, an corripitur secunda in Θεμιστοκλεῖ: nonne συ Θεμιστ— pes est anapæstus? Alter ex eadem fabula versus menda inquinatus est, quam Kusterus perite eluit, et sic in editione mea exhibetur:

και χι | δρα φαγων | αναθαρρ | ησει |
και σιμφ | υλῳ τις | λογον ελ | θοι.

Nugatur Professor tuus, quando Nubium citat v. 346. ubi quum ait παρδάλει positum esse prima correpta, næ ille ostendit se anapæsticum Aristophanium ne quidem scire scandere. En ut eum dimetiuntur, qui metra callent.

η παρ | δαλει η | λυκῳ η | ταυρῳ | νη Δι'
ε | γωγ' ει | σα τι τον | το.

In ejusdem fabulæ v. 964. quis adeo imperitus est, ut non videat περίπολιν scribendum esse, ut in mea editione legitur ad optimorum codicum fidem? σκυτοδέψαι, σκυλοδέψαι: σκυτοδεψεῖν, σκυλοδεψεῖν ab imperitis librariis et typographis sæpissime permutata fuisse nemo ignorat, nisi qui in critica plane est hospes: satis fuerat Professori tuo legisse, quæ in versum Pluti adnotavit summus Hemsterhusius, in cujus editione legitur, ut in mea, ad hunc modum:

η σκυ | τοτομειν | η πλινθ | ουργειν, η
πλυ | νειν η | σκυλοδεψ | ειν.

Avium versus ex eadem ratione sic legendus:

αναπη | δωσιν | παντες επ' | εργον | χαλ-
κης | κεραμης | σκυλοδεψ | αι.

Ignorat homo ille anapæstici metri legem, quam in tetrametris ne semel quidem violatam reperies, *ut pes ultimus, is cui syllaba catalectica subjicitur, non alius esse possit quam anapæstus.* Etiamsi concederetur vocalem ante duplicem ψ corripi posse, cujus tamen rei in tota Græca poësi non unicum exstat exemplum, dactylus σκυτοδεψ ne quidem in istis duobus versibus locum habere pos-

Θε. τίς ἀγροιώτας πελάθει θριγκοῖς;
Μν. ὃς ἕτοιμος σοῦ, τοῦ τε ποιητοῦ
τοῦ καλλιεποῦς, διὰ τοῦ θριγκοῦ
ξυγγογγυλίσας, καὶ ξυστρέψας
τουτὶ τὸ πέος χοανεῦσαι.
Θε. ἦπου νέος γ' ὢν ἦσθ' ὑβριστὴς, ὦ γέρον;
Ευ. ὦ δαιμόνιε, τοῦτον μὲν ἔα χαίρειν· σὺ δὲ
Ἀγάθωνά μοι δεῦρ' ἐκκάλεσον πάσῃ τέχνῃ.
Θε. μηδὲν ἱκέτευ'· αὐτὸς γὰρ ἔξεισιν τάχα.
καὶ γὰρ μελοποιεῖν ἄρχεται· χειμῶνος οὖν
ὄντος, κατακάμπτειν τὰς στροφὰς οὐ ῥάδιον,
ἢν μὴ προΐῃ θύραισι πρὸς τὸν ἥλιον.

set. Professori tuo meis verbis dicas velim bene illum facturum, si discipulis suis præcepta declinationum et conjugationum tradat, auctoremque me illi esse, ut de prosodia et metris ne verbum mutiat, ne si quis forte in via præteriens homo eruditus eum, quæ ipse nesciat, docentem audiat, illi versiculum illum clamet:

ΕΡΔΟΙ ΤΙΣ, ΗΝ ΕΚΑΣΤΟΣ ΑΝ ΕΙ-
ΔΕΙΗ ΤΕΧΝΗΝ.

58. *τίς ἀγροιώτας.* Perperam vulgo *ἀγριώτας* cum versus labe. Eurip. Or. 1271.

τίς δ' ἀμφὶ μέλαθρον πολεῖ
σὸν ἀγρότας ἀνήρ;

Sed eo non respexit Comicus, siquidem Orestes aliquot annis post hanc fabulam emissus fuit.

60. *διὰ τοῦ θριγκοῦ.* Præpositio *διὰ* cum versus et sensus labe vulgo omissa.

61. *ξυγγογγυλίσας.* Vulgo *γογγυλίσας*, reclamante metro. E composito simplex verbum fecit librarius. Confer notata ad Lys. 408. In ista fabula legitur idem hicce versiculus diversa verborum collocatione, 975. *ξυστρέψας καὶ ξυγγογγυλίσας.*

63. *ἦπου νέος γ' ὢν ἦσθ' ὑβριστὴς, ὦ γέρον.* Sic perspicue, distincte et optime scriptum in cod. Eandem lectionem habet Juntina, unius literæ mutatione depravatam.

ἦ που νέο ἀγὼν ἦσθ' ὑβριστὴς, ὦ γέρον. ubi *νέο 'ἀγὼν* est ex librarii imperitia, exemplar quod ob oculos habebat incuriose legentis. Correxerunt Veneti *νέος ἀγών*: postea nescio quis alius *νέος ἄγαν*, quæ Batavarum et ceterarum deinceps editionum est lectio. Et hæc etiam appellabatur recepta lectio, quam nemo sciebat unde emersisset, cuique tamen controversiam status nefas fuisset movere.

69. *θύραισι.* Cod. et Juntina *θύρασι.* Male etiam apud Suidam legitur *θύρασιν* pro *θύραισιν.* In exemplo quod profert e Pace 942. duo Regii codd. habent, *ὁ γὰρ βωμὸς θύραισι καὶ δή.* Editt. Venetæ et Batavæ minores habent *θύραζε*, quod prætulit etiam Berglerus. Est autem hoc ex Zanetti, aut docti viri, qui illius procuravit editionem, emendatione, credentis *θύραισι* adverbium esse, ut aiunt, *in loco*, et *θύραζε*, *ad locum*; hocque ex indole linguæ adhiberi debuisse cum verbo motus *προΐῃ*: quod quidem non omnino est improbabile. Verum haudquaquam constat inter *θύραισι* et *θύραζε* tantum intercedere, quantum inter latina *foris* et *foras*.

Μν. τί οὖν ἐγὼ δρῶ;
Ευ. περίμεν', ὡς ἐξέρχεται.
ὦ Ζεῦ, τί δρᾶσαι διανοεῖ με τήμερον;
Μν. νὴ τοὺς θεοὺς, ἐγὼ πυθέσθαι βούλομαι,
τί τὸ πρᾶγμα τουτί. τί στένεις; τί δυσφορεῖς;
οὐ χρῆν σε κρύπτειν, ὄντα κηδεστὴν ἐμόν.
Ευ. ἔστιν κακόν μοι μέγα τι προπεφυραμένον.
Μν. ποῖόν τι;
Ευ. τῇδε θημέρᾳ κριθήσεται,
εἴτ' ἔστ' ἔτι ζῶν, εἴτ' ἀπόλωλ' Εὐριπίδης.
Μν. καὶ πῶς; ἐπεὶ νῦν γ' οὔτε τὰ δικαστήρια
μέλλει δικάζειν, οὔτε Βουλῆς ἔσθ' ἕδρα,
ἐπεὶ τρίτη 'στὶ Θεσμοφορίων ἡ μέση.
Ευ. τοῦτ' αὐτὸ γάρ τοι κἀπολεῖν με προσδοκῶ.
αἱ γὰρ γυναῖκες ἐπιβεβουλεύκασί μοι,
κἀν Θεσμοφόροιν μέλλουσι περί μου τήμερον
ἐκκλησιάζειν ἐπ' ὀλέθρῳ.
Μν. τιὴ τί δή;
Ευ. ὁτιὴ τραγῳδῶ, καὶ κακῶς αὐτὰς λέγω.

θύρασι adverbii vice ponitur; sed est revera dativus pluralis cum ellipsi præpositionis ἐπί. Plena locutio occurrit Conc. 997.

ἀλλ' ἄπιθ', ὅπως μή σ' ἐπὶ θύραισιν ὄψεται.

Jam vero notum est præpositionem ἐπὶ cum tribus casibus promiscue construi etiam cum verbis motus. Quod ad secundum attinet, vide quæ notavi ad Æsch. Prom. 663. et Apollon. iv. 580. Tertii exemplum e multis selectum proferam ex Homero 'Ιλ. β'.

βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσιν.

ad quem locum sic Eustathius p. 179. τὸ δὲ ἐπ' ἄνθεσιν εἰαρινοῖς, ἀντὶ τοῦ ἐπ' ἄνθη εἰαρινὰ, ὅμοιον τῷ ἦλθεν ἐπὶ Κρήτεσσιν, ἀντὶ τοῦ ἐπὶ τοὺς Κρῆτας. Hæc sufficere possint ad tuendam veterem lectionem.

74. οὐ χρῆν. Kusterus vertit *non oportebat*: minus bene. Est quidem imperfectum χρῆν, sed de præsenti tempore perinde ac χρὴ a poëtis Atticis solet usurpari. Thomas: χρῆν καὶ ἀντὶ τοῦ ἔπρεπε, καὶ ἀντὶ τοῦ πρέπει.—Κηδεστὴς eum notat, qui affinitate cum alio junctus est, et tam de *socero*, quam de *genero* dicitur, ut apud Latinos *affinis*. Vide Plautum Aulul. iii. 4. 14. et 5. 62.

74. κρύπτειν cum duplici accusativo construi personæ et rei, observatum fuit ad Æschyli Prom. 630. Hic subaudiendum est με. οὐ χρῆν σε ὄντα κηδεστὴν ἐμὸν κρύπτειν με. Sed Poëtam scripsisse suspicor:

οὐ χρῆν σε κρύπτειν ὄντα κηδεστὴν ἐμέ.

Sophocles El. 957. οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι. Confer Lys. 714.

Μν. νὴ τὸν Ποσειδῶ καὶ Δία, δίκαι' ἂν πάθοις.
ἀτὰρ τίν' ἐκ τούτων σὺ μηχανὴν ἔχεις;
Ευ. Ἀγάθωνα πεῖσαι τὸν τραγῳδοδιδάσκαλον
ἐς Θεσμοφόροιν ἐλθεῖν.
Μν. τί δράσοντ'; εἰπ' ἐμοί.
Ευ. ἐκκλησιάσοντ' ἐν ταῖς γυναιξὶ, χ' ἃ 'ν δέῃ
λέξονθ' ὑπὲρ ἐμοῦ.
Μν. πότερα φανερὸν, ἢ λάθρα;
Ευ. λάθρα, στολὴν γυναικὸς ἠμφιεσμένον.
Μν. τὸ πρᾶγμα κομψὸν, καὶ σφόδρ' ἐκ τοῦ σοῦ τρόπου.
τοῦ γὰρ τεχνάζειν ἡμέτερος ὁ πυραμοῦς.
Ευ. σίγα.
Μν. τί δ' ἔστιν;
Ευ. ὡ'γάθων ἐξέρχεται.
Μν. καὶ ποῖος ἐστὶν οὗτος;
Ευ. οὐκκυκλούμενος.

80. ἐπεὶ τρίτη 'στὶ Θεσμοφορίων ἡ μέση. Nihil unquam clarius fuit dictum. Dies, quo hæc agi fingit poëta, Thesmophoriorum est tertius idemque medius: ergo per quinque dies Thesmophoria celebrabantur. Cui de numero dierum, quibus festum hoc peragebatur, magis credas, Aristophani, qui Athenis vixit, anne Hesychio, qui diu post exstinctam Atheniensium Rempublicam glossas suas e variis lexicis et Grammaticorum scriptis congessit? Vide eum in τρίτη Θεσμοφορίων et præter Meursium, Wesselingium ad Petiti Leges Atticas.

86. νὴ τὸν Ποσειδῶ καὶ Δία, δίκαι' ἂν πάθοις. Sic optime codex. Edit. vett. omnes habent νὴ τὸν Ποσειδῶ καὶ δίκαι' ἂν πάθοις, omisso nomine Δία, quod absorpsit sequens syllaba. Vulgata lectio in recentioribus editt. νὴ τὸν Ποσειδῶ καὶ δίκαιά γ' ἂν πάθοις ex emendatione Scaligeri est.

87. τίν' ἐκ τούτων. Sic omnino legendum, emendante Berglero. Absurde vulgo τίν' ἐκ ταύτης.

89. ἐς Θεσμοφόροιν, ut supra 83. κἀν Θεσμοφόροιν. Sic veteres editt. Minus emendate in cod. ἐν Θεσμοφόροιν. Editt. recentiores ἐς Θεσμοφόρι'. Vide notam ad Lys. 407.

90. ἐν ταῖς γυναιξὶ, χ' ἃ 'ν δέῃ. Vulgo γυναιξὶν, κἂν δέῃ. Cod. non variat, nisi quod ν omittit ἐφελκυστικόν. Flagitante sensu χ' ἃ 'ν reposui pro κἄν. Vide ad Lys. 1056. καὶ ἃ ἂν δέῃ λέξονθ' ὑπὲρ ἐμοῦ: non καὶ ἂν, quod dubitantis est, et a sententia alienum.

94. In Equit. v. 277.

ἢν δ' ἀναιδείᾳ παρέλθῃς, ἡμέτερος ὁ πυραμοῦς.

ubi proverbialis locutionis ratio redditur.

95. ὡ'γάθων ἐξέρχεται. Vulgo labante metro Ἀγάθων. V. ad v. 30.

96. οὐκκυκλούμενος. Infra 265. Agatho postquam Euripidi et socero apparatum omnem, quo illis usus erat, concessit, domum se inferri jubet his verbis:

Μν. ἀλλ' ἢ τυφλὸς μέν εἰμ'· ἐγὼ γὰρ οὐχ ὁρῶ
ἄνδρ' οὐδέν' ἐνθάδ' ὄντα· Κυρήνην δ' ὁρῶ.
Ευ. σίγα· μελῳδεῖν αὖ παρασκευάζεται.
Μν. μύρμηκος ἀτραπούς, ἢ τί διαμινύρεται;
Αγ. ἱερὰν χθονίαις δεξάμεναι
λαμπάδα κοῦραι ξὺν ἐλευθέρᾳ
πατρίδι χορεύσασθαι βοάν.
Χο. τίνι δαιμόνων ὁ κῶμος; λέγε νῦν.

εἴσω τις ὡς τάχιστά μ' εἰσκυκλησάτω. Quem versum absurde vulgo Mnesilocho tribuunt et ridiculum in modum interpretatur Kusterus. In Acharn. Dicæopolis Euripidem convenit, pannos mendicique tragicum ornatum ab eo mutuaturus, eumque rogat, ut foras prodeat, his verbis: ἀλλ' ἐκκυκλήθητ'. Respondet Euripides v. 409.

ἀλλ' ἐκκυκλήσομαι· καταβαίνειν δ' οὐ σχολή.

Scilicet erat ἐκκύκλημα machina theatralis in tragœdiarum repræsentatione adhiberi solita, de qua sic Pollux iv. 128. καὶ τὸ μὲν ἐκκύκλημά ἐστι ξύλων ὑψηλῶν βάθρον, ᾧ ἐπίκειται θρόνος. δείκνυσι δὲ καὶ τὰ ὑπὸ τὴν σκηνὴν ἐν ταῖς οἰκίαις ἀπόῤῥητα πραχθέντα. καὶ τὸ ῥῆμα τοῦ ἔργου καλεῖται ΕΚΚΥΚΛΕΙΝ, ὅτε δὲ εἰσάγεται τὸ ἐκκύκλημα. ΕΙΣΚΥΚΛΕΙΝ ὀνομάζεται. καὶ χρὴ τοῦτο νοεῖσθαι καθ' ἑκάστην θύραν, οἱονεὶ καθ' ἑκάστην οἰκίαν. ἡ μηχανὴ δὲ θεοὺς δείκνυσι, καὶ ἥρωας τοὺς ἐν ἀέρι, Βελλεροφόντας καὶ Περσεῖς, καὶ κεῖται κατὰ τὴν ἀριστερὰν πάροδον ὑπὲρ τὴν σκηνὴν τὸ ὕψος. Sic legenda Pollucis verba, quæ vulgo mendose feruntur: nec mirum, si ex istis, ἐφ' οὗ δὲ εἰσάγεται τὸ ἐγκύκλημα, εἰσκύκλημα ὀνομάζεται, nibil extundere potuerunt interpretes. Machinæ unum erat nomen ἐκκύκλημα: sed pro diverso illius usu, quo intus in scenam, vel e scena intro vehebatur persona quælibet, duplex erat verbum ἐκκυκλεῖν, εἰσκυκλεῖν, quæ ut apud Comicum distincta, sic Onomastico fuerunt enotata. Facete noster Agathonem tragicum poëtam, itemque in Acharn. Euripidem, non pedibus in scenæ solo gradientes inducit, sed, tanquam deos aut heroas, sublimes in machina tragica vectos. Nihil hic viderunt interpretes, qui ἐκκυκλεῖσθαι non sua propria significatione accipi voluerunt, sed absolute pro *apparere, prodire*, idque *cum insolita specie*; quum revera significet *sublimem in machina inferri*. In fabulæ repræsentatione sic ostendebatur Agatho; eodemque modo in Acharnens. Euripides. Quapropter postquam eum evocavit Dicæopolis, ex interiore ædium, nondum a spectatoribus conspectus, respondet: *Evehar quidem in machina sublimis; sed descendere non vacat.*

98. Κυρήνην δ' ὁρῶ. Nobile scortum Cyrene, de qua vide ad Ran. 1328.

100. ἢ τί διαμινύρεται; Sic tam ad metri quam ad linguæ rationem recte emendavit Dawesius vulgatam lectionem διαμινυρίζεται.

103. χορεύσασθαι βοάν, *saltando clamorem tollere*. Dithyrambica locutio, quales aliæ nonnullæ in hoc cantico, data opera a Comico conquisitæ in Agathonis μελοποιΐας irrisionem. Hoc non animadvertit Kusterus, alioquin ei non venisset in mentem ξὺν ἐλευθέρᾳ πατρίᾳ χορεύσασθαι βοᾷ, quod utique insulsum est.

104. Agathonem comitantur actores tragici Chori, quem ille erudiebat, proximisque ludis populo exhibiturus erat. Non est hic Chorus fabulæ, qui e mu-

εὐπίστως δὲ τοὐμὸν
δαίμονας ἔχει σεβίσαι.
Αγ. ἄγε νῦν ὄπλιζε, Μοῦσα,
χρυσέων ῥύτορα τόξων
Φοῖβον, ὃς ἱδρύσατο χώρας
γύαλα Σιμουντίδι γᾷ.
Χο. χαῖρε καλλίσταις ἀοιδαῖς,
Φοῖβ', ἐν εὐμούσοισι τιμαῖς
γέρας ἱερὸν προφέρων.
Αγ. τάν τ' ἐν ὄρεσι δρυογόνοι-
σι κόραν ἀείσατ' Ἄρ-
τεμιν ἀγροτέραν.
Χο. ἕπομαι κλῄζουσα σεμνὸν
γόνον ὀλβίζουσα Λατοῦς,
Ἄρτεμιν ἀπειρολεχῆ.
Αγ. Λατώ τε, κρούματά τ' Ἀσιάδος
ποδὶ παράρυθμ' εὔρυθμα Φρυγίων
διανεύματα Χαρίτων.
Χο. σέβομαι Λατώ τ' ἄνασσαν,
κίθαρίν τε ματέρ' ὕμνων,
ἄρσενι βοᾷ δοκίμῳ·

lieribus constat Cereris et Proserpinæ festum celebrantibus.

106. δαίμονας ἔχει σεβίσαι. Sic recte Suidas in σεβαστὸς et in σεβίσαι, quod animadvertit Toupius iii. 120. Jam ante eum e sola sententia viderat Reiskius vulgatum ἔχεις mendosum esse, et ἔχει reponendum.

107. ὅπλιζε Φοῖβον. Dithyrambica rursus locutio: id est ἑτοίμαζε ὕμνον εἰς Φοῖβον.

117. κλῄζουσα. Sic bene scriptum in cod. Vulgo κληΐζουσα.

120. Ἀσιάδος, id est, *citharæ*. Etymol. M. p. 153. l. 31. Ἀσιάδος κρούματα, τῆς κιθάρας. οὕτως Ἀριστοφάνης εἶπε, παρῳδῶν τὸ ἐξ Ἐρεχθέως Εὐριπίδου. ἡ τρίχορδος κιθάρα οὕτω καλεῖται. εἴρηται δὲ, ὅτι ἐν Ἀσίᾳ τῇ πόλει τῆς Λυδίας κειμένῃ ἐν Τμώλῳ πρῶτον εὑρέθη. Nescio an unquam urbs exstiterit, cui nomen Ἀσία, quam tamen recenset etiam Stephanus. Hujus non meminit Schol. Apollonii ad ii. 777. Ἀσίαν δὲ ἐνταῦθα τὴν Λυδίαν φησίν. οὕτω γὰρ ἡ Λυδία πρότερον ἐκαλεῖτο. διὸ καὶ ἡ κιθάρα Ἀσιὰς ἐκλήθη, διὰ τὸ ἐν τῇ Λυδίᾳ πρῶτον εὑρεθῆναι· καὶ Ὅμηρος (Ἰλ. β'. 461.) Ἀσίῳ ἐν λειμῶνι. Explicationem hanc erudite executus est Kusterus.

122. διανεύματα. Forte legendum δινεύματα.

τᾷ φῶς ἔσσυτο δαιμονίοις ὄμμασιν
ἡμετέρας τε δι' αἰφνιδίου ὀπός·
ὧν χάριν ἄνακτ' ἄγαλλε Φοῖβον τιμᾷ.
χαῖρ' ὄλβιε παῖ Λατοῦς.

Μν. ὡς ἡδὺ τὸ μέλος, ὦ πότνιαι Γενετυλλίδες,
καὶ θηλυδριῶδες, καὶ κατεγλωττισμένον,
καὶ μανδαλωτόν· ὥστ' ἐμοῦ γ' ἀκροωμένου
ὑπὸ τὴν ἕδραν αὐτὴν ὑπῆλθε γάργαλος.
καί σ', ὦ νεανίσχ', ὅστις εἶ, κατ' Αἰσχύλον
ἐκ τῆς Λυκουργίας, ἔρεσθαι βούλομαι.
ποδαπὸς ὁ γύννις; τίς πάτρα; τίς ἡ στολή;
τίς ἡ τάραξις τοῦ βίου; τί βάρβιτος
μέλει κροκωτῷ; τί δὲ λύρα κεκρυφάλῳ;
τί λήκυθος καὶ στρόφιον; ὡς οὐ ξύμφορον.

Emendationem hanc adstruunt Doctorum Virorum observata ad Hesychii glossam: διανεύει, στρέφει, κυκλεῖ.

128. ὧν χάριν ἄνακτ' ἄγαλλε Φοῖβον τιμᾷ. Si nullum hujus fabulæ nactus fuissem codicem, non aliter versiculum hunc edidissem, facileque mihi se probasset eadem ista lectio a Scaligero enotata, sive illam e veteri libro excerpserit, sive conjectura adsecutus fuerit vir longe doctissimus. Ignorabat sane Kusterus *quid distent æra lupinis*, quando posthabita optima illa lectione, futilem Biseti conjecturam amplexus est. Quam scripturam repræsentavi, eandem plane et perspicue exhibet August. cod. In Juntina excusum ὧν χάριν ἄνακτ' ἄλλε Φοῖβον τιμᾷ, omissa syllaba ΑΓ, nescio an librarii qui codicem Urbinatem descripsit, anne typothetæ culpa. Correctores exercuit, sed frustra, hæc menda. Pro ἄλλε Zanettus edidit ἀλλὰ, servato τιμᾷ cum ι subscripto. Posterior Veneta ad prioris exemplum excusa habet ἀλλὰ etiam et τιμᾶ sed sine ι subscripto, quod typographicum vitium Berglero suspicionem injecit legendum esse τίμα in imperativo, quod etiamsi admitteretur, remaneret tamen vox absurda ἀλλά. Hanc Bisetus in ἄλλος mutavit, significante, ut ipse jussit, πᾶς τις: hocque Kusterus secutus est, vertens: *quorum gratia regem quilibet Phœbum honorat.*

129. Post hunc versum παρεπιγραφὴ vel ad marginem, vel inter versus scripta, ὀλολύζει ὁ γέρων, ab alio librario in contextum illata fuit, tanquam si esset versus fabulæ, depravata insuper scriptura, ὀλολύζεις γέρων. Eam, tanquam inutilem, prorsus omisi, ut aliam in Lys. v. 304.

134. ὅστις εἶ. Male in Juntina aliisque quibusdam εἴ τις εἶ, quod est etiam in codice nostro. Zanettus ὅστις bene emendavit. Primum in Frobeniana excusum fuit ἥτις, quod ceteræ deinceps licet pravum retinuerunt.

137, 8. τί βάρβιτος μέλει κροκωτῷ; Vulgo λαλεῖ, satis insulse. Præstantissimi Valckenarii emendationem recepi, quem vide ad Eurip. Hippol. p. 187. Exemplis ibi prolatis adde Nostrum Eq. 1022.

τίς δαὶ κατόπτρου καὶ ξίφους κοινωνία;
τίς δ' αὐτὸς, ὦ παῖ; πότερον ὡς ἀνὴρ τρέφει;
καὶ ποῦ πέος; ποῦ χλαῖνα; ποῦ Λακωνικαί;
ἀλλ' ὡς γυνὴ δῆτ'; εἶτα ποῦ τὰ τιτθία;
τί φῄς; τί σιγᾷς; ἀλλὰ δῆτ' ἐκ τοῦ μέλους
ζητῶ σ', ἐπειδή γ' αὐτὸς οὐ βούλει φράσαι.
Αγ. ὦ πρέσβυ, πρέσβυ, τοῦ φθόνου μὲν τὸν ψόγον
ἤκουσα, τὴν δ' ἄλγησιν οὐ παρεσχόμην.
ἐγὼ δὲ τὴν ἐσθῆθ' ἅμα γνώμῃ φορῶ.
χρὴ τὸν ποιητὴν ἄνδρα πρὸς τὰ δράματα,
ἃ δεῖ ποιεῖν, πρὸς ταῦτα τοὺς τρόπους ἔχειν.
αὐτίκα γυναικεῖ' ἢν ποιῇ τις δράματα,
μετουσίαν δεῖ τῶν τρόπων τὸ σῶμ' ἔχειν.
Μν. οὐκοῦν κελητίζεις, ὅταν Φαίδραν ποιῇς.
Αγ. ἀνδρεῖα δ' ἂν ποιῇ τις, ἐν τῷ σώματι
ἔνεσθ' ὑπάρχον τοῦθ'· ἃ δ' οὐ κεκτήμεθα,
μίμησις ἤδη ταῦτα συνθηρεύεται.
Μν. ὅταν Σατύρους τοίνυν ποιῇς, καλεῖν ἐμὲ,
ἵνα συμποιῶ σοὔπισθεν ἐστυκὼς ἐγώ.
Αγ. ἄλλως τ' ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν
ἀγρεῖον ὄντα καὶ δασύν. σκέψαι δ' ὅτι
Ἴβυκος ἐκεῖνος, κἀνακρέων ὁ Τήϊος,
κἀλκαῖος, οἵπερ ἁρμονίαν ἐχύμισαν,

τί γὰρ ἔστ' Ἐρεχθεῖ, καὶ κολοιοῖς, καὶ κυνί;
et Epicharmum apud Stobæum in Floril. Grotii p. 365.
τίς γὰρ κατόπτρῳ καὶ τυφλῷ κοινωνία;

142. Λακωνικαί. ἀνδρεῖα ὑποδήματα. Suidas e Comici Scholiaste ad Vesp. 1159.

147. τὴν δ' ἄλγησιν οὐ παρεσχόμην. ἀντὶ τοῦ οὐκ ἐλυπήθην. Suidas in ἄλγησις.

153. κελητίζεις. Vide ad Lys. 60.

158. σοὔπισθεν (in Aug. scriptum σοῦ-πισθεν) esse possit pro σοι ὄπισθεν, ut sæpe μοὔστιν pro μοι ἐστὶν scriptum reperitur: μοὔχρησεν pro μοι ἔχρησεν, μοὔδοξε pro μοι ἔδοξε, μοὐγκώμιον pro μοι ἐγκώμιον, de qua scriptura non ubivis probanda alibi agam. Hic subauditur σοι cum verbo συμποιῶ, et σοὔπισθεν est pro σοῦ ὄπισθεν, quod Reiskio etiam placuisse video. Male hucusque excusum fuit σ' οὔπισθεν. ἑστηκὼς pro ἐστυκὼς est in Scaligeri excerptis. Manifesta est causa, cur sæpe commutari debuerint.

161, 2. κἀνακρέων—κἀλκαῖος, pro καὶ Ἀνακρέων et καὶ Ἀλκαῖος.

ἐμιτροφόρουν τε, καὶ διεκλῶντ' Ἰωνικῶς·
καὶ Φρύνιχος, τοῦτον γὰρ οὖν ἀκήκοας,
αὐτός τε καλὸς ἦν, καὶ καλῶς ἠμπέσχετο.
διὰ τοῦτ' ἄρ' αὐτοῦ καὶ κάλ' ἦν τὰ δράματα.
ὅμοια γὰρ ποιεῖν ἀνάγκη τῇ φύσει.
Μν. ταῦτ' ἄρ' ὁ Φιλοκλῆς αἰσχρὸς ὢν αἰσχρῶς ποιεῖ·
ὁ δὲ Ξενοκλέης ὢν κακὸς κακῶς ποιεῖ.
ὁ δ' αὖ Θέογνις ψυχρὸς ὢν ψυχρῶς ποιεῖ.
Αγ. ἅπασ' ἀνάγκη. ταῦτα γάρ τοι γνοὺς ἐγὼ

163. ἐμιτροφόρουν τε, καὶ διεκλῶντ' Ἰωνικῶς. Egregia emendatio, quæ sagacitati Jo. Toupii debetur, adeundi ad Suidam i. 128. et Epist. Crit. p. 169. Adtigerat hunc locum etiam Orvillius ad Charit. p. 560. cujus conjecturæ ideo tantum memini, ut ex ambarum comparatione æstimetur quantum *vir viro præstet*. Vulgata lectione nihil est mendosius: ἐμιτροφόρουν τε καὶ διεκίνουν Ἰωνικῶς. In Aug. διεκίνων.

169. ὁ δὲ Ξενοκλέης. Sic ad prosodiæ et metri canonas legendum. In cod. ὁ δὲ Ξενοκλῆς, vacuo inter duas voces spatio, et ad marginem reposito δ' αὖ. Sed scripserat Comicus ὁ δέ. In nomine Ξενοκλῆς secunda non magis produci debet, quam in Φιλοκλῆς superioris v. Sæpius in ista nominum forma peccatum, quod partim e codd. auctoritate, partim e metri legibus, partim ex analogia ad evidentiam usque demonstratur. Infra 440. ubi recte edidi,

ὥστ' ἄν εἰ λέγοι παρ' αὐτὴν Ξενοκλέης ὁ Καρκίνου.

vulgo legitur Ξενοκλῆς reclamante metro: nam nec pyrrichium nec iambum recipit quinta sedes octonarii trochaici, sed bene tribrachyn. Ran. 86. ubi edidi,

ὁ δὲ Ξενοκλέης;—Ἐξόλοιτο, νὴ Δία.

male vulgo legitur Ξενοκλῆς, quum tamen v. 787. veteres etiam impressi legitimam formam ostendant,

οὐ γὰρ Σοφοκλέης ἀντιλάβοιτο τοῦ θρόνου;

non vero Σοφοκλῆς. Male vulgo Av. 1295. legitur

Κορυδὸς Φιλοκλεῖ· Χηναλώπηξ Θεογένει.

ubi e membr. edidimus Φιλοκλέει, et ex analogia similium locorum Ἡρακλέει v. 567. ubi male vulgo legitur Ἡρακλεῖ. In eadem fabula prout vulgo fertur v. 281. in Φιλοκλέους antepenultima producitur contra artem et constantem Comici usum. Tetrameter est trochaicus

αλλα | χ' οὗτος | ἕτερος | οὗτος | εστι | μεν Φι | λοκλε | ους.

Quis neget corruptam esse lectionem? Reposuimus

αλλα | χ' οὗτος | ἕτερος | αλλ' εσ | τιν μεν | οὗτος | Φιλοκλε | ους.

Jam scire vellem an manifestas illas corruptelas, centenasque aliquot ejusdem generis, quibus inquinatus erat Comicus, in exemplum traxisset Piersonus contra Dawesii canonem de potestate liquidarum post tenues et aspiratas. Quod de eo dixit ad Mœrim p. 20. refellit Th. Burgess. Sed multo magis confutari dignum erat effatum p. 31. cujus temeritatem ostendam ad Pl. 166.

170. Theognis poëta tragicus valde frigidus, quem facete perstringit Comicus Acharn. 140. Scholiastes ad ejusd. dramatis v. 11. cum unum e xxx. Tyrannis fuisse ait, inter quos recensetur a Xenophonte Hellen. p. 70. edit. Lips.

ἐμαυτὸν ἐθεράπευσα.
Μν. πῶς, πρὸς τῶν θεῶν;
Ευ. παῦσαι βαΰζων· καὶ γὰρ ἐγὼ τοιοῦτος ἦν,
ὢν τηλικοῦτος, ἡνίκ' ἠρχόμην ποιεῖν.
Μν. μὰ τὸν Δί', οὐ ζηλῶ σε τῆς παιδεύσεως.
Ευ. ἀλλ' ὧνπερ οὕνεκ' ἦλθον, ἔα μ' εἰπεῖν.
Μν. λέγε.
Ευ. Ἀγάθων, σοφοῦ πρὸς ἀνδρὸς, ὅστις ἐν βραχεῖ
πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους.
ἐγὼ δὲ καινῇ ξυμφορᾷ πεπληγμένος
ἱκέτης ἀφῖγμαι πρὸς σέ.
Αγ. τοῦ χρείαν ἔχων;
Ευ. μέλλουσί μ' αἱ γυναῖκες ἀπολεῖν τήμερον
τοῖς Θεσμοφορίοις, ὅτι κακῶς αὐτὰς λέγω.
Αγ. τίς οὖν παρ' ἡμῶν ἐστιν ὠφέλειά σοι;
Ευ. ἡ πᾶσ'· ἐὰν γὰρ ἐγκαθεζόμενος λάθρα
ἐν ταῖς γυναιξὶν, ὡς δοκεῖν εἶναι γυνὴ,
ὑπεραποκρίνῃ μοῦ σαφῶς, σώσεις ἐμέ.
μόνος γὰρ ἂν λέξειας ἀξίως ἐμοῦ.
Αγ. ἔπειτα πῶς οὐκ αὐτὸς ἀπολογεῖ παρών;
Ευ. ἐγὼ φράσω σοι. πρῶτα μὲν γιγνώσκομαι.
ἔπειτα πολιός εἰμι, καὶ πώγων' ἔχω·
σὺ δ' εὐπρόσωπος, λευκὸς, ἐξυρημένος,
γυναικόφωνος, ἁπαλὸς, εὐπρεπὴς ἰδεῖν.
Αγ. Εὐριπίδη---
Ευ. τί ἐστιν;
Αγ. ἐποίησάς ποτε;

173. *παῦσαι βαΰζων.* Male hæc Agathoni vulgo tribui vidit Kusterus, qui personas in versione melius ad sensum distinxit, quam in Græcis: nec tamen earum perversionem ubique perspexit.

177. Parœdia est Euripidis versuum in Æolo:

παῖδες, σοφοῦ πρὸς ἀνδρὸς, ὅστις ἐν βραχεῖ
πολλοὺς λόγους οἷός τε συντέμνειν καλῶς.

Facetum est Euripidem hic induci suismet ipsius verbis loquentem.

179. *καινῇ ξυμφορᾷ.* Cod. et vett. editt. omnes *κοινῇ*, male. Illud jam repositum fuit in Batavis minoribus.

194. Versus est ex Alcestide 702.

ΧΑΙΡΕΙΣ ΟΡΩΝ ΦΩΣ. ΠΑΤΕΡΑ Δ' ΟΥ
ΧΑΙΡΕΙΝ ΔΟΚΕΙΣ;

Ευ. ἔγωγε.
Αγ. μή νυν ἐλπίσῃς τὸ σὸν κακὸν
ἡμᾶς ὑφέξειν· καὶ γὰρ ἂν μαινοίμεθ' ἄν·
ἀλλ' αὐτὸς, ὅ γε σόν ἐστιν, οἰκείως φέρε.
τὰς ξυμφορὰς γὰρ οὐχὶ τοῖς τεχνάσμασι
φέρειν δίκαιον, ἀλλὰ τοῖς παθήμασι.
Μν. καὶ μὴν σύ γ', ὦ καταπῦγον, εὐρύπρωκτος εἶ,
οὐ τοῖς λόγοισιν, ἀλλὰ τοῖς παθήμασιν.
Ευ. τί δ' ἔστιν, ὅ τι δέδοικας ἐλθεῖν αὐτόσε;
Αγ. κάκιον ἀπολοίμην ἂν, ἢ σύ.
Ευ. πῶς;
Αγ. ὅπως;
δοκῶν γυναικῶν ἔργα νυκτερείσια
κλέπτειν, ὑφαρπάζειν τε θήλειαν Κύπριν.
Μν. ἰδού γε κλέπτειν· νὴ Δία βινεῖσθαι μὲν οὖν.
ἀτὰρ ἡ πρόφασίς γε, νὴ Δί', εἰκότως ἔχει.
Ευ. τί οὖν; ποιήσεις ταῦτα;
Αγ. μὴ δόκει γε σύ.

196. *καὶ γὰρ ἂν μαινοίμεθ' ἄν.* Nihil frequentius apud poëtas Atticos geminatione particulæ *ἄν*. Sic Lys. 191. *τίς ἂν οὖν γένοιτ' ἂν ὅρκος;* 361. *φωνὴν ἂν οὐκ ἂν εἶχον.* Exemplorum *ὅσα κόνις*, quod jam observavi ad Eurip. Or. 381. Hic bis a poëta posita semel exciderat cum versus labe. In cod. vacuum deficientis syllabæ relictum spatium, sic: *καὶ γὰρ μαινοίμεθ' ἄν.* Kusteri emendatio *καὶ γὰρ ἂν μαινοίμεθα* geminatæ particulæ elegantia caret, et hiatum inducit similium vocalium in fine hujus versus et sequentis initio, quo, quantum fieri licuit, abstinuerunt poëtæ. Quod reposui, placuit etiam Kœnio ad Corinthum p. 18.

198. *οὐχὶ τοῖς τεχνάσμασι.* Sic recte apud Suidam legitur in *τεχνάσμασιν.* Quam Comico lectionem restituit et erudite adstruxit Kusterus, eandem habet cod. leviter depravatam *τεχνάμασιν.* Juntina editio, et quæ eam sequuntur, Basileenses, genuinæ vocis vestigium servant in *στενάσμασιν.* Quod quia græcum non est, Comico bene consultum fore credidit Zanettus, si emendaret *στενάγμασιν*, quod inde in alias editt. migravit, bonum quidem, si formam vocis spectes, si sensum, plane absurdum. Hoc tamen licet cassum et auctoritate carens, ne Kustero aliquid boni debere videretur, revocavit Berglerus.

201. *λόγοισιν* respondet Agathonis *τεχνάσμασι*: et quod ille *παθήμασι* dixerat, aliorsum senex accipiens, Agathoni impudicitiam exprobrat.

Ευ. ὦ τρισκακοδαίμων, ὡς ἀπόλωλ' Εὐριπίδης.
Μν. ὦ φίλτατ' ὦ κηδεστὰ, μὴ σαυτὸν προδῷς.
Ευ. πῶς οὖν ποιήσω δῆτα;
Μν. τοῦτον μὲν μακρὰ
κλάειν κέλευ'· ἐμοὶ δ' ὅ τι βούλει χρῶ λαβών.
Ευ. ἄγε νυν, ἐπειδὴ σαυτὸν ἐπιδίδως ἐμοὶ,
ἀπόδυθι τουτὶ θοἰμάτιον.
Μν. καὶ δὴ χαμαί.
ἀτὰρ τί μέλλεις δρᾶν μ';
Ευ. ἀποξυρεῖν ταδί·
τὰ κάτω δ' ἀφεύειν.
Μν. ἀλλὰ πράττ', εἴ σοι δοκεῖ.
ἢ μὴ 'πιδοῦναι 'μαυτὸν ὤφελόν ποτε.
Ευ. Ἀγάθων, σὺ μέντοι ξυροφορεῖς ἑκάστοτε,
χρῆσόν γε νῦν ἡμῖν ξυρόν.
Αγ. αὐτὸς λάμβανε
ἐντεῦθεν ἐκ τῆς ξυροδόκης.
Ευ. γενναῖος εἶ.
κάθιζε· φύσα τὴν γνάθον τὴν δεξιάν.
Μν. ὤ μοι.
Ευ. τί κέκραγας; ἐμβαλῶ σοι πάτταλον,

209. ὦ τρισκακοδαίμων. Sic cod. ut et in Juntina excudi debuisse accentus indicare videtur τρισκακοδαίμον.

215. Mos erat veteribus barbam novacula radere; pudendorum autem pilos admota flamma amburere. In Conc. Praxagora lampadem adloquens sic ait:
μόνος δὲ μηρῶν εἰς ἀποῤῥήτους μυχοὺς
λάμπεις, ἀφεύων τὴν ἐπανθοῦσαν τρίχα.

217. Prior edit. habet ἢ μὴ διδόναι γ' ἐμαυτὸν ὤφελόν ποτε. Vulgo labante versu διδόναι γ' αὐτόν. Sic quidem cod. et Juntina. In Venetis omisso etiam αὐτὸν, ἢ μὴ διδόναι γ' ὤφελόν ποτε. Quod dedi est e Scaligeri emendatione, cujus nomen suppressit Kusterus. Ut σαυτὸν est v. 213. ita hic esse debet ἐμαυτόν. Sed, ut recte observavit Dawesius, sermonis proprietas verbum etiam compositum ἐπιδίδωμι requirit, quod illic habetur, et infra v. 249.
Ἀγάθων, ἐπειδὴ σαυτὸν ἐπιδοῦναι φθονεῖς.
Rescribendum igitur, ut in isto versu:
ἢ μὴ 'πιδοῦναι 'μαυτὸν ὤφελόν ποτε.
In ἐπιδοῦναι diphthongus elidi non debet, sed ε sequentis vocis. Sic in Nub. edidi v. 7. κολάσαι 'ξεστί μοι. et v. 42. γῆμαι 'πῆρε, et v. 1357. εἶναι 'φασκε, pro vulgatis κολάσ' ἔξεστί μοι, et γῆμ' ἐπῆρε, et εἶν' ἔφασκε. Legitimam scripturam impressi repræsentant in Av. 976. καὶ σπλάγχνα διδόναι 'νεστι, quæ in duobus codd. depravata est διδόν' ἔνεστι.

220. ἐκ τῆς ξυροδόκης. Male apud Pollucem x. 140. ξυροδόχης. Vide Eustathium ad Homerum p. 130. extrema.

ἢν μὴ σιωπᾷς.
Μν. ἀτταταῖ, ἀτατταταῖ.
Ευ. οὗτος σὺ, ποῖ θεῖς;
Μν. εἰς τὸ τῶν Σεμνῶν θεῶν.
οὐ γὰρ, μὰ τὴν Δήμητρά γ', ἐνταυθοῖ μενῶ
τεμνόμενος.
Ευ. οὔκουν καταγέλαστος δῆτ' ἔσει,
τὴν ἡμίκραιραν τὴν ἑτέραν ψιλὴν ἔχων;
Μν. ὀλίγον μέλει μοι.
Ευ. μηδαμῶς, πρὸς τῶν θεῶν,
προδῷς με. χώρει δεῦρο.
Μν. κακοδαίμων ἐγώ.
Ευ. ἔχ' ἀτρέμα σαυτὸν, κἀνάκυπτε. ποῖ στρέφει;
Μν. μῦ, μῦ.
Ευ. τί μύζεις; πάντα πεποίηται καλῶς.
Μν. οἴ μοι κακοδαίμων, ψιλὸς αὖ στρατεύσομαι.
Ευ. μὴ φροντίσῃς· ὡς εὐπρεπὴς φανεῖ πάνυ.
βούλει θεάσασθαι σαυτόν;
Μν. εἰ δοκεῖ, φέρε.

224. Atheniensibus Σεμναὶ θεαὶ dicebantur Erinnyes, quibus eo nomine templum erat juxta Areopagum, quo supplices, quemadmodum ad alia quoque templa, confugiebant. Vide Equit. 1312. et Meursium Ath. Att. iv. 1.

227. τὴν ἡμίκραιραν τὴν ἑτέραν ψιλὴν ἔχων, *altera tantum maxilla rasa.* Hesych. ἡμίκραιρα, ἡμικεφάλαιον. σιαγόνος τὸ ἥμισυ. Sed depravata est apud Lexicogr. scriptura. Vel enim ἡμίκρανον legendum, vel ἡμίκραιρα, ut habent Pollucis codd. vi. 160. ubi vulgatum etiam ἡμίκρανα.

231. τί μύζεις; πάντα πεποίηται καλῶς. Sunt ista omnia Euripidi tributa in cod. recte. Distinctionem hanc Zanettus e manifesto loci sensu invexit, quam servant altera Veneta et minores Batavæ. Basileenses pravam Juntinæ distinctionem retinuerunt, quas sine judicio secutus est Kusterus, τί μύζεις Euripidi, πάντα πεποίηται καλῶς Mnesilocho tribuens. Suidas μῦ, μύζει. ἀπὸ τοῦ μῦ πάρηκται τὸ μύζειν, πολλοῖς ἄλλοις ὁμοίως. μύζειν δέ ἐστι, τὸ τοῖς μυκτῆρσιν ἦχον ἀποτελεῖν. Sic ab ὦ admirandi adverbio fit ὤζω, quod occurrit Vesp. 1527. a σχετλιαστικῷ adverbio φεῦ, φεύζω Berglero observatum in Æsch. Agam. 1317. Plura vide in Valckenarii Diatr. Eurip. p. 20. qui Eustathium emendatione non indigere vidisset, si usus fuisset editione Romana, in qua emendate excusum, καὶ φεύζειν, τὸ φεῦ λέγειν.

232. ψιλὸς αὖ στρατεύσομαι. Jocus est in ambiguitate vocis ψιλὸς, quæ *glabrum* significat, et *levis armaturæ militem.* Eadem ambiguitas in latina voce *levis.*

Ευ. ὁρᾷς σεαυτόν;
Μν. οὐ μὰ Δί', ἀλλὰ Κλεισθένην.
Ευ. ἀνίστασ', ἵν' ἀφεύσω σε, κἀγκύψας ἔχε.
Μν. οἴ μοι κακοδαίμων, δελφάκιον γενήσομαι.
Ευ. ἐνεγκάτω τις ἔνδοθεν δᾷδ' ἢ λύχνον.
ἐπίκυπτε· τὴν κέρκον φυλάττου νῦν ἄκραν.
Μν. ἐμοὶ μελήσει, νὴ Δία· πλήν γ' ὅτι καόμαι.
οἴ μοι τάλας. ὕδωρ, ὕδωρ, ὦ γείτονες,
πρὶν ἀντιλαβέσθαι τόν γε πρωκτὸν τῆς φλογός.
Ευ. θάῤῥει.
Μν. τί θαῤῥῶ καταπεπυρπολημένος;
Ευ. ἀλλ' οὐκέτ' οὐδὲν πρᾶγμά σοι· τὰ πλεῖστα γὰρ
ἀποπεπόνηκας.
Μν. φεῦ, ἰοῦ τῆς ἀσβόλου.
αἶθος γεγένημαι πάντα τὰ περὶ τὴν τράμιν.
Ευ. μὴ φροντίσῃς· ἕτερος γὰρ αὐτὰ σπογγιεῖ.
Μν. οἰμώξετ' ἆρ', εἴ τις τὸν ἐμὸν πρωκτὸν πλυνεῖ.
Ευ. Ἀγάθων, ἐπειδὴ σαυτὸν ἐπιδοῦναι φθονεῖς,
ἀλλ' ἱμάτιον γοῦν χρῆσον ἡμῖν τουτοῒ
καὶ στρόφιον. οὐ γὰρ ταῦτά γ' ὡς οὐκ ἔστ' ἐρεῖς.
Αγ. λαμβάνετε, καὶ χρῆσθ'· οὐ φθονῶ.

235. Clisthenes, homo effeminatus et pathicus, de quo mentio in Lys. 1092. imberbis erat, rasis semper malis. Vide infra 583.

246. αἶθος nomen est substantivum, quod καῦμα, ἔκκαυσιν significat: αἰθὸς, ἡ, ὀν, adjectivum, καιόμενος ἐκκεκαυμένος.

248. Toto pede decurtatus legitur vulgo hic versus: οἰμώξετ' ἆρ', εἰ τὸν ἐμὸν πρωκτὸν πλυνεῖ. In cod. ἆρ' εἰς τὸν—εἰς depravatum est ex εἴ τις. Comico manum suam reddidi:

οἰμώξετ' ἆρ, εἴ τις τὸν ἐμὸν πρωκτὸν πλυνεῖ.

Nauci non sunt Kusteri conjecturæ:

οἰμώξετ' ἆρ τις, εἰ τὸν ἐμὸν πρωκτὸν πλυνεῖ.

vel

οἰμώξεταί γ' ἆρ', εἰ τὸν ἐμὸν πρωκτὸν πλυνεῖ.

Indefinitum τις omnino requirit linguæ ratio, quod in horum versuum posteriore omissum: prior alio laborat vitio; poëticum ἆρ nullibi, quod sciam, apud Comicum occurrit.

250. ἱμάτιον γοῦν χρῆσον ἡμῖν τουτοΐ. Sic bene cod. quod jam ad sententiæ ductum in Batavis minoribus repositum merito adsumsit Kusterus. Vett. editt. perperam ταυτοΐ, quod e Bergleri crisi in novissima reponi debuerat. τουτοΐ, δεικτικῶς. Repræsentat scena interiorem Agathonis domum.

Μν. τί οὖν λαβῶ;
Αγ. ὅ τι; τὸν κροκωτὸν πρῶτον ἐνδύου λαβών.
Μν. νὴ τὴν Ἀφροδίτην, ἡδύ γ' ὄζει ποσθίου.
Αγ. ξύζωσον ἀνύσας.
Μν. αἶρε νῦν στρόφιον.
Ευ. ἰδού.
Μν. ἴθι νῦν κατάστειλόν με τὰ περὶ τὼ σκέλη.
Ευ. κεκρυφάλου δεῖ καὶ μίτρας.
Μν. ἡδὶ μὲν οὖν
κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ.
Ευ. νὴ τὸν Δί' ἀλλὰ κἀπιτήδεια πάνυ.
Μν. ἆρ' ἁρμόσει μοι;
Αγ. νὴ Δί' ἀλλ' ἄριστ' ἔχει.
Ευ. φέρ' ἔγκυκλον.
Αγ. τουτὶ λάβ' ἀπὸ τῆς κλινίδος.
Ευ. ὑποδημάτων δεῖ.
Αγ. τἀμὰ ταυτὶ λάμβανε.
Μν. ἆρ' ἁρμόσει μοι;

252. *τί οὖν λαβῶ;* Personæ hic erant vulgo admodum confusæ. Perperam hæc Euripidi tribuebantur: interrogatio est Mnesilochi, cui soli Agathonis responsum congruit ἐνδύου. Si enim Euripidi dictum esset, usus fuisset verbo, non *medio*, sed *activo*. Diversa sunt ἐνδύσασθαι et ἐνδύειν τινά. Confer Lys. 1021. infra 636. ἀπόδυσον αὐτόν. Mox quæ dicit Agatho, σύζωσον ἀνύσας, ad Euripidem directa, male Kusterus vertit, *quin succingere te properas*: hoc sensu medium requiritur συζώσασθαι. Verba αἶρε νῦν στρόφιον a præcedentibus et sequentibus in codice lineolis distincta sunt, recte: sunt Mnesilochi, cui versus etiam 254. tribuendus erat.

260. ἆρ' ἁρμόσει μοι; In Cod. hic scriptum ἦ ῥ' ἁρμόσει: at mox infra, ut vulgo, ἆρ'.

261. φέρ' ἔγκυκλον. Ex hoc loco manifestum est ἔγκυκλον fuisse vestimentum exterius, ἐπίβλημα: κροκωτὸν vero, interius, ἔνδυμα. Crocotam jam induerat Mnesilochus, cui supra v. 253. dixit Agatho, τὸν κροκωτὸν πρῶτον ἐνδύου λαβών. Vestimentorum omnium ultimum, quod aliis superinjiciebatur, erat ἔγκυκλον, *palla*. Hoc liquet etiam e loco infra 499. ubi dicitur mulier expanso *encyclo* elabentis e conclavi mœchi fugam texisse. Falsum est igitur, quod Eustathius in Iliad. p. 976. e Pausania tradit: φησὶ γοῦν Παυσανίας, ὅτι ἔγκυκλον περιπόρφυρον ἱμάτιον καὶ χιτὼν γυναικεῖος, ὃν ἔνδοθεν ἐνδύονται γυναῖκες, εἶτα τὸ ἔνδυμα. λέγεται δὲ, φησὶν, ὑπ' ἐνίων ἐπιγονατὶς, διότι μέχρι γονάτων διήκει. Verum est quod tradit Suidas, ad hunc locum respiciens in ἔγκυκλον. καὶ δῆλον, ὡς τὸ μὲν ἔγκυκλόν ἐστιν ἱμάτιον· ὁ δὲ κροκωτὸς ἔνδυμα.—τουτὶ λάβ' ἀπὸ τῆς κλινίδος. Sic bene Kusterus in notis. Vulgo mendose τουτὶ λάμβαν'.

Ευ. χαλαρὰ γοῦν χαίρεις φορῶν;
Εγ. σὺ τοῦτο γίγνωσκ'. ἀλλ', ἔχεις γὰρ ὧν δέει,
εἴσω τις ὡς τάχιστά μ' εἰσκυκλησάτω.
Ευ. ἀνὴρ μὲν ἡμῖν οὑτοσὶ, καὶ δὴ γυνὴ
τό γ' εἶδος· ἢν λαλῇς δ', ὅπως τῷ φθέγματι
γυναικιεῖς εὖ καὶ πιθανῶς.
Μν. [illegible] πειράσομαι.
Ευ. βάδιζε τοίνυν.
Μν. μὰ τὸν Ἀπόλλω, οὐκ, ἤν γε μὴ
ὀμόσῃς ἐμοὶ - - -
Ευ. τί χρῆμα;
Μν. συσσώσειν ἐμὲ
πάσαις τέχναις, ἤν μοί τι περιπίπτῃ κακόν.
Ευ. ὄμνυμι τοίνυν αἰθέρ', οἴκησιν Διός.
Μν. τί μᾶλλον, ἢ τὴν Ἱπποκράτους ξυνοικίαν;
Ευ. ὄμνυμι τοίνυν πάντας ἄρδην τοὺς θεούς.
Μν. μέμνησο τοίνυν ταῦθ', ὅτι ἡ φρὴν ὤμοσεν,
ἡ γλῶττα δ' οὐκ ὀμώμοκ', οὐδ' ὥρκωσ' ἐγώ.
(ὀλολύζουσι γυναῖκες. ἱερὸν ὠθεῖται.)
Ευ. ἔκσπευδε ταχέως· ὡς τὸ τῆς ἐκκλησίας
σημεῖον ἐν τῷ Θεσμοφορίῳ φαίνεται.

263. *χαλαρὰ γοῦν χαίρεις φορῶν.* Sic in cod. scriptum; tum quæ sequuntur alii personæ tributa: unde liquet priora esse Euripidis, posteriora Agathonis. Omnia hæc sua perspicuitate satis se commendant, et versio commentarii instar est. Absurdum in modum perversæ erant loquendi vices, ita ut mirarer, si quisquam unquam scenæ actionem animo concipere potuerit, eamque sibi repræsentare.

Suidas in *χαλαρὰ* locum hunc profert, sic: *χαλαρὰ γοῦν χαίροις φορῶν.* Bona esset lectio *χαλαρά γ' ἂν χαίροις φορῶν*, per ellipsin sic supplendam, *εἰ μή σοι ἁρμόσειεν.* *Laxos gestare amares, si minus hi tibi apti essent.*

272. Hic rursus suismet ipsius verbis loqui facit Euripidem, cujus in Melanippe hic erat versus:

ὄμνυμι δ' ἱερὸν αἰθέρ', οἴκησιν Διός.

Vide Valckenarium Diatr. Eurip. p. 49. ubi Bergleri emendationi meritam laudem tribuit.

273. Hippocratis filiorum meminit Comicus Nubib. 1001. ad quem locum vide.

277. In parepigraphe post hunc versum verba *ἱερὸν ὠθεῖται* significant scenæ conspectum mutari, et machinarum ope, ut apud nos fieri solet, templum propelli, seu novum scenæ apparatum templi speciem exhibere. Nec de victima hic cogitandum, nec, quod perinde absurdum est, cum Berglero legendum *γέρων ὠθεῖται.*

ἐγὼ δ' ἄπειμι.
Μν. δεῦρο νῦν, ὦ Θρᾶττ', ἕπου.
ὦ Θρᾶττα, θέασαι, καομένων τῶν λαμπάδων
ὅσον τὸ χρῆμ' ἀνέρχεθ' ὑπὸ τῆς λιγνύος.
ἀλλ', ὦ περικαλλῆ Θεσμοφόρω, δέξασθέ με
ἀγαθῇ τύχῃ, καὶ δεῦρο, καὶ πάλιν οἴκαδε.
ὦ Θρᾶττα, τὴν κίστην κάθελε, κᾆτ' ἔξελε
τὸ πόπανον, ὅπως λαβοῦσα θύσω ταῖν θεαῖν.
δέσποινα πολυτίμητε Δήμητερ φίλη,
καὶ Περσέφαττα, πολλὰ πολλάκις μέ σοι
θύειν ἔχουσαν· εἰ δὲ μή, ἀλλὰ νῦν λαθεῖν.
καὶ τὸν θυγατέρος χοῖρον ἀνδρός μοι τυχεῖν
πλουτοῦντος, ἄλλως τ' ἠλιθίου κᾀβελτέρου,
καὶ πρὸς φάλητα νοῦν ἔχειν μοι καὶ φρένας.
ποῦ, ποῦ καθίζωμαι 'ν καλῷ, τῶν ῥητόρων
ἵν' ἐξακούω; σὺ δ' ἄπιθ', ὦ Θρᾶττ', ἐκποδών.
δούλοις γὰρ οὐκ ἔξεστ' ἀκούειν τῶν λόγων.

ΚΗΡΥΞ, ΧΟΡΟΣ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΩΝ, ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ, ΜΝΗΣΙΛΟΧΟΣ, ΚΛΕΙΣΘΕΝΗΣ.

Κη. ΕΥΦΗΜΙΑ ἔστω,

281. Vel hic est hypallage, vel vocum trajectio. Ordo est: ὅσον τὸ χρῆμα τῆς λιγνύος ἀνέρχεται ὑπὸ τῶν λαμπάδων καομένων. Non male Reiskius:

ὅσον τὸ χρῆμ' ἀνέρχεται τῆς λιγνύος.

Sane in ista lectione nihil est duri nec salebrosi, nec me invito reciperetur.

283. καὶ δεῦρο, καὶ πάλιν οἴκαδε. Hoc et sensus et metrum flagitant. Vulgo posterior copula omissa.

289. καὶ τὸν θυγατέρος χοῖρον. Vulgo sine ullo sensu καὶ τὴν θυγατέρα χοῖρον. Scaligeri emendationem Kustero probatam, et, opinor, nemini non probandam, recepi.

291. καὶ πρὸς φάλητα. In cod. ut in Juntina πρὸς θάληκον, quod plane nihil est. Editt. Venetæ φαλλικὸν, quod ad verum propius accedit. Genuinum est, quod reposuimus e Biseti vel Scaligeri sententia: uter enim prior sic emendaverit, nescio. φαλλικὸν est canticum in honorem Bacchi. Vide Acharn. 261. φαλλὸς vero φαλῆς, seu φάλης, est virile membrum, cujus effigies in Bacchi sacris gestabatur. In faceto oraculo mulieribus edito, Lys. 771. ἀπόσχωνταί τε φαλήτων. Vellem Kusterus nihil ultra quæsivisset, cui de sua conjectura καὶ πρὸς θύλακόν τε facimus gratiam.

295. Persona est κήρυξ. Feminino nomine melius indigetata fuisset κηρύκαινα.

εὐφημία ἔστω.
εὔχεσθε ταῖν Θεσμοφόροιν,
τῇ Δήμητρι καὶ τῇ Κόρῃ,
καὶ τῷ Πλούτῳ, καὶ τῇ Καλλιγενείᾳ,
καὶ τῇ Κουροτρόφῳ, τῇ Γῇ,
καὶ τῷ Ἑρμῇ, καὶ Χάρισιν,
ἐκκλησίαν τήνδε καὶ ξύνοδον τὴν νῦν
κάλλιστα κἄριστα ποιῆσαι·
πολυωφελῶς μὲν πόλει τῇ Ἀθηναίων,
τυχηρῶς δ' ἡμῖν αὐταῖς,
καὶ τὴν δρῶσαν, τήν τ' ἀγορεύουσαν
τὰ βέλτιστα περὶ τὸν δῆμον τῶν Ἀθηναίων,
καὶ τὸν τῶν γυναικῶν,
ταύτην νικᾷν.
ταῦτ' εὔχεσθε, καὶ ὑμῖν αὐταῖς τἀγαθά.
ἰὴ παιὼν, ἰὴ παιὼν, ἰὴ παιών· χαίρωμεν.

Χο. εὐχόμεσθα, καὶ θεῶν γένος
λιτόμεσθα ταῖσδ' ἐπ' εὐχαῖς
φανέντας ἐπιχαρῆναι.
Ζεῦ μεγαλώνυμε, Χρυσολύρα τε,
Δῆλον ὃς ἔχεις ἱεράν·
καὶ σὺ παγκρατὲς κόρα,
γλαυκῶπι, χρυσόλογχε,
πόλιν οἰκοῦσα περιμάχητον, ἐλθὲ δεῦρο.
καὶ πολυώνυμε, θηροφόνε παῖ,

Nam præconis officio fungitur hic mulier. Quippe sacris illis vir nullus intererat. Quæ sequuntur autem preces et imprecationes, facete ritus adumbrant, qui in populi concionibus observabantur, de quibus videndus Sam. Petitus Leg. Att. p. 288.

312. εὐχόμεσθα, quod refertur ad Præconissæ εὔχεσθε, primus edidit Barth. Zanetti, et sic est in cod. Pravum est quod aliæ editiones habent ex principe δεχόμεσθα.

320. θηροφόνε. Hanc nominis formam Theognidi Megarensi restituo, cujus in fragmentorum initio θηροφόνη legitur, forma inusitata, debetur ea librario ignoranti vocalem brevem in cæsura produci: scripserat antiquus poëta:

Ἄρτεμι θηροφόνε, θυγάτηρ Διὸς, ἣν Ἀ-
γαμέμνων
εἵσαθ', ὅτ' ἐς Τροίην ἔπλει νηυσὶ
θοαῖς.

Λάτους χρυσώπιδος ἔρνος·
σύ τε πόντιε σεμνὲ Πόσειδον
ἁλιμέδον, προλιπὼν
μυχὸν ἰχθυόεντ' οἰστροδόνητον
Νηρέος· εἰνάλιοί τε κόραι,
Νύμφαι τ' ὀρείπλαγκτοι.
χρυσέα τε φόρμιγξ ἠχήσειεν ἐπ' εὐχαῖς
ἡμετέραις· τελέως δ'
ἐκκλησιάσαιμεν Ἀθηναίων
εὐγενεῖς γυναῖκες.

Κη. εὔχεσθε τοῖς θεοῖσι ταῖς Ὀλυμπίοις,
καὶ ταῖς Ὀλυμπίαισι, καὶ τοῖς Πυθίοις,
καὶ ταῖς Πυθίαισι, καὶ τοῖς Δηλίοις,
καὶ ταῖσι Δηλίαισι, τοῖς τ' ἄλλοις θεοῖς·
εἴ τις ἐπιβουλεύει τι τῷ δήμῳ κακὸν
τῷ τῶν γυναικῶν, ἢ 'πικηρυκεύεται
Εὐριπίδῃ, Μήδοις τ', ἐπὶ βλάβῃ τινὶ
τῇ τῶν γυναικῶν, ἢ τυραννεῖν ἐπινοεῖ,
ἢ τὸν τύραννον ξυγκατάγειν, ἢ παιδίον
ὑποβαλλομένης κατεῖπέ τις, ἢ δούλη τινὸς,
προαγωγὸς οὖσ', ἐνεθρύλλισεν τῷ δεσπότῃ,
ἢ πεμπομένη τις ἀγγελίας ψευδεῖς φέρει,
ἢ μοιχὸς εἴ τις ἐξαπατᾷ ψευδῆ λέγων,
καὶ μὴ δίδωσιν ἃ ''ν ὑπόσχηταί ποτε,
ἢ δῶρά τις δίδωσι μοιχῷ γραῦς γυνὴ,
ἢ καὶ δέχεται προδιδοῦσ' ἑταῖρα τὸν φίλον·
κεἴ τις κάπηλος, ἢ καπηλὶς, τοῦ χοὸς,
ἢ τῶν κοτυλῶν, τὸ νόμισμα διαλυμαίνεται,

324. οἰστροδόνητον. Sic bene cod. et vett. editt. omnes. Qui e Suida in οἶστρος reposuit οἰστροδίνητον, metrum susque deque habuit. Est hic versus dimeter anapæsticus. In δινέω compositis et derivatis prima longa est. Quin Suidæ cod. Kustero ipso teste, quem mirum est tam sæpe syllabarum quantitates non observasse, habet οἰστροδόνητον.

340. κατεῖπέ τις. Male vulgo, vitiato metro, κατεῖπεν.

344. ἃ ''ν—In cod. ut in Juntina sine elisione ἃ ἄν.

κακῶς ἀπολέσθαι τοῦτον αὐτὸν κοἰκίαν
ἀρᾶσθε· ταῖς δ' ἄλλαισιν ὑμῖν τοὺς θεοὺς
εὔχεσθε πάσαις πολλὰ δοῦναι κἀγαθά.

Χο. ξυνευχόμεθα τέλεα μὲν
πόλει, τέλεα δὲ δήμῳ,
τάδ' εὔγματα γενέσθαι·
τὰ δ' ἄρισθ' ὅσαις προσήκει
νικᾶν λεγούσαις· ὁπόσαι δ'
ἐξαπατῶσι, παραβαίνου-
σί τε τοὺς ὅρκους
τοὺς νενομισμένους,
κερδῶν ἕνεκ' ἐπὶ βλάβῃ,
ἢ ψηφίσματα καὶ νόμον
ζητοῦσ' ἀντιμεθιστάναι,
τἀπόῤῥητά τε τοῖσιν ἐ-
χθροῖς ἡμετέροις λέγουσιν,
ἢ Μήδους ἐπάγουσι τῆς
χώρας ἐπὶ βλάβῃ,
ἀσεβοῦσιν, ἀδικοῦσίν τε τὴν
πόλιν. ἀλλ' ὦ παγκρατὲς
Ζεῦ, ταῦτα κυρώσειας, ὥσθ'
ἡμῖν θεοὺς παραστατεῖν,
καίπερ γυναιξὶν οὔσαις.

Κη. ἄκουε πᾶς. ἔδοξε τῇ Βούλῃ τάδε

351. πολλὰ δοῦναι κἀγαθά. Sic cod. et Juntina recte, cum utraque Basileensi, Parisina Wecheli, Batavis minoribus. Zanettus imperite edidit τἀγαθὰ, quod Kusterus ex Excerptis Scaligeri adsumsit. πολλὰ κἀγαθὰ formula est Atticis scriptoribus perquam frequentata. Lysias pag. 762. πολλὰ δὲ κἀγαθὰ εἰργασμένος τὴν πόλιν. p. 768. ὅσοι δὲ τὸν δῆμον πολλὰ κἀγαθὰ εἰργασμένοι εἰσί. Vide Lys. 1159. Pace 436. 538. In contrariam partem dicitur πολλὰ καὶ κακά. Vide Eq. 1276. Nub. 1329. notamque ad eum locum et ad Conc. 453. Imitantur Latini. Plautus Pseud. i. 3. 138.

Sed quanquam multa malaque in me
dicta dixistis mihi.

366. χώρας ἐπὶ βλάβῃ. Versus est dimeter iamb. brachycatal. Vulgo χώρας οὕνεκ' ἐπὶ βλάβῃ. Importunum illud οὕνεκ' repetiit librarius e v. 360. hic locum non habet. Perspicua est phrasis et omnibus suis numeris absoluta, Μήδους ἐπάγουσιν ἐπὶ βλάβῃ τῆς χώρας.

τῇ τῶν γυναικῶν· Τιμόκλει' ἐπεστάτει·
Λύσιλλ' ἐγραμμάτευεν· εἶπε Σωστράτη·
ἐκκλησίαν ποιεῖν ἕωθεν τῇ μέσῃ
τῶν Θεσμοφορίων, ᾗ μάλισθ' ἡμῖν σχολή·
καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδου,

376. τῶν Θεσμοφορίων, ᾗ μάλισθ' ἡμῖν σχολή. Sic liquido codex, optime. Hujus lectionis vestigia servat Juntina, in qua excusum ἦν ἅλισθ' ἥμιν σχολή. Idem expressum in vett. omnibus editt. nisi quod quædam accentum mutant in ἡμῖν, quod nullius est momenti. In Batavis minoribus e nescio cujus emendatione legitur ἦν ἅλις ἰσθ' ἡμῖν σχολῆς. Pejus adhuc Kusterus, ἦν ἅλις ἰσθ' ἡμῖν σχόλη. Et hæc est demum ea, quæ vocatur *vulgata lectio*, cui temerariam manum admovere nefas. Vapulasset, qui e vestigiis antiquæ lectionis ΗΝ ΑΛΙΣΘ' ΗΜΙΝ ΣΧΟΛΗ, una tantum litera mutata, genuinam revocasset, Ἡ ΜΑΛΙΣΘ' ΗΜΙΝ ΣΧΟΛΗ. At ego tutelæ sinceri codicis confido, securusque quod res est dicam. Lectio illa vulgata inepta est. ἢ ἅλις ἐστι σχολῆς, vel σχολὴ, solœcum est; tum quoad sententiam absurdum. *Placuit mulierum Senatui concilium haberi mane, die medio Thesmophoriorum, si satis est otii.* Nam ἦν ἅλις ἐστι non significat *Si satis erit:* sed, *Si satis est.* Scilicet ignorabant istæ mulieres, quæ quotannis Thesmophoria celebrabant, an die medio satis otiosæ futuræ essent, ut de re consultarent, quæ ipsis tantopere cordi erat! Tertius festi dies appellabatur ΝΗΣΤΕΙΑ: hunc totum in templo jejunio transigebant, ob eamque causam eum diem concioni præstituerant, quo otium sibi non defuturum sciebant, nec futurum quicquam in mora, quin de Euripidis ultione deliberarent. Sunt homines cordati, quibus forte prodigiosum videbitur, quod dicebam modo, vapulaturum fuisse, si quis literarum ductus, quibus constat lectio vetus, observans, genuinam in eis deprehendisset, poëtæque suam restituisset manum. *Quis,* inquient illi, *adeo morosus, tam ab omni humanitatis venustatisque sensu alienus esse possit, ut manifestam labem tam facili medela tolli non gaudeat? Anili ista erga librariorum et typothetarum errores superstitione eruditorum animos exsolvit dudum felicioribus ingeniis exculta critica disciplina, cujus puriori splendentem lumine facem extulerunt hujus et superioris ætatis viri præstantissimi, quorum tu scripta laudas identidem, e quibusque quantum profeceris satis ostendis.* Recte dicitis, ô boni, et nisi illud ipsum quod res est, saltem quod esse debet. Sed ipse ego nonne nuper censoria notatus fui virgula ob medicinam multo leviorem, quam Apollonio feci in versu depravatissimo L. ii. 232? Servatam in cod. Bibliothecæ Cæsareæ genuinam lectionem unius, non dicam *literæ*, sed *lineolæ* defectus vitiabit. Codicis scriptura hæc est:

ΑΛΛΑ ΜΕ ΠΙΚΡΗ ΔΗΤΑ ΚΑΙ ΙΣΧΕΙ
ΔΑΙΤΟΣ ΑΝΑΓΚΗ.

Vidi, et quis id non vidisset? summæ literæ Ι imponendam esse transversam lineolam, ut Τ fieret, unde vera poëtæ manus emersura erat:

ΑΛΛΑ ΜΕ ΠΙΚΡΗ ΔΗΤΑ ΚΑΤΙΣΧΕΙ
ΔΑΙΤΟΣ ΑΝΑΓΚΗ.

Jam vero videatis quibus cachinnis emendationem hanc, si modo emendatio dicenda est, exploserit Aristarchus in *Eruditorum diario ad mensem Maium an.* 1781. Ecquid tali reponam censori? *Fruatur quisque suo sensu.* Etiamdum verum est, quod dixit vetus poëta:

ΠΟΛΛΟΙ ΕΝ ΑΡΚΑΔΙῌ ΒΑΛΑΝΗΦΑ-
ΓΟΙ ΑΝΔΡΕΣ ΕΑΣΙ.

ὅ τι χρὴ παθεῖν ἐκεῖνον. ἀδικεῖν γὰρ δοκεῖ
ἡμῖν ἁπάσαις. τίς ἀγορεύειν βούλεται;
Γυ. ἐγώ.
Κη. περίθου νυν τόνδε πρῶτον, πρὶν λέγειν.
σίγα, σιώπα, πρόσεχε τὸν νοῦν· χρέμπτεται γὰρ ἤδη,
ὅπερ ποιοῦσ' οἱ ῥήτορες. μακρὰν ἔοικε λέξειν.
Γυ. α'. φιλοτιμίᾳ μὲν οὐδεμιᾷ, μὰ τὼ θεώ,
λέξουσ' ἀνέστην, ὦ γυναῖκες· ἀλλὰ γὰρ
βαρέως φέρω τάλαινα πολὺν ἤδη χρόνον,
προπηλακιζομένας ὁρῶσ' ὑμᾶς ὑπὸ
Εὐριπίδου, τοῦ τῆς λαχανοπωλητρίας,
καὶ πολλὰ καὶ παντοῖ' ἀκουούσας κακά.
τί γὰρ οὗτος ἡμᾶς οὐκ ἐπισμῇ τῶν κακῶν;
ποῦ δ' οὐχὶ διαβέβληχ', ὅπου περ ἔμβραχυ
εἰσὶν θεαταί, καὶ τραγῳδοί, καὶ χοροί,
τὰς μοιχοτρόπους, τὰς ἀνδρεραστρίας καλῶν,

380. τόνδε, δεικτικῶς. Subauditur στέφανον. Pertinet hoc ad populi concionum ritum, in quibus oratores coronati verba faciebant. Conc. 130

Τίς ἀγορεύειν βούλεται; —
Ἐγώ.—Περίθου δὴ τὸν στέφανον τύχῃ
'γαθῇ.

Conc. 147.

Ἐσθ' ἥτις ἑτέρα βούλεται λέγειν; —
Ἐγώ.—
Ἴθι δὴ στεφανοῦ.

Conc. 163.

φέρε τὸν στέφανον· ἐγὼ γὰρ αὖ λέξω πάλιν.

moxque v. 171. eadem qua hic ellipsi,

αὕτη γάρ ὑμῶν γ' οὕνεκά μοι λέξειν δοκῶ,
ΤΟΝΔΙ λαβοῦσα.

Confer Av. 463.

389. ἐπισμῇ. Vide Suidam in hac voce et Hesych. in ἐπισμήχει. Bene interpretantur ἐπιτρίβει: sed nescio an huic interpretationi melius congrueret ἡμῖν quam ἡμᾶς. Equit. 5.

πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις.

Ob literarum compendia quibus utebantur librarii sæpe commutati hujus pronominis casus. Vide infra ad 571.

390. ἔμβραχυ. Cod. et Juntina male ἐν βραχύ. Mendam fucavit, non sustulit Zanettus reponendo ἐν βραχεῖ. Vide Hesychii interpretes ad ἐμβραχεῖ et Ruhnkenium ad Timæum v. ἔμβραχυ. Occurrit hoc adverbium rursus Vesp. 1120.

392. In edit. prior. τὰς μυχοτρόπους, id est, Kustero interprete, *clandestinis moribus præditas, subdolas, falluces.* Sed nullibi vox ista exstat, nec alia nititur fide quam librarii errore. In cod. scriptum μῦχοτρόπους: in Juntina μυχοτρόπους. υ et οι eodem efferebantur sono; inde tot horum elementorum permutationes, vocumque depravationes. Geminum exemplum vide infra 501. Mendam sustulit Zanettus hoc loco, reponendo μοιχοτρόπους, quæ vera scriptura est, confirmata a Suida in οἰνοπίπας. Operæ pretium est integram

τὰς οἰνοπίπας, τὰς προδότιδας, τὰς λάλους,
τὰς οὐδὲν ὑγιὲς, τὰς μέγ᾽ ἀνδράσιν κακόν·
ὥστ᾽ εὐθὺς εἰσιόντες ἀπὸ τῶν ἰκρίων
ὑποβλέπουσ᾽ ἡμᾶς, σκοποῦνταί τ᾽ εὐθέως,
μὴ μοιχὸς ἔνδον ᾖ τις ἀποκεκρυμμένος.
δρᾶσαι δ᾽ ἔθ᾽ ἡμῖν οὐδὲν ὥσπερ καὶ προτοῦ
ἔξεστι· τοιαῦθ᾽ οὗτος ἐδίδαξεν κακὰ
τοὺς ἄνδρας ἡμῶν· ὥς᾽, ἐάν γέ τις πλέκῃ
γυνὴ στέφανον, ἐρᾶν δοκεῖ· κἂν ἐκβάλῃ
σκεῦός τι, κατὰ τὴν οἰκίαν πλανωμένη,
ὡνὴρ ἐρωτᾷ, Τῷ κατέαγεν ἡ χύτρα;
οὐκ ἔσθ᾽ ὅπως οὐ ΤΩι ΚΟΡΙΝΘΙΩι ΞΕΝΩι.

hujus observationem e variis Grammaticorum veterum ad hanc fabulam scholiis excerptam legere. Οἰνοπίπας, τὰς τοὺς οἴνους περισκοπούσας, ὡς Ὅμηρος παρθενοπίπας (Ἰλ. λ΄. 385.) Ἀριστοφάνης φησί· Ποῦ δ᾽ οὐχὶ—

τὰς μοιχοτρόπους, τὰς ἀνδρεραστρίας καλῶν,
τὰς οἰνοπίπας, τὰς προδότιδας—

ὁ μὲν οὖν Σύμμαχός φησι παρὰ τὸ πιπίζειν τὸν οἶνον. ἐγὼ δ᾽ οὐχ ὁρῶ τὸ πιπίζειν ἐπὶ ταύτης τῆς ἐννοίας παρὰ τοῖς Ἀττικοῖς κείμενον, ἀλλὰ κατὰ μίμησιν φωνῆς λεγόμενον. ἄμεινον οὖν, ὥσπερ παιδοπίπας λέγεται, οὕτω καὶ οἰνοπίπας. οἰνοπίπας οὖν ἀντὶ τοῦ μέθυσος· παρὰ τὸ πιπίζειν, ὅ ἐστι μυζεῖν, ἢ μυζᾶν. Vides de lectione consensisse veteres criticos, de illius interpretatione in diversa abiise. Licet πιπίζειν Atticis fere nihil aliud significaverit quam *pipiare*, verbo ad imitationem avium quarumdam vocis efficto, potuit tamen Aristophanes nomine οἰνοπίπης uti, derivato ab eodem verbo significante ποτίζειν, seu μυζεῖν. Glossarium vetus: ἐκπιπίζει *exsugit*: vide Hesychium in πιπίζειν. Derivationi ab ὀπιπτεύω, unde est Homericum παρθενοπίπης favet Comici locus in Lys. 426.

ποῖ δὲ σὺ βλέπεις,
οὐδὲν ποιῶν ἄλλ᾽, ἢ καπηλεῖον σκοπῶν.

Cod. et editt. omnes habent οἰνοπότιδας, quod mihi nunc, ut olim Kustero, e glossa subornatum videtur. Etsi mihi primum valde arrideret οἰνοπίπας, quin illud vulgato præferrem, obstitit H. Stephani judicium Thes. tom. ii. col. 1243. tum quia Eustathius, qui bis aut ter ex Eq. 407. notat nomen πυῤῥοπίπης, istius οἰνοπίπης non meminit, quod non prætermissurus fuisse videbatur, si illud in Comico legisset. Sed fateor parum momenti his rationibus inesse, quas prægravat veterum Criticorum auctoritas, quos e Suida constat non aliter hoc loco legisse, quam οἰνοπίπας. Hoc itaque et μοιχοτρόπους lectorem reponere velim. Confer notam infra 432.

400. ἐάν γέ τις πλέκῃ. Sic bene Kusterus in notis. Vulgo titubante metro ἐάν τις—

404. τῷ Κορινθίῳ ξένῳ. Irrisio est Euripidis Sthenebœæ, cujus fragmentum quo respexit Comicus servavit Athen. p. 427. E. Τοῖς δὲ τετελευτηκόσι τῶν φίλων ἀπένεμον τὰ πίπτοντα τῆς τροφῆς ἀπὸ τῶν τραπεζῶν· διὸ καὶ Εὐριπίδης περὶ τῆς Σθενεβοίας φησὶν, ἐπειδὴ ἐνόμιζεν τὸν Βελλεροφόντην τεθνάναι

πεσὸν δέ νιν λέληθεν οὐδὲν ἐκ χερὸς,
ἀλλ᾽ εὐθὺς αὐδᾷ ΤΩι ΚΟΡΙΝΘΙΩι ΞΕΝΩι.

κάμνει κόρη τις; εὐθὺς ὡ᾽δελφὸς λέγει,
τὸ χρῶμα τοῦτό μ᾽ οὐκ ἀρέσκει τῆς κόρης.
εἶεν· γυνή τις ὑποβαλέσθαι βούλεται,
ἀποροῦσα παίδων; οὐδὲ τοῦτ᾽ ἔστιν λαθεῖν.
ἅνδρες γὰρ ἤδη παρακάθηνται πλησίον.
πρὸς τοὺς γέροντάς θ᾽, οἳ προτοῦ τὰς μείρακας
ἤγοντο, διαβέβληκεν· ὥς᾽ οὐδεὶς γέρων
γαμεῖν θέλει γυναῖκα διὰ τοὔπος τοδί·
ΔΕΣΠΟΙΝΑ ΓΑΡ ΓΕΡΟΝΤΙ ΝΥΜΦΙῼ
ΓΥΝΗ.
εἶτα διὰ τοῦτον ταῖς γυναικωνίτισιν
σφραγῖδας ἐμβάλλουσιν ἤδη καὶ μοχλοὺς,
τηροῦντες ἡμᾶς· καὶ προσέτι Μολοττικοὺς
τρέφουσι, μορμολύκεια τοῖς μοιχοῖς, κύνας.
καὶ ταῦτα μὲν ξύγγνωσθ᾽· ἃ δ᾽ ἦν ἡμῖν προτοῦ,
αὐταῖσι ταμιείου προαιρούσαις λαβεῖν,
ἄλφιτον, ἔλαιον, οἶνον, οὐδὲ ταῦτ᾽ ἔτι
ἔξεστιν. οἱ γὰρ ἄνδρες ἤδη κλειδία
αὐτοὶ φοροῦσι κρυπτὰ, κακοηθέστατα,
Λακώνικ᾽ ἄττα, τρεῖς ἔχοντα γομφίους.

405. εὐθὺς ὡ᾽δελφός. Sic bene Scaliger in Excerptis. Vulgo ruente metro ἀδελφός.

413. Euripidis versus e Phœnice. Fragmentum exstat apud Stobæum Floril. Grotii pag. 293. sic in Musgravii editione emendatum:

μοχθηρόν ἐστιν ἀνδρὶ πρεσβύτῃ τεκνοῦν,
δμώς τ᾽ ἔστιν, ὅστις οὐκέθ᾽ ὡραῖος γαμεῖ.
δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή.

414. διὰ τοῦτον. Sic bene cod. *propter hunc Euripidem, per hunc, hujus opera.* Frequens apud Comicum hæc significatio præpositionis διά. Vide infra 864. Vulgo διὰ τοῦτο.

419. αὐταῖσι ταμιείου προαιρούσαις. Sic bene Kusterus in notis. Corrupte vulgo αὐταῖς ταμιεύεσθαι. Signatum verbum προαιρεῖν, *e penu aliquid promere*, illustratum a Casaubono ad Theophr. Char. p. 141. edit. Lugdun. an. 1599. ubi e Diogene Laërt. simile exemplum adducit: ἐπειδὰν γάρ τι προέλοι τοῦ ταμιείου.—λαβεῖν. Hoc solum in vulgata lectione emendandum videbatur Scaligero, bene reponenti λαθεῖν, quod serius quam oportuit animadverti. Sæpe hæc verba, unico elemento differentia perperam commutata. προαιρούσαις λαθεῖν, tantumdem est ac λάθρα προαιρεῖν.

421. De ratione serarum, pessulorum, clavium quibus utebantur veteres, videndus Salmasius in Plinianis p. 649. seqq. Laconicæ clavis mentio etiam apud Plautum Most. ii. 1. 57.

clavem mi harunce ædium Laconicam
jam jube efferri intus: hasce ego ædes
occludam hinc foris.

προτοῦ μὲν οὖν ἦν ἀλλ' ὑποῖξαι τὴν θύραν,
ποιησαμέναισι δακτύλιον τριωβόλου·
νῦν δ' οὗτος αὐτοὺς ᾠκότριψ Εὐριπίδης
ἐδίδαξε θριπήδεστ' ἔχειν σφραγίδια
ἐξαψαμένους. νῦν οὖν ἐμοὶ τούτῳ δοκεῖ
ὄλεθρόν τιν' ἡμᾶς κυρκανᾶν ἀμωσγέπως,
ἢ φαρμάκοισιν, ἢ μιᾷ γέ τῳ τέχνῃ,

424. ἦν ἀλλ' ὑποῖξαι. Recte Kusterus observat ἀλλὰ hic significare *saltem*, ut supra 250. ἀλλὰ γοῦν: *quod notandum* quidem, non tamen ut aliquid raro obvium. Quin satis frequens est. Vide Nub. 1364. 1369.

425. δακτύλιον, *anulum signatorium*. Viris, etiamsi clave Laconica cellæ fores occlusissent, metuendum erat, ne qualicunque artificio mulieres claustra reserarent, quod difficile non erat, pro rudi serarum illo ævo fabrica: idcirco ne sibi imprudentibus fraudem illæ facerent, cellæ ostium obsignabant, imposita cera, ῥύπῳ impressoque ceræ anuli sui signo. Vide Lys. 1195. Sed cautelam hanc etiam irritam reddebat mulierum calliditas. Quippe tribus obolis, id est, vilissimo pretio, unaquæque sibi comparabat anulum eodem insculptum signo, quo mariti anulus, ejusque ope, postquam in penum ingressa quæcunque libuisset suffurata esset, idem reponebat signaculum, ita ut a marito fraudis argui non posset. At vero queritur mulier nostra, sibi nullam amplius relictam esse rationem latenter et impune in penum se penetrandi, postquam viros docuit Euripides ceram obsignare, non, ut antea, anulo, sed ligno a teredinibus pertuso, cujusmodi sigilla singuli appensa gestabant. Nam signacula illa mulieres imitari non poterant, quum foraminum in ligno modum et dispositionem non cognoscerent; et nisi unaquæque eodem ligni frusto potiretur, quo maritus ceram signarat, nulla alia fraude furta celare potis erat. Hic est hujus loci sensus, unde liquet Berglerum male δακτύλιον interpretari *clavem annulatam*: nec melius, quod sane miror, Salmasium hoc nomine intelligere *ferreum digitulum*, seu instrumentum illi simile quod nos vernacula lingua *un rossignol* appellamus. Alludit autem Comicus ad Euripidis drama quod non exstat.

428. τούτῳ δοκεῖ. Sic optime codex. In Juntina aliisque vett. omnibus mendose τοῦτο δοκεῖ. Dativum τούτῳ sententia et constructionis ratio flagitant: *Nunc igitur mihi placet huic homini, Euripidi, perniciem nos moliri*. τούτῳ, τοῦτο millies a librariis commutata: nec satis erat causæ cur aliter fieret, maxime si dictantis verba exciperent. Quod in editione Kusteri reperio τοῦτό γε δοκεῖ, scioli emendatio est. In Ran. 861. ubi vulgo etiam bene editum εἰ τούτῳ δοκεῖ, Reg. cod. habet τοῦτο, gemello errore.

429. κυρκανᾶν. Sic cod. et Juntina recte. Prioris Basileensis menda κυρκανᾶν in Venetas et Parisinam Wecheli transiit. Frobenius paulo melius edidit κυκανᾶν, quod per alias deinceps editiones propagatum fuit, Kustero tamen in notis monente legendum esse e Suida κυρκανᾶν. Hoc merito in textu reposuit Berglerus: sed quod dicit ita in Farrei editione esse, id est in posteriore Veneta, falsum est.

430. μιᾷ γέ τῳ τέχνῃ. Juntina editio et aliæ deinceps omnes præter novissimam habent μιᾷ γέ τῳ τέχνῃ, immo recentiorum aliquot pejus adhuc τῇ. Hoc non solum non *Atticum*, sed

ὅπως ἀπολεῖται. ταῦτ' ἐγὼ φανερῶς λέγω·
τὰ δ' ἄλλα μετὰ τῆς Γραμματέως ξυγγράψομαι.

Χο. οὐπώποτε ταύτης
ἤκουσα πολυπλοκωτέρας
γυναικὸς, οὐδὲ δεινότερον λεγούσης.
πάντα γὰρ λέγει δίκαια· πάσας δ' ἰδέας
ἐξήτασεν· πάντα δ' ἐβάστασεν φρενὶ,
πυκνῶς τε ποικίλους λόγους
ἀνεῦρεν εὖ διεζητημένους,
ὥστ' ἂν, εἰ λέγοι παρ' αὐτὴν Ξενοκλέης ὁ Καρκίνου,
δοκεῖν ἂν αὐτὸν,
ὡς ἐγῷμαι, πᾶσιν ὑμῖν ἄντικρυς μηδὲν λέγειν.

Γυ. β'. ὀλίγων ἕνεκά γ' αὐτὴ παρῆλθον ῥημάτων.
τὰ μὲν γὰρ ἄλλ' αὕτη κατηγόρηκεν εὖ·
ἃ δ' ἐγὼ πέπονθα, ταῦτα λέξαι βούλομαι.
ἐμοὶ γὰρ ὡνὴρ ἀπέθανεν μὲν ἐν Κύπρῳ,

ne Græcum quidem est. Scaliger emendabat μιᾷ γέ τοι. Verum vidit Berglerus, idque in textu reposuit μιᾷ γέ τῳ. Raro bono illi viro contigit, ut mendam ex Aristophane elueret; cum laudo, et deamo ob restitutam Comico suam manum; et ne forte censori cuipiam antiquorum textuum propugnatori pœnas det mutatæ, sine ulla quam rationis auctoritate, lectionis, testor sic liquido in August. cod. scriptum esse μιᾷ γέ τῳ. Sciunt græce docti του, τῳ indefinita, eademque accentu notata et interrogantia, omnium esse generum. Æsch. S. Th. 474.

πέμποιμ' ἂν ἤδη τόνδε, σὺν τύχῃ δέ τῳ.

Ad quem locum vide quæ notavi. Euripid. Androm. 567. οὔτε τῳ δίκῃ κρίναντες. Soph. Œd. Tyr. 1107. εὕρημα δέξατ' ἔκ του Νυμφᾶν. 1435. καὶ τοῦ με χρείας ὧδε λιπαρεῖς τυχεῖν;

432. μετὰ τῆς Γραμματέως. Ad hunc locum respexit Pollux iv. 19. Ἀριστοφάνης δὲ παίζει ἐν Θεσμοφοριαζούσαις, λέγων ὁ γραμματεύς. Comicum hoc est et facetum. Sic alibi, in serio etiam, immo tragico sermone, substantiva masculina femininis tribuuntur. Helena in cognomine Euripidis dramate v. 288. ait:

μήτηρ δ' ὄλωλε, καὶ φονεὺς αὐτῆς ἐγώ.

Confer quæ notavi ad Æsch. S. Th. 226.

440. παρ' αὐτήν. Cod. et Juntina mendose παρ' αὐτῆς. Illud jam ex usu linguæ reposuerat Zanettus. παρὰ, *propter*, *præ*, in comparationibus accusativo jungitur. Ξενοκλέης. Vulgo male Ξενοκλῆς. Vide supra ad 169.

442. ἐγῷμαι. Sic bene in cod. scriptum, et in Juntina aliisque vett. excusum. Perperam in recentioribus editt. divisim ἐγ' ᾦμαι. Ad eumdem modum ἐγᾦδα scribitur, de quo vide infra 502.

443. ὀλίγων ἕνεκά γ' αὐτὴ παρῆλθον ῥημάτων. Cod. et Juntina ὀλίγων ἕνεκ' αὐτῇ. Zanettus ad sensum bene reposuit αὐτὴ, sed claudicanti metro non exæquavit pedes. ἕνεκέν γ' Kusterus emendavit Berglerus ἕνεκά γ' quod melius est.

παιδάρια πέντε καταλιπών· ἃ 'γω μόγις
στεφανηπλοκοῦσ' ἔβοσκον ἐν ταῖς μυῤῥίναις.
τέως μὲν οὖν, ἀλλ' ἡμικάκως, ἐβοσκόμην·
νῦν δ' οὗτος ἐν ταῖσιν τραγῳδίαις ποιῶν,
τοὺς ἄνδρας ἀναπέπεικεν οὐκ εἶναι θεούς·
ὥστ' οὐκέτ' ἐμπολῶμεν οὐδ' εἰς ἥμισυ.
νῦν οὖν ἁπάσαισιν παραινῶ καὶ λέγω,
τοῦτον κολάσαι τὸν ἄνδρα πολλῶν οὕνεκα.
ἄγρια γὰρ ἡμᾶς, ὦ γυναῖκες, δρᾷ κακὰ,
ἅτ' ἐν ἀγρίοισι τοῖς λαχάνοις αὐτὸς τραφείς.
ἀλλ' εἰς ἀγορὰν ἄπειμι· δεῖ γὰρ ἀνδράσι

448. ἐν ταῖς μυῤῥίναις. Vide notam ad Lys. 557.

450. ἐν ταῖσιν τραγῳδίαις. Male vulgo ταῖσι producta contra artem vocali brevi ante τρ. Leves isti errores librariis imputandi, et ubique, nullo ad codices respectu, ex artis præscripto corrigendi sunt. Infra 764. ne centenos alios excitem locos, vulgati etiam libri recte habent τοῖσιν Πρυτάνεσιν, ubi τοῖσι metrum vitiaret.

451. Vide Bellerophontis fragm. xxv. in Musgravii Euripide, et quæ notavit vir excellens ad Sisyphi fragm. i. Fueritne Euripides atheus, anne, non quæro. Aliud quid dicam, quod certum mihi videtur. Si capitale crimen ei, ut Socrati, fuisset intentatum, nihil causæ est, quin credam, exstiturum fuisse male feriatum aliquem anilium fabularum consarcinatorem, qui memoriæ prodidisset, Aristophanem ab inimicis Euripidis pretio subornatum fuisse, ut eum in scena impietatis reum ageret.

456. ἅτ' ἐν ἀγρίοισι τοῖς λαχάνοις αὐτὸς τραφείς. Vulgo ἀγρίοισι λαχάνοις, vacillante metro, quod non animadverterunt belli editores. Versum ad digitos exigentes primam producebant in λαχάνοις, quæ corripitur semper. Vide supra 387. Lys. 457. 557. Vesp. 497. Emendaveram primum, ἅτ' ἐν ἀγρίοισι δὴ λαχάνοις αὐτὸς τραφείς, quod, etsi nulla nixum auctoritate, nescio an præstet alteri quod reposui. Postea in Kusteri, viri πολυμαθοῦς, notis animadverti meminisse hujus loci Plutarchum Opp. Mor. p. 853. et Gellium l. xv. c. 20. Incessit me cupido videndi num forte in illis scriptoribus integer Comici versus prolatus esset, scopumque feriissem, anne. In Plutarcho verba hæc reperi. Ἄγρια γὰρ ἡμᾶς, ὦ γυναῖκες, ἄρα κακά· ἅτε ἐν ἀγρίοις τοῖς λαχάνοις αὐτὸς τραφείς. Vides hic exemplum frequentis literarum permutationis de qua supra p. 80. ΑΡΑ pro ΔΡΑ: et librariorum morem poëticas paragogas omittere, ἀγρίοις pro ἀγρίοισι, de quo aliquid dictum ad Lys. 487. In Gellio autem vidi libros omnes veteres habere ἀγρίοις τοῖς λαχάνοις. Quantum putas Kusteri me socordiam miratum fuisse, cui, postquam hæc loca inspexit, in mentem ne venit quidem disquirere, an articulus ille τοῖς metro necessarius esset, necne, et quanam prosodia nomen λάχανον Comicus soleret efferre? Ego veterum librorum reverentia ductus τοῖς reposui, licet sentirem articulum hic inutilem et tantum non importunum esse, atque ex usu græce loquentium ἅτε δὴ longe præstare.

πλέξαι στεφάνους ξυνθηματιαίους εἴκοσιν.
Χο. ἕτερον αὖ τι λῆμα τοῦτο
κομψότερον ἔτ', ἢ τὸ πρότερον, ἀναπέφηνεν.
οἷα κατεστωμύλατο
οὐκ ἄκαιρα, φρένας ἔχουσα,
καὶ πολύπλοκον νόημ', οὐδ' ἀσύνετ', ἀλλὰ
πιθανὰ πάντα. δεῖ δὲ ταύτης
τῆς ὕβρεως ἡμῖν τὸν ἄνδρα περιφανῶς δοῦναι δίκην.
Μν. τὸ μὲν, ὦ γυναῖκες, ὀξυθυμεῖσθαι σφόδρα
Εὐριπίδῃ, τοιαῦτ' ἀκουούσας κακὰ,
οὐ θαυμάσιόν ἐστ', οὐδ' ἐπιζεῖν τὴν χολήν.
καὐτὴ γὰρ ἔγωγ', οὕτως ὀναίμην τῶν τέκνων,
μισῶ τὸν ἄνδρ' ἐκεῖνον εἰ μὴ μαίνομαι.
ὅμως δ' ἐν ἀλλήλαισι χρὴ δοῦναι λόγον.
αὐταὶ γὰρ ἐσμὲν, κοὐδεμί' ἐκφορὰ λόγου.
τί ταῦτ' ἔχουσαι κεῖνον αἰτιώμεθα,

458. *στεφάνους ξυνθηματιαίους coronas locatitias*, quas aliquis faciendas locaverat pacta mercede. Athenæus p. 680. C. *συνθηματιαῖοι στέφανοι, ἠργολαβημένοι καὶ ἐκδόσιμοι.* Nominis rationem explicat Casaubonus. Pollux vii. 200. *συνθηματιαίους δὲ στεφάνους εἴρηκεν Ἀριστοφάνης, τοὺς ἠργολαβημένους, οὓς οἱ νῦν ἐκδοσίμους λέγουσι.* Ad quem locum videndi interpretes.

463. *νόημ', οὐδ'*—Sic cod. Vulgo *νόημα οὐδ'*, ingrato cum hiatu et metri labe. Tetrameter est pæonicus brachycatal.

465. Versus est tetrameter trochaicus. Genitivi *ὕβρεως* duæ ultimæ syllabæ in unam coalescunt.

469. *ὀναίμην.* Mendose vulgo *ὀνοίμην.* Prius e Suida reponendum esse monuit Toupius Emendatt. t. ii. p. 173. In cod. ut in vett. editt. scriptum *ὀνοίμην* et v. abhinc secundo *ἐν ἀλλήλοισιν*, ex eadem corruptelæ causa, nempe commutatione dipthongorum *αι* et *οι*, quas perversa pronuntiatione eodem efferebant sono. Ut hic *ὀναίμην*, ita mox *ἀλλήλαισι* reponi debuit, non, quod in recentioribus editt. est, *ἀλλήλῃσι.* *ὄναιο* recte editum Pl. 1062. *ὄναιτο*, Nub. 1237.

472. *κοὐδεμί' ἐκφορὰ λόγου.* Vulgo absque sensu legitur *κοὐδεμί' ἔκφορος λόγου.* Certam Valckenarii emendationem recepi prolatam ad Eurip. Hippol. 294.

473. *τί ταῦτ' ἔχουσαι κεῖνον αἰτιώμεθα;* *ταῦτα* construendum cum *αἰτιώμεθα*, ut in simili versu Acharn. 514.

τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα;

Participium *ἔχουσαι* abundare videtur: sed est *ἰδίωμα* Attici sermonis, hypallage participii et verbii, sic resolvenda: *τί ταῦτα ὑπάρχομεν ἐκεῖνον αἰτιώμεναι;* formulam illustrat Kœnius ad Corinthum p. 63. Exempla apud Atticos poëtas passim obvia. Infra 852. Ran. 202. *οὐ μὴ φλυαρήσεις ἔχων.* Av. 341. *τοῦτο μὲν ληρεῖς ἔχων πάλαι.* Conc. 853. *τί γὰρ ἕστηκ' ἔχων;* 1151. *τί δῆτα διατρίβεις*

βαρέως τε φέρομεν, εἰ δύ' ἡμῶν ἢ τρία
κακὰ ξυνειδὼς εἶπε δρώσας μυρία;
ἐγὼ γὰρ αὐτὴ πρῶτον, ἵνα μὴ ἄλλην λέγω,
ξύνοιδ' ἐμαυτῇ πολλὰ δείν'· ἐκεῖνο δ' οὖν
δεινότατον, ὅτε νύμφη μὲν ἦν τρεῖς ἡμέρας,
ὁ δ' ἀνὴρ παρ' ἐμοὶ κάθευδεν· ἦν δ' ἐμοὶ φίλος,
ὅσπερ με διεκόρευσεν οὖσαν ἑπτέτιν.
οὗτος πόθῳ μου ᾿κνυεν ἐλθὼν τὴν θύραν·
κᾆτ' εὐθὺς ἔγνων· εἶτα καταβαίνω λάθρα·
ὁ δ' ἀνὴρ ἐρωτᾷ· Ποῖ σὺ καταβαίνεις; --- Ὅποι;
στρόφος μ' ἔχει τὴν γαστέρ', ὦ ᾿νερ, κὠδύνη·
ἐς τὸν κοπρῶν' οὖν ἔρχομαι. --- Βάδιζέ νυν.
κᾆθ' ὁ μὲν ἔτριβεν κεδρίδας, ἄνηθον, σφάκον·
ἐγὼ δὲ καταχέασα τοῦ στροφέως ὕδωρ,

ζεις ἔχων; Nub. 131. τί ταῦτ' ἔχων στραγγεύομαι; 509. τί κυπτάζεις ἔχων περὶ τὴν θύραν;

477. Vulgo legitur uno pede mutilus hic versus, ξύνοιδ' ἐμαυτῇ πόλλ'· ἐκεῖνο δ' οὖν. Voculam quæ exciderat felici conjectura Comico restituit Dawesius:

ξύνοιδ' ἐμαυτῇ πολλὰ δείν'· ἐκεῖνο δ' οὖν
δεινότατον.—

Quod elegantissimum est. Futilia aliorum commenta referre operæ pretium non est. Suppositum a Biseto fulcrum ὅτι servarunt minores Batavæ, quo prudenter carere maluit Kusterus.

479. Cod. et Juntina παρ' ἐμοὶ καθεύδειν. Zanettus emendavit παρ' ἐμοὶ 'κάθευδεν. Melius fuisset παρ' ἐμοὶ καθεῦδεν. Apostrophus elisi augmenti index hic minime necessarius est, quia Attice tam bene καθεῦδεν dicitur, quam ἐκάθευδεν: illud augetur a verbo, hoc á præpositione. εὕδω, imperf. εὗδον, καθεῦδον. Sic ἧντο, καθῆντο, ἐκάθηντο. Vide Sylburgium in notis ad Clenardum p. 461. καθῆντο non caret augmento, nec similem admittit elisionem in Eurip. Bac. 1042.

ἔνθα Μαινάδες
καθῆντ', ἔχουσαι χεῖρας ἐν τερπνοῖς
πόνοις.

Scaliger legebat καθηῦδεν, quod perinde est. Vide quæ notavi ad Eurip. Hec. 18. Infra 794. εὗρετε, non ηὕρετε.

480. οὖσαν ἑπτέτιν. Cod. et. vett. editt. male ἑπτέτιν οὖσαν. Ad metri legem Kusterus voces transposuit. In cod. scriptum διακόρευσεν. Pollux iii. 42. hunc locum citans habet διεκόρησεν. Hac forma utitur Lucianus cum alibi, tum in Dial. Neptuni et Enipei tom. i. p. 320. ὑπελθών μου τὴν ἐρωμένην, εἰκασθεὶς ἐμοὶ, διεκόρησας τὴν παῖδα. Illa vero in dialogis meretriciis tom. iii. p. 309. τὴν ἐκ Πειραιῶς, τὴν ἄρτι διακεκορευμένην. Confer notam ad v. 760.

481. Hunc versum citat Eustathius ad Odyss. p. 1746. l. 4. ubi male pro ἐλθὼν legitur ἕλκων.

482. κᾆτ' εὐθὺς ἔγνων. Cod. κατευθύς. Vett. editt. κατ' εὐθύς. Frequens error in permutatione vocum κᾆτα et κατά.

487. καταχέασα τοῦ στροφέως ὕδωρ. Plautus Curcul. i. 3.

ἐξῆλθον ὡς τὸν μοιχόν· εἶτ' ἠρειδόμην
παρὰ τὸν Ἀγυιᾶ, κύβδ' ἐχομένη τῆς δάφνης.
ταῦτ' οὐδεπώποτ' εἶφ', ὁρᾶτ', Εὐριπίδης·

Placide egredere, et sonitum probibe
forum, et crepitum cardinum,
ne quod hic agimus herus percipiat
firei, mea Planesium.
mane, suffundam aquulam.

489. Hesychius: Ἀγυιεὺς, ὁ πρὸ τῶν θυρῶν ἑστὼς βωμὸς ἐν σχήματι κίονος. Ad quam glossam vide interpretes.—κύβδ' ἐχομένη τῆς δάφνης. Sic legendum esse viderunt Berglerus ad hunc locum, et Piersonus ad Mœrin p. 6. et per se res est manifesta. Adverbium κύβδα derivatum est a verbo κύπτω, occurritque iterum Eq. 365. nec in posterum fidei quicquam huic emendationi detrahetur, quam confirmat August. cod. in quo liquido scriptum κύβδ' ἐχομένη. Vulgata lectio κύνδ' mera corruptela est, cujus sane miror patrocinium suscepisse virum doctissimum Emendatt. in Suidam tom. iii. p. 50. et ad Theocr. Schol. p. 214. κύβδα statum et habitum mulieris exprimit se componentis, ut ab amatore iniri possit: idem schema designat, quod innuitur Lys. 231. κύνδ' autem, quod a κυνεῖν derivat Toupius, auctoritate carens et exemplo, etiamsi vox esset Græca, eo sensu, quo ab illo accipi videtur, nihil signati ad hujus loci sententiam haberet. Mira autem eo magis mihi accidit illa viri eruditione et ingenii acumine excellentis interpretatio, quod ipse Emendatt. tom. ii. p. 100. de adverbio κύβδα hæc tradat: *Est autem κύβδα, ut dixi, schema ἀφροδίσιον, idque cinædis proprium, de quo non semel Aristophanes in Thesmophoriazusis. Est et meretricibus commune.*

489. κύβδ' ἐχομένη τῆς δάφνης. Idem opilionis status, cui caprarius apud Theocritum ait:

ἦ οὐ μέμνασ' ὅτ' ἐγών τυ κατήλασα, καὶ τὺ σεσαρὼς
εὖ ποτικιγκλίσδευ, καὶ τᾶς δρυὸς εἴχεο τήνας.

490. ταῦτ' οὐδεπώποτ' εἶφ', ὁρᾶτ', Εὐριπίδης. Sic distincte et optime scriptum in cod. Vulgo ταῦτ' οὐδεπώποτ' ἐφωρᾶτ' Εὐριπίδης. Lectio mendosissima est, quæ Zanetto debetur: nam in Juntina excusum ἐφ' ὁρᾶτ' Εὐρ—BERGLERUS: *Metrum claudicat, quod in integrum restituetur, si, admisso in quarta sede spondeo, scribatur* ταῦτ' οὐδεπώποτε πεφώρακ' Εὐριπίδης. *Hæc nunquam deprehendit Euripides. Kusterus volebat* ἐφιωρᾶτο, *ab* ἐφορᾶν *inspicere, videre: quo pacto etiam ibi sit spondeus.* Sed, ô dulcissime, ubinam gentium vidisti in quarta sede vel comici vel tragici senarii spondeum, et quis te docuit istius modi subsidio metra *in integrum restituere?* Qui emendis tuis in Aristophanem lucubrationibus pecuniam suam haud inepte fœnori locavit, si græce doctus fuisset, famæ tuæ consuluisset totam hanc notulam una litura corrigendo, quod procul dubio fecisses ipse, si Dawesii opus criticum, vel Piersoni Mœridem legere potuisses. Quanto istis ineptiis præstat Dawesii conjectura!

ταῦτ' οὐδεπώποτ' εἶφ', ὁρᾷς, Εὐριπίδης.

Melius est, quod dant cod. et Juntina, ὁρᾶτ', numero plurali, quia ad cœtum mulierum directa oratio: tametsi infra eodem sensu dicit ὁρᾷς, v. 496. et 556. In his variari solet numerus: modo mulieres omnes alloquitur, modo eam quæ prius concionata fuit, cujusque dicta refellit. ὁρᾷς sic in parenthesi positum occurrit Nub. 355.

καὶ νῦν ὅτι Κλεισθένη εἶδον, ὁρᾷς, διὰ τοῦτ'
ἐγένοντο γυναῖκες.

Quantum autem a sententia aliena sint vel πεφώρακε vel ἐφιωρᾶτο, ostendit jam

οὐδ' ὡς ὑπὸ τῶν δούλων τε κὠρεωκόμων
σποδούμεθ', ἢν μὴ 'χωμεν ἕτερον, οὐ λέγει·
οὐδ' ὡς, ὅταν μάλισθ' ὑπό του ληκώμεθα
τὴν νύχθ', ἕωθεν σκόροδα διαμασώμεθα,
ἵν' εὐθὺς εἰσιὼν ἀπὸ τοῦ τείχους ἀνὴρ

Dawesius. Ceterum nullus dubito, quin Kusterus, vir doctus et in critica satis exercitatus, si editionem Juntinam inspexisset, de qua ne fando quidem inaudiverat, veram lectionem in ea deprehendisset. Quid enim proclivius quam ex ἐφ' ὁρᾶτ' elicere εἶφ' ὁρᾶτ', una tantum addita literula, quam sensus ipse subministrat, quum mox sequatur ταῦθ', ὁρᾶς, συνώμοσ' εἴπειν, deincepsque ἐπεὶ τόδ' οὐκ εἴρηχ', ὁρᾶς, ὡς—Si quis scriptorum codicum ope destitutus veteris auctoris editionem adornet, quod me judice temerarium est, saltem editionem principem, quæ scripti libri instar esse possit, ad manum habeat.

493. ὑπό του ληκώμεθα. Sic apud Suidam legitur v. ληκώμεθα, cujus glossæ sunt κινώμεθα et βινώμεθα. Illud est in cod. et vett. editt. hoc in recentioribus, nescio quo auctore. Vide Piersonum ad Mœrim p. 6. cui laus debetur deprehensæ apud Suidam istius lectionis. Heysch. ληκὼ, τὸ μόριον. ληκᾶσθαι περαίνεσθαι. Ejusdem est originis verbum λαικάζειν, quod legitur supra 57. et Eq. 167. ἐν Πρυτανείῳ λαικάσεις.

494. ἕωθεν σκόροδα διαμασώμεθα. Pessime interpunctus erat hic locus, et proinde male intellectus: tum claudicabat versus, qui sic vulgo legitur:

τὴν νύχθ' ἕωθεν σκορόδια μασώμεθα.

id est, Kustero interprete, *nocte usque ad mane allia mandimus*. Quod ineptissimum est. Non sane quæ noctem cum mœcho transigebat mulier, ea *nocte usque ad mane* mandebat allia: amatorem hoc pacto procul abegisset: sed postquam ille mane abierat, tum mandebat allia mulier, ut halitu nocturni furti suspicionem amoveret. Vide quo argumento Praxagora evincat se noctu cum mœcho non fuisse. Conc. 524. Quod autem ad græca verba adtinet, certissimam Dawesii emendationem recepi σκόροδα διαμασώμεθα. Confer quæ notavi ad Lys. 408. 1010. Ultimam syllabam nominis σκόροδα absorpsit sequens præpositio, quam postea a verbo suo divulserunt. Adde quod Comico σκορόδια sint, non alliorum quod manditur, capita scilicet, sed caulis et folia. Vide Schol. ad Plut. v. 818. ἀποψώμεσθα—σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.

495. Sic vulgo legitur hic versus:

ἵν' ὀσφραινόμενος ἀνὴρ ἀπὸ τοῦ τείχους εἰσίων.

quod quidvis potius esse dicas, quam iambicum senarium. Kusteri ineptias a Dawesio confutatas referre nihil adtinet. Versum autem sic restituisse sibi visus est eruditus Britannus:

ἵν' ὀσφρόμενος ὡνὴρ ἀπὸ τοῦ τείχους ἰών.

Miror virum naris tam emunctæ non statim odoratum fuisse, quid in vulgata lectione genuinum, quid spurium esset. εἰσιὼν a poëta est, et omnino retinendum: ὀσφραινόμενος ab interpolatore ejiciendum. Hoc ex antiqua interlineari glossa in textum se intrusit, quod ut metrum obruit, ita phrasin frustra onerat. Nam cui rei istud ὀσφραινόμενος vel ὀσφρόμενος addidisset poëta? Estne ad sententiæ perspicuitatem necessarium? nonne satis per se intelligitur *odoratu* maritum percipere uxorem suam allia comedisse, et exinde patrati cujuspiam flagitii suspicionem a se segregare? quo enim alio sensu, aut quo indicio, quove argumento id cognoscere possit,

μηδὲν κακὸν δρᾶν ὑποτοπῆται. ταῦθ᾽, ὁρᾷς,
οὔπώποτ᾽ εἶπεν. εἰ δὲ Φαίδραν λοιδορεῖ,
ἡμῖν τί τοῦτ᾽ ἔστ᾽; οὐδ᾽ ἐκεῖν᾽ εἴρηκέ πω,
ὡς καὶ γυνὴ δεικνῦσα τἀνδρὶ τοὔγκυκλον
ὑπ᾽ αὐγὰς, οἷόν ἐστιν, ἐγκεκαλυμμένον
τὸν μοιχὸν ἐξέπεμψεν, οὐδ᾽ εἴρηκέ πω.
ἑτέραν δ᾽ ἐγᾦδ᾽, ἣ ᾽φασκεν ὠδίνειν γυνὴ
δέχ᾽ ἡμέρας, ἕως ἐπρίατο παιδίον·
ὁ δ᾽ ἀνὴρ περιήρχετ᾽, ὠκυτόκει᾽ ὠνούμενος·
τὸ δ᾽ εἰσέφερε γραῦς ἐν χύτρᾳ τὸ παιδίον,
ἵνα μὴ βοῴη, κηρίῳ βεβυσμένον·
εἶθ᾽, ὡς ἔνευσεν ἡ φέρουσ᾽, εὐθὺς βοᾷ·
᾽Απελθ᾽, ἄπελθ᾽, ἤδη γὰρ, ὦ ᾽νερ, μοὶ δοκῶ
τέξειν. τὸ γὰρ ἦτρον τῆς χύτρας ἐλάκτισε.
χὠ μὲν γεγηθὼς ἔτρεχεν· ἡ δ᾽ ἐξέσπασεν
ἐκ τοῦ στόματος τοῦ παιδίου· τὸ δ᾽ ἀνέκραγεν.

nisi quia domum *ingredientem*, εἰσιόντα, afflat eum diffusus odor allii, quem graviorem adhuc exspirat os mulieris. *Olfaciendi* itaque hoc verbum prorsus est inutile. Hujus ego librario gratiam facio, voculamque, quam longiori cauda everrerat illud glossema, revoco εὐθὺς, et totum versum sic reconcinno, e simili loco supra 395.

ἵν᾽ εὐθὺς εἰσιὼν ἀπὸ τοῦ τείχους ἀνὴρ
μηδὲν κακὸν δρᾶν ὑποτοπῆται.

Meliora adferat, si quis me Comico, tanquam cadaveri, quod impune secare licet, medicinam facere criminetur.

500. ὑπ᾽ αὐγάς. Eurip. Hecuba 1140.

ἥσσον θ᾽, ὑπ᾽ αὐγὰς τούσδε λεύσσουσαι
πέπλους.

501. τὸν μοιχόν. In cod. τὸν μῦχὸν, ut supra 392. τὰς μυχοτρόπους: Juntina τὸν μυχὸν, quod Zanettus retinuit, aliique deinceps usque ad Frobenium, qui recte emendavit μοιχόν. Supra 343. 345. accurata scriptura est hujus nominis in cod. nec in Juntina vitiata. Ut autem hic omnino reponi debuit μοιχὸν, ita illic nihil erat causæ, quin μοιχοτρόπους reponeretur.

502. ἐγᾦδ᾽. Sic recte cod. ut supra 442. ἐγᾦμαι. Perperam vulgo ἐγ᾽ ᾧδ᾽. Vide quæ notavi ad Eurip. Med. 39.

506. Huc pertinet Hesychii glossa: Κηρίῳ βύσαντα. εἰς τὸ στόμα τῶν παίδων ἐτίθεσαν κηρίον, ὑπὲρ τοῦ μὴ βοᾶν, ὁπότε ὑποβάλλοιεν.

509. τὸ γὰρ ἦτρον τῆς χύτρας ἐλάκτισε. Pro χύτρας alios habere μήτρας testatur Scaliger. Quinam sint isti *alii*, nescio. Sane sex vett. editt. et cod. August. χύτρας exhibent, ut et Suidas. Kusterus vero sic ad hunc locum commentatur: *χύτρας præter exspectationem hic dictum est pro μήτρας. Nisi potius legendum sit μήτρας, ut in Excerptis Scaligeranis reperio.* Scilicet ignorabat ille spondeum e quarta senarii sede perpetuo exsulare. Itane metricarum legum imperitum fuisse Aristophanis editorem?

εἶθ' ἡ μιαρὰ γραῦς, ἣ 'φερεν τὸ παιδίον,
θεῖ μειδιῶσα πρὸς τὸν ἄνδρα, καὶ λέγει·
Λέων, λέων σοι γέγονεν, αὔτ' ἔκμαγμα σόν·
τά τ' ἄλλ' ἁπαξάπαντα, καὶ τὸ πόσθιον
τῷ σῷ προσόμοιον, στρεβλὸν, ὥσπερ κύτταρον.
ταῦτ' οὐ ποιοῦμεν τὰ κακά; νὴ τὴν Ἄρτεμιν,
ἡμεῖς γε. κᾆτ' Εὐριπίδῃ θυμούμεθα,
οὐδὲν παθοῦσαι μεῖζον, ἢ δεδράκαμεν;

Χο. ταυτὶ μέντοι θαυμαστὸν,
ὁπόθεν εὑρέθη τὸ χρῆμα,
χ' ἥτις ἐξέθρεψε χώρα
τήνδε τὴν θρασεῖαν οὕτω.
τάδε γὰρ εἰπεῖν τὴν πανοῦργον
κατὰ τὸ φανερὸν ὧδ' ἀναιδῶς,
οὐκ ἂν ᾠόμην ἐν ἡμῖν οὐδὲ τολμῆσαί ποτ' ἄν.
ἀλλ' ἅπαν γένοιτ' ἂν ἤδη·
τὴν παροιμίαν δ' ἐπαινῶ
τὴν παλαιάν· ὑπὸ λίθῳ γὰρ
παντί που χρὴ, μὴ δάκῃ ῥήτωρ, ἀθρεῖν.
ἀλλ' οὐ γάρ ἐστι τῶν ἀναισχύντων φύσει γυναικῶν
οὐδὲν κάκιον εἰς ἅπαντα, πλὴν ἄρ' ἢ γυναῖκες.

Γ. γ'. οὔ τοι μὰ τὴν Ἄγλαυρον, ὦ γυναῖκες, εὖ φρονεῖτε,

512. ἣ 'φερεν τὸ παιδίον. Vulgo ἣ ἔφερε, mendose; quia prima verbi syllaba elidi debet, sicque ultima vacillat versus. Infra 1218. vulgo etiam bene legitur:

τὴν γραῦν ἐρωτᾷς, ἣ 'φερεν τὰς πηκτίδας; ad quem modum hujus loci scriptura reformari debuit.

514. αὔτ' ἔκμαγμα σόν. Sic liquido cod. quod recte post Bisetum Kusterus e Suida in λέων et πόσθιον: e Polluce ix. 131. Eustathio ad Odyss. p. 1857. l. 16. in textu reposuit. Antea e Juntina legebatur αὔτ' εἶγμα σόν.

529. Allusio ad vetus scolion, quod exstat in minori nostra Anacreontis editione p. 88.

533. Ἄγλαυρον. Vulgo in libris impressis et cod. Ἄγραυλον sed mendosa scriptura est: Ἄγλαυρον. Hesych. Ἄγλαυρος, θυγάτηρ Κέκροπος. παρὰ δὲ Ἀττικοῖς καὶ ὀμνύουσι κατ' αὐτῆς. ἦν δὲ ἱέρεια τῆς Ἀθηνᾶς. Ad quam glossam vide Interpretes. Agraulos Cecropis uxor cum filia Aglauro sæpe confusa; proclivis error in duarum literarum transpositione. Vide Musgravium ad Eurip. Ion. 23. Per Aglauron Cecropis et Agrauli filiam jurabant Atticæ mulieres. Incogitanter in versione Ku-

ἀλλ' ἢ πεφάρμαχθ', ἢ κακόν τι μέγα πεπόνθατ' ἄλλο,
ταύτην ἐῶσαι τὴν φθόρον τοιαῦτα περιυβρίζειν
ἡμᾶς ἁπάσας. εἰ μὲν οὖν τις ἔστιν---εἰ δὲ μὴ, ἡμεῖς,
αὐταί γε καὶ τὰ δουλάρια, τέφραν ποθὲν λαβοῦσαι,
ταύτης ἀποψιλώσομεν τὸν χοῖρον, ἵνα διδαχθῇ
γυνὴ γυναῖκας οὖσα μὴ κακῶς λέγειν τὸ λοιπόν.

Μν. μὴ δῆτα τόν γε χοῖρον, ὦ γυναῖκες. εἰ γὰρ, οὔσης
παῤῥησίας, κἀξὸν λέγειν ὅσαι πάρεσμεν ἀσταὶ,
εἶτ' εἶπον ἃ 'γίγνωσκον ὑπὲρ Εὐριπίδου δίκαια,
διὰ τοῦτο τιλλομένην με δεῖ δοῦναι δίκην ὑφ' ὑμῶν;

Γ. γ'. οὐ γάρ σε δεῖ δοῦναι δίκην; ἥτις μόνη τέτληκας

steri interpretationem retinui *Agraulam*, quo nomine ille perperam intelligit *Dianam agrestem*. Vide Maussacum ad Harpocrationem in περίπολος. Saltem oportebat *Agraulon*. At vero repone *Aglauron*. Ovidius Metam. ii. 777.

> Pars secreta domus ebore et testudine cultos
> tres habuit thalamos, quorum tu, *Pandrose*, dextrum,
> *Aglauros* lævum, medium possederat *Herse*.

Nomina sunt trium Cecropis et Agrauli filiarum, quas a matre Euripides appellat παρθένους Ἀγραυλίδας. Pausanias Attic. c. 18. ὑπὲρ δὲ τῶν Διοσκούρων τὸ ἱερὸν, Ἀγλαύρου τέμενός ἐστιν. Ἀγλαύρῳ δὲ καὶ ταῖς ἀδελφαῖς Ἕρσῃ καὶ Πανδρόσῳ, δοῦναι φασὶν Ἀθηνᾶν Ἐριχθόνιον, καθεῖσαν ἐς κιβωτὸν, ἀπειποῦσαν εἰς τὴν παρακαταθήκην μὴ πολυπραγμονεῖν. Πάνδροσον μὲν δὴ λέγουσι πιθέσθαι· τὰς δὲ δύο, ἀνοῖξαι γὰρ σφᾶς τὴν κιβωτὸν, μανῆναί τε, ὡς εἶδον τὸν Ἐριχθόνιον, καὶ κατὰ τῆς ἀκροπόλεως, ἔνθα ἦν μάλιστα ἀπότομον, αὐτὰς ῥίψαι. In Aglauri templo ephebi, postquam Lexiarchico inscripti fuerant, sacramentum dicebant, cujus formula legitur in Sam. Petiti Leg. Att. p. 231.

533. Ut per Aglauron, ita etiam per illius sororem Pandroson jurabant Atticæ mulieres, quod constat e Lys. v. 439. εἶτ' ἄρα, νὴ τὴν Πάνδροσον—ad quem locum Scholiastes: θυγατέρες Κέκροπος Πάνδροσος καὶ Ἀγραύλη. (scr. Ἄγλαυρος) ἐκ τῆς Πανδρόσου δὲ καὶ ἡ Ἀθηνᾶ Πάνδροσος καλεῖται.

536. Post verba εἰ μὲν οὖν τις ἔστιν, aliquid suppleri debet. Schema est ἀνανταπόδοτον, de quo præter Kusterum ad Pl. 468. videndus Kœnius ad Corinthum p. 19.

541. ὅσαι πάρεσμεν ἀσταί. Sic liquido codex, optime. Vulgo satis inepte, ὅσαι πάρεσμεν αὐταί. Alibi ἀστὸς et αὐτὸς male commutata fuerunt: exemplo sit Eurip. Or. 902. αὐταὶ hic defendi non potest e Spanhemii observatione ad Nub. 219. *αὐτὸν pro cive subinde dictum, intuitu inquilinorum et sociorum:* cujus rei in exemplum adducit locum ex Acharn. v. 504. seqq. Nam hic nec ξένων nec μετοίκων mentio ulla est, quorum ex oppositione intelligi possit αὐταὶ cives significare.

542. ἃ 'γίγνωσκον. Crasis est, non elisio: ideo excudi debuit conjunctim ἃ'γίγνωσκον. Vocales breves ᾰ ἐ in ᾱ longum coalescunt: alioqui recto talo non insisteret versus. Sic alibi excudi curavi, ut Nub. 1463.

> οὐ γάρ μ' ἐχρῆν τὰ χρήμαθ', ἁ'δανεισάμην.

ὑπὲρ ἀνδρὸς ἀντειπεῖν, ὃς ἡμᾶς πολλὰ κακὰ δέδρακεν,
ἐπίτηδες εὑρίσκων λόγους, ὅπου γυνὴ πονηρὰ
ἐγένετο, Μελανίππας ποιῶν, Φαίδρας τε· Πηνελόπην δὲ
οὐπώποτ' ἐποίησεν, ὅτι γυνὴ σώφρων ἔδοξεν εἶναι.

Μν. ἐγὼ γὰρ οἶδα ταἴτιον. μίαν γὰρ οὐκ ἂν εἴποις
τῶν νῦν γυναικῶν Πηνελόπην, Φαίδρας δ' ἁπαξαπάσας.

Γ. γ'. ἀκούετ' ὦ γυναῖκες, οἷ' εἴρηκεν ἡ πανοῦργος
ἡμᾶς ἁπάσας αὖθις αὖ.

Μν. καὶ νὴ Δί' οὐδέπω γε
εἴρηχ', ὅσα ξύνοιδ'· ἐπεὶ βούλεσθε πλεῖον εἴπω;

Γ. γ'. ἀλλ' οὐκέτ' ἂν ἔχοις· ὅσα γὰρ ᾔδεις ἐξέχεας ἅπαντα.

Μν. μὰ τὸν Δί' οὐ τὴν μυριοστὴν μοῖραν, ὧν ποιοῦμεν.
ἐπεὶ τόδ' οὐκ εἴρηχ', ὁρᾷς, ὡς στλεγγίδας λαβοῦσαι
ἔπειτα σιφωνίζομεν τὸν οἶνον.

Γ. γ'. ἐπιτριβείης.

546. ἐπίτηδες εὑρίσκων. Vulgo ἐξεπίτηδες, quod mendosum esse nemo non vidit. Sublevandus erat versus inutili gravatus syllaba.

549. μίαν γὰρ οὐκ ἂν εἴποις. Vulgo manifesta menda οὐκ ἄρ' εἴποις. Perspicue cod. οὐκ ἄν, quod etiamsi ille non subministrasset, reposuissem tamen.

553. ἐπεὶ βούλεσθε πλεῖον εἴπω; interrogative. Græcorum vim non exprimit latina versio: *quapropter, si vultis, plura dicam.* Vertendum erat: *Sin aliter creditis, vultisne plura dicam?* In ista loquendi formula ἐπεὶ elliptice adhibetur.

554. ἀλλ' οὐκέτ' ἂν ἔχοις, supple εἰπεῖν: et ἔχοις accipe pro δύναιο. Sic Lys. 565. ex mea emendatione πῶς οὖν ἕξετε παῦσαι: Nihil notius hac potestate verbi ἔχειν. Lucianus tom. i. p. 746. πόθεν ἔχεις εἰδέναι; *unde potes scire?* p. 445. οὐκέτ' ἂν εἰπεῖν ἔχοις, *dicere nequeas.*—ὅσα γὰρ ᾔδεις. E puriori Atticismo excudi debuit ᾔδης. Vide notata ad Nub. 329.

555. μὰ τὸν Δί' οὐ τὴν μυριοστήν. Haud sane difficile erat labefactatum hujus versus metrum reparare, cujus vitium editores omnes fugit: nihil enim in eum a quoquam adnotatum reperio. In cod. ut in vett. edit. μὰ Δί' οὐδὲ τὴν μυριοστήν: in recentioribus nescio quo auctore, sed nihilo melius, μὰ Δία οὐδὲ τὴν—

557. σιφωνίζειν τὸν οἶνον. Vulgo ineptissime τὸν σῖτον. Kustero reponenti οἶνον adstipulantur Berglerus et Reiskius posthabita etiam Suidæ auctoritate, merito. At in interpretatione nominis στελγγίδας hærent viri docti, nec prorsus intelligunt quem strigil præbeat usum hauriendo e doliis vino. Sane στλεγγὶς ea sui parte qua stringit, cutemque abradit, instrumentum est huic fraudi haud apprime utile: sed pars illa stringens aptata erat manubrio satis longo et cavo, quo facile, tanquam siphone, mulieres uti poterant. Hoc primum: estque hæc interpretatio ita probabilis, ut, etiamsi nulla alia suppeteret, ab hoc στλεγγίδας suspicionem omnem vitii amoliri deberet. Sed præterea aliud quid hoc nomen significat, a sen-

Μν. ὥστ' αὖ τὰ κρέ' ἐξ Ἀπατουρίων ταῖς μαστροποῖς διδοῦσαι,
ἔπειτα τὴν γαλῆν φαμὲν - - -
Γ. γ'. τάλαιν' ἐγώ, φλυαρεῖς.
Μν. οὐδ' ὡς τὸν ἄνδρα τῷ πελέκει γυνὴ κατεσπόδησεν,
οὐκ εἶπον· οὐδ' ὡς φαρμάκοις ἑτέρα τὸν ἄνδρ' ἔμηνεν,
οὐδ' ὡς ὑπὸ τῇ πυέλῳ κατώρυξέν ποτ' - - -
Γ. γ'. ἐξόλοιο.
Μν. Ἀχαρνικὴ τὸν πατέρα.
Γ. γ'. ταυτὶ δῆτ' ἀνέκτ' ἀκούειν;
Μν. οὐδ' ὡς σύ, τῆς δούλης τεκούσης ἄῤῥεν', εἶτα σαυτῇ
τοῦθ' ὑπεβάλου· τὸ σὸν δὲ θυγάτριον παρῆκας αὐτῇ.
Γ. γ'. οὔ τοι, μὰ τὼ θεώ, σὺ καταπροίξει λέγουσα ταυτί·
ἀλλ' ἐκποκιῶ σου τὰς ποκάδας.
Μν. οὔποτε μὰ Δία σύ γ' ἅψει.
Γ. γ'. καὶ μὴν ἰδού.
Μν. καὶ μὴν ἰδού.
Γ. γ'. λαβὲ θοἰμάτιον, Φιλίστη.
Μν. πρόσθες μόνον, κἀγώ σε, νὴ τὴν Ἄρτεμιν - - -
Γ. γ'. τί δράσεις;
Μν. τὸν σησαμοῦνθ', ὃν κατέφαγες, τοῦτόν σε χέσειν ποιήσω.

tentia hujus loci minime alienum. Nempe fuit quoddam muliebre capitis ornamentum *στλιγγὶς* appellatum: aurea erat bractea, quæ facile in culmi formam cogi poterat, ut ea, tanquam fistula, mulieres vinum traherent. Hujus rei auctor est Scholiastes Comici ad Eq. 577. descriptus a Suida in *στλιγγίς*. *Καλεῖται δὲ στλιγγὶς, καὶ χρυσοῦν ἔλασμα τὸ περὶ τῇ κεφαλῇ τῶν γυναικῶν.* Quod vero addit, vel priorem nostram interpretationem stabilit, vel tertiæ fundamentum substernit: *ἡ δὲ στλιγγὶς τῶν πρὸς ἄλλο τι. οὐ γὰρ πρὸς τὸ περιξύεσθαι ἄν τις αὐτῇ χρήσαιτο μόνον, ἀλλὰ καὶ πρὸς τὸ ὕδωρ ἀρύσασθαι.* Si cui deinceps negotium facessat istud *στλεγγίδας*, haud sane erit, quia nesciet quid significare possit, sed quia dubius hærebit, quamnam e variis significationibus eligat.

558. *κρέ' ἐξ Ἀπατουρίων.* Sic distincte cod. recte. Sed perperam in eo scriptum *ὡς ταῦτα.* In Juntina *ὥστ' αὐτὰ κρὲξ Ἀπ.* Melius Zanettus *ὥστ' αὖ τὰ κρέ' ἐξ Ἀπ.* Nondum accurate hic locus excusus fuerat. Quod ad rem ipsam attinet, videndus Meursius Gr. Fer. in *Ἀπατούρια.*

567. *οὔποτε μὰ Δία σύ γ' ἅψει.* Sic legendum, ut recto talo versus insistat, syllaba vulgo vacillans, *οὐδὲ μὰ Δία σύ γ' ἅψει.*

568. *Φιλίστη.* Sic bene cod. Vulgo *Φιλήστη.*

570. *τοῦτόν σε χέσειν ποιήσω.* Pro-

Χο. παύσασθε λοιδορούμεναι. καὶ γὰρ γυνή τις ὑμῖν
ἐσπουδακυῖα προστρέχει. πρὶν οὖν ὁμοῦ γενέσθαι,
σιγᾶθ', ἵν' αὐτῆς κοσμίως πυθώμεθ' ἅττα λέξει.
Κλ. φίλαι γυναῖκες, ξυγγενεῖς τοῦ 'μοῦ τρόπου,
ὅτι μὲν φίλος εἴμ' ὑμῖν, ἐπίδηλος ταῖς γνάθοις.
γυναικομανῶ γὰρ, προξενῶ θ' ὑμῶν ἀεί.
καὶ νῦν ἀκούσας πρᾶγμα περὶ ὑμῶν μέγα
ὀλίγῳ τι πρότερον κατ' ἀγορὰν λαλούμενον,
ἥκω φράσων τοῦτ', ἀγγελῶν θ' ὑμῖν, ἵνα
σκοπῆτε, καὶ τηρῆτε, μή τι προσπέσῃ
ὑμῖν ἀφράκταις πρᾶγμα δεινὸν καὶ μέγα.
Χο. τί δ' ἐστὶν, ὦ παῖ; παῖδα γάρ σ' εἰκὸς καλεῖν,
ἕως ἂν οὕτως τὰς γνάθους ψιλὰς ἔχῃς.
Κλ. Εὐριπίδην φάσ' ἄνδρα κηδεστήν τινα
αὑτοῦ, γέροντα, δεῦρ' ἀναπέμψαι τήμερον.
Χο. πρὸς ποῖον ἔργον, ἢ τίνος γνώμης χάριν;
Κλ. ἵν' ἅττα βουλεύοισθε καὶ μέλλοιτε δρᾷν,
ἐκεῖνος εἴη τῶν λόγων κατάσκοπος.
Χο. καὶ πῶς λέληθεν ἐν γυναιξὶν ὢν ἀνήρ;
Κλ. ἀφεύσεν αὐτὸν κἀπέτιλλ' Εὐριπίδης,
καὶ τἄλλ' ἅπανθ' ὥσπερ γυναῖκ' ἐσκεύασε.
Μν. πείθεσθε τούτῳ ταῦτα; τίς δ' οὕτως ἀνὴρ
ἠλίθιος, ὅστις τιλλόμενος ἠνείχετ' ἄν;
οὐκ οἴομαι 'γωγ', ὦ πολυτιμήτω θεώ.

nomen τι, quod exciderat, salva loquendi ratione abesse non potest.

571. γυνή τις ὑμῖν. Sic plene et perspicue cod. recte. Vulgo ὑμᾶς. Scripturæ compendia, quibus utebantur librarii, maxime in ultimis vocum syllabis, multos pepererunt errores.

580. σκοπῆτε, καὶ τηρῆτε. Perperam cod. et vett. editt. σκοπεῖτε καὶ τηρεῖτε. Illud jam repositum observo in priore Batava.—μή τι προσπέσῃ. Sic bene Kuster. in notis: inconcinne vulgo καὶ μὴ προσπέσῃ.

581. ὑμῖν ἀφράκτοις. Sic bene cod. Vulgo ἡμῖν.

593. ὅστις τιλλόμενος ἠνείχετ' ἄν; qui sibi pilos evelli pateretur? Hic est sensus quem perceperunt interpretes omnes; sed quem e vulgatis elicere non poterant, ὅστις τιλλόμενος ἠνείχετο; Valet hoc, *qui sibi pilos evelli passus est*. Infinita sunt exempla omissæ a librariis particulæ ἄν, maxime in versuum fine. Vide supra 196. Lys. 141. 301.

594. οὐκ οἴομαι 'γωγ'. Vulgo claudicante versu, οὐκ οἴομ' ἔγωγ', male clisa.

Κλ. ληρεῖς. ἐγὼ γὰρ οὐκ ἂν ἦλθον ἀγγελῶν,
εἰ μὴ 'πεπύσμην ταῦτα τῶν σάφ' εἰδότων.
Χο. τὸ πρᾶγμα τουτὶ δεινὸν εἰσαγγέλλεται.
ἀλλ', ὦ γυναῖκες, οὐκ ἐλινύειν ἐχρῆν,
ἀλλὰ σκοπεῖν τὸν ἄνδρα, καὶ ζητεῖν ὅπου
λέληθεν ἡμᾶς κρυπτὸς ἐγκαθήμενος.
καὶ σὺ ξυνέξευρ' αὐτὸν, ὡς ἂν τὴν χάριν
ταύτην τε κἀκείνην ἔχῃς, ὦ πρόξενε.
Κλ. φέρ' ἴδω· τίς ἡ πρώτη σύ;
Μν. ποῖ τις τρέψεται;
Κλ. ζητητέαι γὰρ ἐστέ.
Μν. κακοδαίμων ἐγώ.
Γυ. δ'. ἔμ', ἥτις, ἦρου;
Κλ. ναί.
Γυ. δ'. Κλεωνύμου γυνή.
Κλ. γιγνώσκεθ' ὑμεῖς, ἥτις ἔσθ' ἥδ' ἡ γυνή.
Χο. γιγνώσκομεν δῆτ'. ἀλλὰ τὰς ἄλλας ἄθρει.

diphthongo, quum vocalis brevis seq. vocis elidi debebat. Vide supra ad 217. Lys. 934.

596. ταῦτα τῶν. Perperam vulgo ταυτὶ τῶν, spondeo quartam senarii sedem occupante.

598. ἐλινύειν unico ν scriptum in cod. ut illud exhibent editiones omnes. ἐλιννύειν enotatum nescio unde in Scaligeri excerptis. Præter ea quæ notavi ad Æschyli Prom. 53. et ad Apollonium i. 862. vide Heynii, elegantissimæ doctrinæ viri, notam ad Pindari Nem. v. 2.

600. λέληθεν ἡμᾶς. Sic bene et perspicue scriptum in cod. Vulgo ὑμᾶς. Rursus commutata pronomina, quorum confusio in libris fere perpetua est.

601. καὶ σὺ ξυνέξευρ' αὐτὸν. Perperam vulgo, metro vacillante, συνέξευρ'. Supra 553. bene editum εἴρηχ' ὅσα ξύνοιδ'—Atticum ξὺν, quod aliquoties diligentiam nostram fugit, ubique Aristophani reddendum, nisi si præcedens vocalis e metri lege corripi debeat. Præstat hoc Toupii commento prolato ad Suidam iii. 83. καὶ σὺ συνανέξευρ' αὐτόν.

603. τίς ἡ πρώτη σύ; Sic recte cod. Vulgo τίς εἶ πρώτη σύ; Articulus hic omnino necessarius: at verbum bene subauditur. εἰ et η millies commutata.—Verba ποῖ τις τρέψεται; et mox κακοδαίμων ἐγὼ, secum Mnesilochus dicit ad spectatores conversus, quæ ab aliis scenæ personis non exaudiri fingitur.

605. ἔμ', ἥτις, ἦρου; Sic bene edidit Zanettus. Juntina, ut in cod. est, habet ἔμ' εἴτις ἦρου; quam lectionem servarunt Basileenses et minores Batavæ. Meliorem adsumsit Kusterus e Parisina Wecheli: nam Venetas non noverat magis quam Juntinam.—Vulgo exciderat vocula ναὶ, quæ huic loco nonnihil addit leporis, et metrum sartum tectumque præstat. In cod. post ἔμ' εἴτις ἦρου picta

Κλ. ἡδὶ δὲ δὴ τίς ἐστιν, ἡ τὸ παιδίον
ἔχουσα;
Γυ. δ'. τίτθη, νὴ Δί', ἐμή.
Μν. διοίχομαι.
Κλ. αὕτη σὺ, ποῖ στρέφει; μέν' αὐτοῦ. τί τὸ κακόν;
Μν. ἔασον οὐρῆσαί μ'.
Κλ. ἀναίσχυντός τις εἶ.
σὺ δ' οὖν ποίει τοῦτ'. ἀναμένω γὰρ ἐνθάδε.
Χο. ἀνάμενε δῆτα, καὶ σκόπει γ' αὐτὴν σφόδρα.
μόνην γὰρ αὐτὴν, ὦ ̓νερ, οὐ γιγνώσκομεν.
Κλ. πολύν γε χρόνον οὐρεῖς σύ.
Μν. νὴ Δί', ὦ μέλε,
στραγγουριῶ γάρ· ἐχθὲς ἔφαγον κάρδαμα.
Κλ. τί καρδαμίζεις; οὐ βαδιεῖ δεῦρ' ὡς ἐμέ;
Μν. τί δῆτά μ' ἕλκεις ἀσθενοῦσαν;
Κλ. εἰπ' ἐμοὶ,
τίς ἔστ' ἀνήρ σοι;
Μν. τὸν ἐμὸν ἄνδρα πυνθάνει;
τὸν δεῖνα γιγνώσκεις, τὸν ἐκ Κοθωκιδῶν;
Κλ. τὸν δεῖνα; ποῖον; ἔσθ' ὁ δεῖν', ὃς καί ποτε---
Μν. τὸν δεῖνα, τὸν τοῦ δεῖνα.
Κλ. ληρεῖν μοι δοκεῖς.
ἀνῆλθες ἤδη δεῦρο πρότερον;
Μν. νὴ Δία,
ὅσ' ἔτη γε.

lineola mutatæ personæ index: tum sequuntur verba Κλεωνύμου γυνὴ, quæ tamen ab eadem muliere proferuntur ac superiora illa. Manifestum est, inter duo ista commata mediam olim fuisse voculam, diversæ personæ tributam, quæque versum explebat. Est ipsissimum illud καὶ a me repositum, quo Clisthenes mulieris quæstioni respondet. Satis inepto fulcro versum sustentabat Kusterus, particulam γε post ἦρου inserendo.

609. διοίχομαι. Hoc secum dicens Mnesilochus abscedit, ut qui e templo clam elabi meditetur: sed a Clisthene revocatur.

610. τί τὸ κακόν; Hæc verba in cod. ut vulgo, eidem personæ continuata, Mnesilocho tributa non male sic cohærerent, τί τὸ κακόν; ἔασον οὐρῆσαί μ'.

611. ἀναίσχυντός τις εἶ. Sic optime Kusterus in notis. Vulgo omissa vocula τις cum versus labe.

623. νὴ Δία, ὅσ' ἔτη γε. Sunt ista

Κλ. καὶ τίς σοῦ 'στι συσκηνήτρια;
Μν. ἡ δεῖν' ἔμοιγ'.
Κλ. οἴ μοι τάλας, οὐδὲν λέγεις.
Γυ. ε'. ἄπελθ'. ἐγὼ γὰρ βασανιῶ ταύτην καλῶς
ἐκ τῶν ἱερῶν τῶν πέρυσι· σὺ δ' ἀπόστηθί μοι,
ἵνα μὴ 'πακούσῃς ὢν ἀνήρ. σὺ δ' εἰπ' ἐμοὶ,
ὅ τι πρῶτον ἡμῖν τῶν ἱερῶν ἐδείκνυτο.
φέρ' ἴδω, τί πρῶτον ἦν;
Μν. τί πρῶτον; ἐπίνομεν.
Γυ. ε'. τί δὲ μετὰ τοῦτο δεύτερον;
Μν. προὐπίνομεν.
Γυ. ε'. ταυτὶ μὲν ἤκουσάς τινος· τί δὲ τὸ τρίτον;
Μν. σκάφιον Ξένυλλ' ᾔτησεν· οὐ γὰρ ἦν ἀμίς.
Γυ. ε'. οὐδὲν λέγεις. δεῦρ' ἐλθὲ, δεῦρ', ὦ Κλείσθενες·

omnia Mnesilochi, ne minima quidem interpunctione in cod. distincta. Absurde vulgo verba ἔτ' ἴτη γε Clistheni tribuuntur, quærenti, juxta Kusteri interpretationem, *Quot sunt anni?*

630. Vulgo sic legitur hic versus:

φέρ' ἴδω, τί πρῶτον ἦν;—ἐπίνομεν.

toto deficiente pede. Poëtæ manum restituimus.

φέρ' ἴδω, τί πρῶτον ἦν;—τί πρῶτον; ἐπίνομεν.

Sic solent ad interrogationem responsuri, quæstionem repetere. Ran. 198. quærenti Charoni οὗτος, τί ποιεῖς; respondet Bacchus: ὅ τι ποιῶ; τί δ' ἄλλο γ' ἤ—Nub. 1248. quærenti Strepsiadi τουτὶ τί ἐστι; respondet Pasias: τοῦθ' ὅ τι ἐστί; κάρδοπος. Ibid. 787. quærenti Socrati τί δή γε πρῶτον ἐδιδάσκου; λέγε. respondet Strepsiades:

φέρ' ἴδω, τί μέντοι πρῶτον ἦν; τί πρῶτον ἦν.

qui locus hujusce geminus est et simillimus. Sæpissime contigit, ut repetitas ab auctore voces librarii semel tantum ponerent; cujus omissionis exemplum enotatum in Lys. 831.

632. τί δὲ τὸ τρίτον; Perperam vulgo τί δὲ τρίτον, metro vacillante, quia δὲ ante τρ produci non potest, ut observavi supra 450. et ad Lys. 613. Quia in præcedentibus nude πρῶτον, δεύτερον, sine articulo videbat librarius, hic etiam eum omisit.

632. Quam huic versui medelam feci, eadem summus Bentleius Menandri restituit senarium, Emend. lv. p. 26.

ἢ ταῖς ἀνάγκαις, ἢ τὸ τρίτον ἴθει τινί.

ubi articulus itidem exciderat, metrumque fulserat Grotius inserta particula γε.

633. σκάφιον Ξένυλλ' ᾔτησεν· οὐ γὰρ ἦν ἀμίς. Hunc versum citat Pollux x. 45. e Comici Polyido, forte memoriæ lapsu: potuit tamen in binis fabulis exstare. Quod autem rebatur Bisetus, e Polluce scripturam hujus loci reformandam esse, et pro vulgato σκάφιον ξένη μ' ᾔτησεν, legi debere σκάφιον Ξένυλλ' ᾔτησεν, id certissimum est. Impressorum enim librorum corrupta est lectio: alteram liquido cod. exhibet ξένυλλ' ᾔτησεν. Superducta transversa lineola indicat nomen esse proprium, quod verum est.

ὅδ᾽ ἐστὶν ὡνὴρ, ὃν λέγεις.
Κλ. τί οὖν ποιῶ;
Γυ. ε΄. ἀπόδυσον αὐτόν· οὐδὲν ὑγιὲς γὰρ λέγει.
Μν. κἄπειτ᾽ ἀποδύσετ᾽ ἐννέα παίδων μητέρα;
Κλ. χάλα ταχέως τὸ στρόφιον, ὦ ᾽ναίσχυντε σύ.
Γυ. ε΄. ὡς καὶ στιβαρά τις φαίνεται καὶ καρτερά·
καὶ, νὴ Δία, τιτθούς γ᾽, ὥσπερ ἡμεῖς, οὐκ ἔχει.
Μν. στεριφὴ γάρ εἰμι, κοὐκ ἐκύησα πώποτε.
Γυ. ε΄. νῦν; τότε δὲ μήτηρ ἦσθα παίδων ἐννέα.
Κλ. ἀνίστασ᾽ ὀρθός. ποῖ τὸ πέος ὠθεῖς κάτω;
Γυ. ε΄. τόδ᾽, ἰδοὺ, ἔκυψε, καὶ μάλ᾽ εὔχρων, ὦ τάλαν.
Κλ. καὶ ποῦ ᾽στιν;
Γυ. ε΄. αὖθις ἐς τὸ πρόσθεν οἴχεται.
Κλ. οὐκ ἔν γε ταυθί.
Γυ. ε΄. ἀλλὰ δεῦρ᾽ ἥκει πάλιν.
Κλ. ἰσθμόν τιν᾽ ἔχεις, ἄνθρωπ᾽· ἄνω τε καὶ κάτω
τὸ πέος διέλκεις πυκνότερον Κορινθίων.
Γυ. ε΄. ὁ μιαρὸς οὗτος ταῦτ᾽ ἄρ᾽ ὑπὲρ Εὐριπίδου

635. ὅδ᾽ ἐστὶν ὡνὴρ, ὃν λέγεις. Vulgo minus bene ἀνὴρ, omisso articulo.

642. νῦν; τότε δὲ μήτηρ—Vulgo laborat hic versus interpunctionis et metri vitio. Impressi omnes δὴ pro δὲ habent. Hoc ad codicis fidem reposuimus, in quo etiam bene post νῦν distinctum: sed hoc præstat interrogative efferri. De metri vitio silent Kusterus et Berglerus. Hunc quidem id non animadvertisse, nihil est quod mirer: at illum Scaligeri excerpta, quibus utebatur, sagaciorem reddere poterant. In iis enotatum νῦν δέ· τότε δὲ—vel νῦν δή· τότε δὴ μήτηρ—quarum lectionum prior vulgata melior, altera deterior adhuc est.

644. Personis hoc loco absurdum in modum divisæ erant loquendi vices: v. 638. mulieri perperam tribuitur; ad Clisthenis partes pertinet, cui demandatum munus Mnesilochum arguendi. Dixerat ei mulier ἀπόδυσον αὐτόν. Tum ille pro imperio Mnesilochum jubet fasciam solvere: postea rursus eum jubet surgere rectumque stare. V. ἀνίστασ᾽ ὀρθὸς Clistheni adscribi debuit: sequens totus est mulieris: in cod. uni personæ tributus est, sed male, ut vulgo, τοδὶ δὴ ἔκυψε scriptum est. Metrum et sensus flagitant, id quod reposuimus, τόδ᾽, ἰδοὺ, ἔκυψε.

645. αὖθις ἐς τὸ πρόσθεν οἴχεται. Mallem ἐς τὸ νέρθεν, quod res ipsa flagitare videtur.

647. Hic versus in codicis contextu omissus, in margine ab eadem manu adscriptus est. Bene eum a Biseto monitus Kusterus e Suida in Ἰσθμὸς Comico restituit; sed quod eum uncis inclusit, id minime probandum est. Corinthii, ne totam Peloponnesum circumna-

ἡμῖν ἐλοιδορεῖτο.
Μν. κακοδαίμων ἐγώ,
εἰς οἷ᾽ ἐμαυτὸν εἰσεκύλισα πράγματα.
Γυ. ε΄. ἄγε δή, τί δρῶμεν;
Κλ. τουτονὶ φυλάττετε
καλῶς, ὅπως μὴ διαφυγὼν οἰχήσεται·
ἐγὼ δὲ ταῦτα τοῖς Πρυτάνεσιν ἀγγελῶ.

Χορός.

ἡμᾶς τοίνυν μετὰ τοῦτ᾽ ἤδη τὰς λαμπάδας ἁψαμένας χρὴ
ξυζωσαμένας τ᾽ εὖ κἀνδρείως, τῶν θ᾽ ἱματίων ἀποδύσας,
ζητεῖν εἴ που κἄλλος τις ἀνὴρ ἐσελήλυθε, καὶ περιθρέξαι
τὴν πνύκα πᾶσαν, καὶ τὰς σκηνάς, καὶ τὰς διόδους διαθρῆσαι,
Ημ. εἶα δὴ πρώτιστα μὲν χρὴ κοῦφον ἐξορμᾶν πόδα,

vigare cogerentur, naves machinis traducebant per Isthmum ab uno mari ad alterum. Sic intelligi debet vetus Scholiastes, cujus ad hunc locum verba descripsit Suidas: ἐπεὶ τὰς ναῦς διὰ τοῦ ἰσθμοῦ εἷλκον οἱ Κορίνθιοι, ὥστε μὴ περιέρχεσθαι. τοῦτο δὲ διϊσθμονίσαι ἐκάλουν. Dicebatur etiam διϊσθμεῖν, ὑπερισθμεῖν, ὑπερνεωλκεῖν, quorum verborum exempla apud Polybium reperiuntur. Male hoc de fossa accepit Kusterus, quum terrestri via navium illa traductio fieri soleret.

651. εἰσεκύλισα. Cod. ut vett. editt. perperam εἰσεκύλησα. Non magis hic quam infra 767. emendari debuit εἰσεκύκλησα.

652. τουτονὶ φυλάττετε. Quis non videt ista in Clisthenis partes transferri debuisse? Absurde vulgo mulieri continuantur. At bene in cod. distincta sunt: post τί δρῶμεν ducta lineola mutatæ personæ index.

653. ὅπως μὴ διαφυγὼν οἰχήσεται. Vulgo deficiente syllaba οἴχεται, quod e scripturæ compendio ortum videtur. Genuinam lectionem certissime restituit Dawesius. Vesp. 51.

ἀρθεὶς ἀφ᾽ ἡμῶν ἐς κόρακας οἰχήσεται.

De his Atticis futuris dictum ad Lys. 459.

654. τοῖς Πρυτάνεσιν. Sic bene cod. Vulgo poëtica forma Πρυτάνεσσιν, quæ ne metro quidem sustentando necessaria est.

655. μετὰ τοῦτ᾽. Sic cod. et editt. omnes præter novissimam, in qua, nescio unde, ἐπὶ τοῦτ᾽.

658. τὴν πνύκα. Male cod. ut Juntina, τὴν πύκνα. Legitimam scripturam reposuit Zanettus et enotavit in Excerptis Scaliger. Suavis est ad hunc locum Kusterus, qui librariorum errores, ubique corrigendos, in exemplum trahit, ut probet e recto πνὺξ declinari casus obliquos πυκνὸς, πυκνὶ, πύκνα, quod absurdum est. In Pnyce, de qua videndus Meursius Ath. Att. ii. 9. habebantur populi conciones: ideo templum in quo tunc concioni habendæ congregatæ erant mulieres, facete Comicus Pnycem appellat; διαθρῆσαι. Sic Kusterus in notis bene. Vide ad Lys. 408.

659. εἶα secunda brevi: sunt enim hi versus trochaici. Male vulgo hic et mox infra excusum εἴα. Est autem

καὶ διασκοπεῖν σιωπῇ πανταχῇ· μόνον δὲ χρὴ
μὴ βραδύνειν, ὡς ὁ καιρός ἐστι μὴ μέλλειν ἔτι,
ἀλλὰ τὴν πρώτην τρέχειν χρὴ ὡς τάχισθ' ἤδη κύκλῳ.
εἶα νῦν ἴχνευε, καὶ μάτευε ταχὺ πάντ',
εἴ τις ἐν τόποις ἑδραῖος ἄλλος αὖ λέληθεν ὤν.
πανταχῇ διάριψον ὄμμα,
καὶ τὰ τῇδε καὶ τὰ δεῦρο πάντ' ἀνασκόπει καλῶς.
ἢν γὰρ μὴ λάθῃ δράσας ἀνόσια,
δώσει τε δίκην, καὶ πρὸς τούτῳ
τοῖς ἄλλοισίν γ' ἔσται πᾶσιν
παράδειγμ' ὕβρεως, ἀδίκων τ' ἔργων,
ἀθέων τε τρόπων·
φήσει δ' εἶναί τε θεοὺς φανερῶς,
δείξει τ' ἤδη
πᾶσιν ἀνθρώποις σεβίζειν δαίμονας,
δικαίως τ' ἐφέποντας
ὅσια, καὶ νόμιμα μηδομένους,
ποιεῖν ὅ τι καλῶς ἔχει.
κἂν μὴ ποιῶσι ταῦτα, τοιάδ' ἔσται·

εἶα adverbium adhortandi, quod sæpe apud Comicum recurrit maxime vero in Pace v. 459. seqq. Ab eo, eadem ratione, qua alia ab aliis adverbiis verba, de quibus supra ad v. 231. formatur verbum εἰάζω. Hesych. εἰάζων, εἶα ἐπικελεύων. Εὐριπίδης Χρυσίππῳ.

660. In cod. ut in vett. editt. inversæ cum metri et sententiæ labe voces: *καὶ διασκοπεῖν σιωπῇ μόνον δὴ χρὴ πανταχῇ.* Hic rursus metrum restituit Kusterus. Nihil in codd. frequentius obvium, quam hujuscemodi vocum trajectiones.

661. *ὡς ὁ καιρός. In prioribus editt. male legitur ὡς καιρὸς, omisso articulo ὁ, quem fulciendo metro hic inserui. Sic supra in Pluto v. 255. ὡς ὁ καιρὸς οὐχὶ μέλλειν.* KUSTERUS. Quis lecta hac nota non credat Kusterum e conjectura *inferuisse* articulum ὁ? Quis ejus tergo non timeat, ne censoriæ virgæ subjiciatur vibicibus? Sed securi estote, ô boni: tutum eum præstabo. Est articulus ille ὁ non solum in August. cod., sed etiam in quinque primis editionibus. Non eo nomine culpandus est Kusterus, quod optima crisi versum hunc emendatiorem exhibuerit, quam Æm. Portus: sed quod Aristophanem edere aggressus, ne unam quidem editionum veterum, quæ alicujus esset momenti, consuluerit.

665. διάριψον. Male vulgo in trochaico versu διάῤῥιψον.

678. ποιῶσι. Sic cod. recte. Nul-

αὐτῶν ὅταν ληφθῇ τις ἀνόσια δρῶν,
μανίαις φλέγων,
λύσσῃ παράκοπος,
εἴ τι δρῴη, πᾶσιν ἐμφανὲς ὁρᾶν
ἔστιν γυναιξὶ καὶ βροτοῖς,
ὅτι τὰ παράνομα, τά τ' ἀνόσια, θεὸς
ἀποτίνεται,
παραχρῆμά τε τίνεται.

Χο. ἀλλ' ἔοιχ' ἡμῖν ἅπαντά πως διεσκέφθαι καλῶς.
οὐχ ὁρῶμεν γοῦν ἔτ' ἄλλον οὐδέν' ἐγκαθήμενον.

Γυ. ζ'. ἆ, ἆ.
ποῖ, ποῖ σὺ φεύγεις; οὗτος, οὗτος, οὐ μενεῖς;
τάλαιν' ἐγὼ, τάλαινα, καὶ τὸ παιδίον
ἐξαρπάσας μοι φροῦδος ἀπὸ τοῦ τιτθίου.

Μν. κέκραχθι· τοῦτο δ' οὐδέποτε σὺ ψωμιεῖς,
ἢν μή μ' ἀφῆτ'· ἀλλ' ἐνθάδ', ἐπὶ τῶν μηρίων
πληγὲν μαχαίρᾳ τῇδε φοινίας φλέβας,
καθαιματώσει βωμόν.

Γυ. ζ'. ὢ τάλαιν' ἐγώ.
γυναῖκες οὐκ ἀρήξετ'; οὐ πολλὴν βοὴν
στήσεσθε καὶ τροπαῖον; ἀλλὰ τοῦ μόνου
τέκνου με περιόψεσθ' ἀποστερουμένην;

Χο. ἔα, ἔα.

---

lum hic usum præstat ν paragogicum in iambico versu: ideo etiam v. 683. γυναιξὶ lego, non γυναιξίν.

686. παραχρῆμά τε τίνεται. Sic cod. et Venetæ editiones. Juntina γίνεται.

689. Exclamandi adverbia sunt extra versum. Ad eundem modum quo hic, scripta sunt in cod. et excusa in vett. editt. id est a seq. versu separata. In cod. ἆ ἆ: in Venetis editt. ἶα. Versus autem deficiente syllaba claudicabat, vocula ποῖ semel tantum posita, quam a poëta geminatum fuisse acute Bisetus vidit. Sic infra 1093. Pl. 417. ποῖ, ποῖ; τί φεύγετον; Confer supra 196. 630. Lys. 831.

693. ἢν μή μ' ἀφῆτ'—vulgo ἀφίητ', quod in metri et in sermonis legem offendit. ἀφίημεν, ἀφίητε, formas esse Atticis inusitatas ostendit Dawesius p. 246. Tolerabilior esset codicis lectio ἀφεῖτ' legitima formatione, sartoque metro. Sed ἢν subjunctivo jungi debet, itaque ἀφῆτ' reponendum erat.

697. στήσεσθε καὶ τροπαῖον. Cod. et Juntina στήσεσθε τροπαῖον omissa co-

ὦ πότνιαι Μοῖραι, τί δὲ δέρκομαι
νεοχμὸν αὖ τέρας.
ὡς ἅπαν γάρ ἐστι τόλμης ἔργα κἀναισχυντίας.
οἷον αὖ δέδρακεν ἔργον, οἷον αὖ, φίλαι, τόδε;
Μν. οἷον ὑμῶν ἐξαράξω τὴν ἄγαν αὐθαδίαν.
Χο. ταῦτα δῆτ' οὐ δεινὰ πράγματ' ἐστὶ, καὶ περαιτέρω;
Γυ. ζ'. δεινὰ δῆθ' ὅτιη γ' ἔχει μου 'ξαρπάσας τὸ παιδίον.
Χο. τί ἂν οὖν εἴποι πρὸς ταῦτά τις, ὅτε
τοιαῦτα ποιῶν ὅδ' ἀναισχυντεῖ;
Μν. κοὔπω μέντοι γε πέπαυμαι.
Γυ. ζ'. ἀλλ' οὖθ' ἥξεις ὅθεν ἥκεις,

pula, quam Venetæ editt. exhibent, restitutam a Zanetto sive ex metri necessitate et sermonis indole, sive e Comici Scholiaste ad Plutum 453. quem descripsit Corinthus de Dial. p. 8. In ceteris editt. claudicat hic versus, quem Kusterus a se primo restitutum fuisse arbitrabatur. De formula ἱστάναι βοὴν vide P. Leopardi Emendatt. vii. 22.

702. Tetrameter est trochaicus, cujus vulgo fracti sunt pedes, ὡς ἅπαντ' ἐστὶν τόλμης. In cod. ὡς ἅπαν γάρ ἐστιν τόλμης—oportuit ἐστί. Bene procedit phrasis, ἅπαν ἐστὶν ἔργα τόλμης καὶ ἀναισχυντίας. Aliter e Suida, quem tamen huc respexisse non liquet, Toupius Epist. Crit. p. 33.

ὡς ἅπαντ' ἐστὶ πλέα τόλμης ἔργα κἀναισχυντίας.

Suidæ verba sunt: ἅπαντα τόλμης πλέα κἀναισχυντίας. ἐπὶ τῶν ἰταμῶν καὶ ἀναιδῶν.

704. ἐξαράξω e certissima Toupii emendatione, quem vide ad Suidam i. 141. Vulgo legitur absque metro et sensu:

οἷον ὑμῶν ἐξάρξω τὴν ἄγαν αὐθαδίαν.

Sed ante Toupium sic legendum esse jam monuerat Reiskius, cujus, quia brevis est, totam notam proponam. ἐξαράξω τὴν ἄγαν αὐθαδ'— *ô quam pulchre vobis nimiam vestram audaciam excutiam! Confer Dionys. Halicarn. Ant.* p. 38. 44. Dawesium hic destituit nota illa sagacitas. Occurrit verbum ἐξαράττω Nub. 1373. Equit. 641.

706. Hujus etiam versus, prout vulgo legitur, metrum solutum:

δῆλον δῆθ', ὅτι γ' ἔχει μου 'ξαρπάσας τὸ παιδίον.

Proclive erat emendare ὅτιή γ' ἔχει. Placuit mihi magis ὅτι γ' οἴχεται. Et sic in edit. prior. scriptum est. Sed fateor alterum præferri debuisse, quod a veteri scriptura unica tantum litera differt, eaque a librariis in hac voce alibi omissa. Exemplum habuimus in Lys. 1228. ἔχει ἐξαρπάσας valet ἐξήρπασε, formula satis obvia, de qua suffecerit legisse Valckenario observata ad Eurip. Phœn. 712.

709. κοὔπω μέντοι γε πέπαυμαι. Hinc litem Grammaticorum dirimas, de qua postremum auctorem Doctr. Particul. vide p. 699. En aliud e Platone exemplum initio librorum de Republica. καὶ λέγουσι μέν τι, οὐ μέντοι γε ὅσον οἴονται. Sic est etiam in veteri scripto libro.

710. Depravata est in omnibus libris hujus versiculi scriptura. In cod. ἀλλ' οὖν ἥξεισθ' ὅθεν ἥκεις. In quinque

φαύλως τ' ἀποδρὰς, οὐ λέξεις
οἷον δράσας διέδυς ἔργον.
λήψει δὲ κακόν.
Μν. τοῦτο μέντοι μὴ γένοιτο μηδαμῶς, ἀπεύχομαι.
Χο. τίς οὖν σοι, τίς ἂν ξύμμαχος ἐκ θεῶν
ἀθανάτων ἔλθοι ξὺν ἀδίκοις ἔργοις;
Μν. μάτην λαλεῖτε· τὴν δ' ἐγὼ οὐκ ἀφήσω.
Χο. ἀλλ' οὐ, μὰ τὼ θεὼ, τάχ' οὐ
χαίρων ἴσως ἐνυβρίσεις,
λόγους τε λέξεις ἀνοσίους.
ἀθέοις ἔργοις γὰρ ἀντα-
μειψόμεσθά σ', ὥσπερ εἰκὸς, ἀντὶ τῶνδε.
τάχα δέ σε μεταβαλοῦσ'
ἐπὶ κακὸν ἑτερότροπον
ἐπέχει τις τύχη.
ἀλλὰ τάσδε μὲν λαβεῖν χρῆν σ', ἐκφέρειν τε τῶν ξύλων,
καὶ καταίθειν τὸν πανοῦργον, πυρπολεῖν θ' ὅσον τάχος.

vett. editt. ἀλλ' οὖν ἥκεις θ' ὅθεν ἥκεις. Primus Frobenius copulam exsulare jussit, ediditque ἀλλ' οὖν ἥκεις γ' ὅθεν ἥκεις. Quæ lectio deinceps, licet absurdissima, per ceteras editt. propagata fuit. Ad sensum et prout flagitat sermonis ratio, reposui,

ἀλλ' οὔθ' ἥξεις ὅθεν ἥκεις.

οὔτε ἥξεις ὅθεν ἥκεις, οὔτε φαύλως ἀποδρὰς λέξεις. Vides quam bene nunc omnia cohæreant.

726. Hic versus et tres sequentes vulgo Choro continuantur. Eos ego haud melius omnes Mulieri vi. tribueram. Quæ ad latus hujus versus minio valde diluto et tenuissimis characteribus scripta sunt in codice, aut negligenter legi, aut quid sibi vellent non satis perspectum habui. Nunc rem teneo. Literarum compendia hoc significant: πρὸς τὰς γυναῖκας (oportuit πρὸς τὴν γυναῖκα) scilicet præcedentem Chori sermonem ad Mnesilochum directum fuisse, hoc autem versu ad mulierem converti. Sed Mulieris vi. persona versui 728. præfigi debuisse manifeste ostendit cum metri mutatum genus, tum versus 739. Postquam Chorus mulierem incitavit ut adsumtis sociis ligna aggereret, Mnesilochumque combureret, statim illa jussa capessit, et cum famula abscedens huic dicit: *age, ó Mania, sarmenta arcessamus.* Moxque in scenam cum sarmentis reversa eidem suæ famulæ ait:

παράβαλλε πολλὰς κληματίδας, ὦ Μανία.

Delenda itaque Mulieris persona ante v. 726. adscribendaque ante versum 728.—χρῆν σ' ἐκφέρειν τι. In cod. χρὴ μ' ἐκφέρειν τι. In Juntina χρήν σ' ἐκφέρειν τι. Qua in scriptura præter accentum impersonalis verbi nihil mutandum erat. Zanettus tamen pro χρῆν edidit χρύ.

Γ. ζ'. ἴωμεν ἐπὶ τὰς κληματίδας, ὦ Μανία·
κἀγώ σ' ἀποδείξω θυμάλωπα τήμερον.
Μν. ὕφαπτε καὶ κάταιθε· σὺ δὲ τὸ Κρητικὸν
ἀπόδυθι ταχέως· τοῦ θανάτου δ', ὦ παιδίον,
μόνην γυναικῶν αἰτιῶ τὴν μητέρα.
τουτὶ τί ἐστίν; ἀσκὸς ἐγένεθ' ἡ κόρη
οἴνου πλέως, καὶ ταῦτα Περσικὰς ἔχων.
ὦ θερμόταται γυναῖκες, ὦ ποτίσταται,
κἀκ παντὸς ὑμῖν μηχανώμεναι πιεῖν,
ὦ μέγα καπήλοις ἀγαθὸν, ἡμῖν δ' αὖ κακόν·
κακὸν δὲ καὶ τοῖς σκευαρίοις, καὶ τῇ κρόκῃ.
Γ. ζ. παράβαλλε πολλὰς κληματίδας, ὦ Μανία.
Μν. παράβαλλε δῆτα· σὺ δ' ἀπόκριναί μοι τοδί.
τουτὶ τεκεῖν φής;
Γ. ζ. καὶ δέκα μῆνας αὔτ' ἐγὼ
ἤνεγκον.
Μν. ἤνεγκες σύ;
Γυ. ζ'. νὴ τὴν Ἄρτεμιν.
Μν. τρικότυλον; ἢ πῶς; εἰπ' ἐμοί.
Γυ. ζ'. τί μ' εἰργάσω;
ἀπέδυσας, ὦ 'ναίσχυντέ, μου τὸ παιδίον,
τυννοῦτον ὄν.
Μν. τυννοῦτο;
Γυ. ζ. μικρὸν, νὴ Δία.

730. σὺ δὲ τὸ Κρητικόν. Sic bene Kusterus in notis: vulgo σὺ τόδε τὸ Κρητικόν. Quod autem ait ille syllabam redundare, id falsum est:

ὕφαπτ | ε καὶ | κάταιθ | ε σὺ τὸ | δὲ
τὸ κρη | τικον.

Sed anapæstus tribrachy subjectus minus modulatum versum facit: quod vero præcipuum est, particulam adversativam δὲ sententia flagitat, non autem demonstrativum τόδε. Hesych. Κρητικόν. ἱμάτιον λεπτὸν καὶ βραχύ. τὰ γὰρ τοιαῦτα, Κρητικὰ ἔλεγον. Ad quam glossam vide interpretes.

735. ποτίσταται. De hac superlativi formatione Atticis scriptoribus familiari agit Eustathius ad Odyss. p. 1441. plurimis adductis exemplis. Sic Ran. 91. λαλίστερα. Pl. 27. κλεπτίστατον. Acharn. 425. πτωχίστερον.

745. τυννοῦτον ὄν; τυννοῦτο. Vulgo bis τυνοῦτο. Cod. priore loco τυνοῦτον, bene saltem quoad vitatum hiatum. Dicitur τυννοῦτον et τυννοῦτο in neutro, ut τοσοῦτον et τοσοῦτο.

Μν. πόσ' ἔτη δὲ γέγονε; τρεῖς χοᾶς, ἢ τέτταρας;
Γυ. ζ'. σχεδὸν τοσοῦτον, καὶ ὅσον ἐκ Διονυσίων.
ἀλλ' ἀπόδος αὐτό.
Μν. μὰ τὸν Ἀπόλλω τουτονί.
Γυ. ζ'. ἐμπρήσομεν τοίνυν σε.
Μν. πάνυ γ' ἐμπίμπρατε·
αὕτη δ' ἀποσφαγήσεται μάλ' αὐτίκα.
Γυ. ζ'. μὴ δῆθ', ἱκετεύω σ'· ἀλλ' ἔμ' ὅ τι χρήζεις ποίει
ὑπέρ γε τούτου.
Μν. φιλότεκνός τις εἶ φύσει.
ἀλλ' οὐδὲν ἧττον ἥδ' ἀποσφαγήσεται.
Γυ. ζ'. οἴμοι τέκνον. δός μοι τὸ σφαγεῖον, Μανία,
ἵν' οὖν τό γ' αἷμα τοῦ τέκνου τοῦ 'μοῦ λάβω.
Μν. ὕπεχ' αὐτὸ, χαριοῦμαι γὰρ ἕν γε τοῦτό σοι.
Γυ. ζ'. κακῶς ἀπόλοι'· ὡς φθονερὸς εἶ καὶ δυσμενής.
Μν. τουτὶ τὸ δέρμα τῆς ἱερείας γίγνεται.
Γυ. ζ'. τί τῆς ἱερείας γίγνεται;

746. γέγονε. Vulgo γέγονεν.

πόσ' ἔτη δὲ γέγονε; τρεῖς χοᾶς, ἢ τέτταρας; Quot annos vero natus est? tres Choas, an quatuor? Sic verti debuit. Per Χόας intelligendum τὴν τῶν Χόων ἑορτὴν, cujus frequens in Acharnensibus mentio. Agebatur hoc festum Lenæorum, seu Anthesteriorum die secundo, quo vocabatur Χόες. Vide Meursium Gr. Fer. in Ἀνθεστήρια. Quotannis celebrabatur, quapropter assimulati infantis annos sciscitans Mnesilochus facete quærit, quot sit Choas natus. Huic quæstioni congruit mulieris responsum,

σχεδὸν τοσοῦτο, καὶ ὅσον ἐν Διονυσίων.

Fere tantum, et quantum effluxit temporis ab ultimis Anthesteriis. Nam per Dionysia hic Anthesteria significari, Choum quæ præcedit ostendit mentio. Quum autem infans ille nihil aliud sit quam uter vini plenus, rei accomodata est hæc annos computandi ratio. Veri enim haud absimile est vini ætatem Athenienses Liberalium numero indicasse. Aliæ hanc in rem apud alias gentes formulæ sunt in usu: in Galliæ quibusdam regionibus dici solet, *du vin de trois feuilles, de quatre feuilles.*

747. σχεδὸν τοσοῦτον, καὶ ὅσον ἐκ Διονυσίων. Sic cod. et vett. editt. omnes. Kusterus nescio unde, χ' ὅσον ἐκ τῶν Δ. Observa autem in hoc versu quater recurrere eundem sonum ον. Scribe σχεδὸν τοσοῦτο καὶ ὅσον—

748. μὰ τὸν Ἀπόλλω τουτονί. Hic certe particula μὴ per se negat, quum nec præcedat nec sequatur alia negatio, nec particula adversativa. Sic rursus infra 897. Eq. 336. 339.

749. ἐμπίμπρατε. Vide ad Lys. 311.

754. Suidas: σφαγεῖον, τὸ τοῦ αἵματος δεκτικὸν ἀγγεῖον, ὃ εἶπεν ὁ ποιητὴς (Od. γ'. 444.) ἀμνίον.

758. Creticam vestem, qua bibacula mulier utrem vini plenum involverat,

Μν. τουτὶ λαβέ.

Γυ. η'. ταλαντάτη Μίκα, τίς ἐξεκόρησέ σε;
τίς τὴν ἀγαπητὴν παῖδά σου 'ξηρήσατο;

Γυ. ζ'. ὁ πανοῦργος οὗτος. ἀλλ', ἐπειδήπερ πάρει,
φύλαξον αὐτὸν, ἵνα, λαβοῦσα Κλεισθένη,
τοῖσιν Πρυτάνεσιν, ἃ πεποίηχ' οὗτος, φράσω.

Μν. ἄγε δὴ τίς ἔσται μηχανὴ σωτηρίας;
τίς πεῖρα, τίς ἐπίνοι'; ὁ μὲν γὰρ αἴτιος,
κἄμ' ἐσκυλίσας ἐς τοιαυτὶ πράγματα,
οὐ φαίνετ' οὔπω. φέρε, τίν' ἂν, τίν' ἄγγελον
πέμψαιμ' ἐπ' αὐτόν; οἶδ' ἐγὼ καὶ δὴ πόρον
ἐκ τοῦ Παλαμήδους. ὡς ἐκεῖνος, τὰς πλάτας

ut speciem infantis præberet, projicit ei Mnesilochus, tanquam victimæ pellem. Alludit autem ad sacrorum morem, quo sacerdotibus cedebant reliqua e victimis, scilicet pelles et κωλαῖ. Vide Petitum de Leg. Att. p. 75.

760. ἐκκορίω idem significat, quod διακορίω, de quo supra ad v. 480. et sic forte intelligendus est Hesychius in glossa ἐκκορεῦσι, φθείρουσιν. At hic valet τὴν κόρην ἀφαιροῦμαι. Ludit in ambiguo Comicus: *Quis te devirginavit?* pro *Quis tibi puellam tuam ademit?* Priori modo ambiguitas in versione exprimi poterat, idque eo magis fieri debuit, quod sequens versus nulli alii rei additus videatur, quam ut ambiguo ἐξεκόρησε interpretamento sit. *Miserrima Mica, quis te devirginavit? quis dilectam et unicam filiolam tibi eripuit?*

766. τίς ἐπίνοι'; Male vulgo sine elisione ἐπίνοια.

767. κἄμ' ἐσκυλίσας. Nescio qui Kustero in mentem venerit genuinum hic esse ἐσκυκλήσας, quod etiamsi codd. præstarent, tamen vulgato anteponendum non esset.

768. Sic exhibent hunc versum duæ novissimæ editiones:

οὐ φαίνετ' οὔπω. φέρε δὴ, τίν' ἂν ἄγγελον.

Quartam senarii sedem deturpat trochæus, cujus vitii neutri editorum quicquam suboluit. Vellem Kusterus nos docuisset, unde hanc lectionem haberet, quæ in nulla vett. editt. reperitur. Habent illæ omnes,

οὐ φαίνετ' οὔπω. φέρε, τίν' οὖν ἄγγελον.

et sic etiam in cod. scriptum est, deficiente syllaba, quæ quintum expleat pedem. Præterea solæca est locutio τίν' ἄγγελον πέμψαιμ' ἐπ' αὐτόν; Ad loquendi normam oportet τίν' ἄγγελον πέμψω ἐπ' αὐτόν; vel τίν' ἄγγελον πέμψαιμ' ἂν ἐπ' αὐτόν; Hinc proclive erat Comico manum suam restituere.

οὐ φαίνετ' οὔπω. φέρε, τίν' ἂν, τίν' ἄγγελον
πέμψαιμ' ἐπ' αὐτόν;

Voculam τίν' geminatam librarius semel tantum posuit, cujus socordiæ complura jam observata exempla, tum οὖν pro ἂν scripsit. Prius vidit Orvillius ad Charit. p. 200. fugit eum posterior labes. Vocis τίνα elegans est repetitio, et hæsitanti apprime conveniens. Ran. 120.

φέρε δὴ, τίν' αὐτῶν σοι φράσω πρώτην;
τίνα;

Ran. 460.

ἄγε δὴ, τίνα τρόπον τὴν θύραν κόψω;
τίνα;

ῥίψω γράφων. ἀλλ' οὐ πάρεισί μοι πλάται.
πόθεν οὖν γένοιντ' ἂν ἀθλίῳ πλάται; πόθεν;
τί δ' ἄν, εἰ ταδὶ τἀγάλματ' ἀντὶ τῶν πλατῶν
γράφων διαῤῥίπτοιμι; βέλτιον πολύ.
ξύλον γέ τοι καὶ ταῦτα, κἀκεῖν' ἦν ξύλον.
ὦ χεῖρες ἐμαὶ,
ἐγχειρεῖν χρῆν ἔργῳ πορίμῳ.
ἄγε δὴ πινάκων ξεστῶν δέλτοι,
δέξασθε σμίλης ὁλκοὺς,
κήρυκας ἐμῶν μόχθων. (οἴμοι·
τουτὶ τὸ ῥῶ μοχθηρὸν,
χωρεῖ, χωρεῖ ποίαν αὔλακα;)
βάσκετ', ἐπείγετε πάσας καθ' ὁδοὺς,
κείνῃ, ταύτῃ· ταχέως χρή.

Χορός.

ἡμεῖς τοίνυν ἡμᾶς αὐτὰς εὖ λέξωμεν παραβᾶσαι.
καί τοι πᾶς τις τὸ γυναικεῖον φῦλον κακὰ πόλλ' ἀγορεύει,
ὡς πᾶν ἐσμὲν κακὸν ἀνθρώποις, κἀξ ἡμῶν ἐστὶν ἅπαντα,
ἔριδες, νείκη, στάσις, ἀργαλέα λύπη, πόλεμος. φέρε δὴ νῦν,

771. Hic locus vulgo mendosus et mutilus est:

ἀλλ' οὐ πάρεισιν αἱ πλάται.
πόθεν οὖν γένοιντ' ἄν μοι πλάται; πόθεν;

Alter versus toto pede mancus est. Orvillius loco supra citato legendum censet:

πόθεν οὖν γένοιντ' ἄν μοι πλάται; πόθεν; πόθεν;

Quod aliis se approbabit, aliis secus. Sed pedis defectus non unice considerandus erat. πλάται in hoc versu indefinite positum est sine articulo, recte. Cur, quæso, eidem nomini in sup. v. additus est articulus, tanquam si de certis quibusdam et definitis palmulis ageretur, quod falsum est? μοι in priore versu posuerat poëta, quod in altero fuit interpolatum. Vide an Comici manum agnoscas:

ἀλλ' οὐ πάρεισί μοι πλάται.
πόθεν οὖν γένοιντ' ἂν ἀθλίῳ πλάται;
πόθεν;

Adjectivum ἀθλίῳ superscriptum fuit pro declaratione μοι, quod se in locum genuinæ vocis subornavit, non persentiscente librario legitimum sic pedum numerum imminui.

773. Cod. ut vett. editt. τί δ' ἂν εἶτα διά τ' ἀγάλματ'—Genuinam lectionem perite restituit Kusterus e Suida in Παλαμήδης.

782. ποίαν αὔλακα. Sic bene cod. et sex primariæ editt. In recentioribus nescio unde ὁποίαν.

784. κείνῃ, ταύτῃ· ταχέως χρή. Vulgo κείνῃ. ταῦτα ταχέως χρή. Scilicet non viderunt versum esse anapæsticum, ut superiores. Oportebat saltem κείνῃ, ταύτῃ· ταχέως χρή. Sed Dorismus ab

εἰ κακόν ἐσμεν, τί γαμεῖθ' ἡμᾶς, εἴπερ ἀληθῶς κακόν ἐσμέν;
κἀπαγορεύετε μήτ' ἐξελθεῖν, μήτ' ἐγκύψασαν ἁλῶναι;
ἀλλ' οὑτωσὶ πολλῇ σπουδῇ τὸ κακὸν βούλεσθε φυλάττειν;
κἂν ἐξέλθοι τὸ γύναιόν ποι, κᾆθ' εὕροιτ' αὐτὸ θύραισιν,
μανίας μαίνεσθ', οὓς χρῆν σπένδειν καὶ χαίρειν, εἴπερ ἀληθῶς
ἔνδοθεν εὕρετε φροῦδον τὸ κακὸν, καὶ μὴ κατελαμβάνετ' ἔνδον.
κἂν καταδαρθῶμεν ἐν ἀλλοτρίων παίσασαι καὶ κοπιῶσαι,
πᾶς τις τὸ κακὸν τοῦτο ζητεῖ, περὶ τὰς κλίνας περινοστῶν.
κἂν ἐκ θυρίδος παρακύπτωμεν, ζητεῖ τὸ κακὸν τεθεᾶσθαι·
κἂν αἰσχυνθεῖσ' ἀναχωρήσῃ, πολὺ μᾶλλον πᾶς ἐπιθυμεῖ
αὖθις παρακύψαν ἰδεῖν τὸ κακόν. οὕτως ἡμεῖς ἐπιδήλως
ὑμῶν ἐσμὲν πολὺ βελτίους· βάσανός τε πάρεστιν ἰδέσθαι.
βάσανον δῶμεν, πότεροι χείρους. ἡμεῖς μὲν γάρ φαμεν ὑμᾶς·
ὑμεῖς δ' ἡμᾶς. σκεψώμεθα δὴ, κἀντιτιθῶμεν πρὸς ἕκαστον,
παραβάλλουσαι τῆς τε γυναικὸς καὶ τἀνδρὸς τοὔνομ' ἕκαστον.
Ναυσιμάχης μὴν ἥττων ἐστὶν Χαρμῖνος· δῆλα δὲ τἄργα.
καὶ μὲν δὴ καὶ Κλεοφῶν χείρων πάντως δήπου Σαλαβακχοῦς.
πρὸς Ἀριστομάχην δὲ χρόνου πολλοῦ, πρὸς ἐκείνην τὴν Μαραθῶνι,
καὶ Στρατονίκην, ὑμῶν οὐδεὶς οὐδ' ἐγχειρεῖ πολεμίζειν.
ἀλλ' Εὐβούλης τῶν πέρυσίν τις βουλευτής ἐστιν ἀμείνων,
παραδοὺς ἑτέρῳ τὴν βουλείαν; οὐδ' αὐτὸς τοῦτό γε φήσει.
οὕτως ἡμεῖς πολὺ βελτίους τῶν ἀνδρῶν εὐχόμεθ' εἶναι.
οὐδ' ἂν κλέψασα γυνὴ ζεύγει κατὰ πεντήκοντα τάλαντα
ἐς πόλιν ἔλθοι τῶν δημοσίων· ἀλλ' ἢν τὰ μέγισθ' ὑφέληται,
φορμὸν πυρῶν τἀνδρὸς κλέψασ', αὐθήμερον αὔτ' ἀπέδωκεν.

hoc loco alienus est. E pravis Græcis prava latina dedit Kusterus: *festinate per omnes vias illuc: hæc enim fieri cito oportet.*

792. κἂν ἐξέλθοι. Sic cod. Vulgo ἐξέλθῃ. Perperam in cod. θύρασιν.

795. παίσασαι. Male vulgo παίζουσαι, contra manifestum sensum et temporum rationem. Non dormiunt *ludentes*, sed *postquam luserunt*.

807. ὑμῶν οὐδείς. Typothetæ culpa in novissima Batava excusum ἡμῶν.

809. οὐδ' αὐτὸς τοῦτό γε φήσει. In edit. prior. φήσεις. Verum est, quod ait Kusterus, melius processurum sensum, si legatur φήσει: et hoc reponi debuit.

812. ὑφέληται. Sic optime cod. Vulgo ἀφέληται. Signatum hic est verbum ὑφελέσθαι, *suffurari*.

813. κλέψασ' αὐθήμερον. Male vulgo sine elisione κλέψασα.

ἀλλ' ἡμεῖς ἂν πολλοὺς τούτων
ἀποδείξαιμεν ταῦτα ποιοῦντας·
καὶ πρὸς τούτοις γάστριδας ἡμῶν
ὄντας μᾶλλον, καὶ λωποδύτας,
καὶ βωμολόχους, κἀνδραποδιστάς.
καὶ μὲν δήπου καὶ τὰ πατρῷά γε
χείρους ἡμῶν εἰσὶν σώζειν.
ἡμῖν μὲν γὰρ σῶν ἔτι καὶ νῦν
τἀντίον, ὁ κακὼν, οἱ καλαθίσκοι,
τὸ σκιάδειον·
τοῖς δ' ἡμετέροις ἀνδράσι τούτοις
ἀπόλωλεν μὲν πολλοῖς ὁ κανὼν
ἐκ τῶν οἴκων αὐτῇ λόγχῃ.
πολλοῖς δ' ἑτέροις ἀπὸ τῶν ὤμων
ἐν ταῖς στρατιαῖς
ἔῤῥιπται τὸ σκιάδειον.
πόλλ' ἂν αἱ γυναῖκες ἡμεῖς ἐν δίκῃ μεμψαίμεθ' ἂν
τοῖσιν ἀνδράσιν δικαίως· ἓν δ' ὑπερφυέστατον.
χρῆν γὰρ, ἡμῶν εἰ τέκοι τις ἄνδρα χρηστὸν τῇ πόλει,
ταξίαρχον, ἢ στρατηγὸν, λαμβάνειν τιμήν τινα,
προεδρίαν τ' αὐτῇ δίδοσθαι Στηνίοισι καὶ Σκίροις,
ἔν τε ταῖς ἄλλαις ἑορταῖς, αἷσιν ἡμεῖς ἤγομεν·

815. ἀποδείξαιμεν. Vulgo ἀποδείξομεν claudicante metro et solœca phrasi. ἡμεῖς πολλοὺς ἀποδείξαιμεν ἄν.

824. ἀνδράσι et v. seq. ἀπόλωλεν flagitat anapæstici metri lex, quod non animadverterunt editores. ἀνδράσι est in cod. cujus hic non requiritur consensus. Vulg. ἀνδράσιν et ἀπόλωλε.

828. ἐν ταῖς στρατιαῖς. Cod. στρατειαῖς. Vide ad Lys. 592.

832. χρῆν γὰρ—Vulgo χρή. Illud ad sensum et ex indole linguæ melius est. Sic infra 842.

834. Στηνίοισι. Cod. ut vett. editt. τηνίοισι. Genuinam lectionem erudite restituit Kusterus. Vide Hesychii interpretem ad glossam Στῆνια.

835. αἷσιν ἡμεῖς ἤγομεν pro ἃς ἡμεῖς ἤγομεν. Attica constructio est notissima, quam semel animadvertisse satis erit. Hic ex metri lege aliter scribi non potuit. Sed ubi casum verbi non respuit versus, illum sæpe pro casu nominis posuerunt librarii; ut Pl. 1128
οἴμοι δὲ κωλῆς, ἧς ἐγὼ κατήσθιον.
Vesp. 907.

εἰ δὲ δειλὸν καὶ πονηρὸν ἄνδρα τις τέκοι γυνὴ,
ἢ τριήραρχον πονηρὸν, ἢ κυβερνήτην κακὸν,
ὑστέραν αὐτὴν καθῆσθαι, σκάφιον ἀποκεκαρμένην,
τῆς τὸν ἀνδρεῖον τεκούσης. τῷ γὰρ εἰκὸς, ὦ πόλις,
τὴν Ὑπερβόλου καθῆσθαι μητέρ' ἠμφιεσμένην
λευκὰ, καὶ κόμας καθεῖσαν, πλησίον τῆς Λαμάχου,
καὶ δανείζειν χρήμαθ', ᾗ χρῆν, εἰ δανείσειέν τινι,
καὶ τόκον πράττοιτο, διδόναι μηδέν' ἀνθρώπων τόκον,
ἀλλ' ἀφαιρεῖσθαι βίᾳ τὰ χρήματ', εἰπόντας τοδί·
ΑΞΙΑ ΓΟΥΝ ΕΙ ΤΟΚΟΥ, ΤΕΚΟΥΣΑ ΤΟΙΟΥ-
ΤΟΝ ΤΟΚΟΝ.

ΜΝΗΣΙΛΟΧΟΣ, ΓΥΝΗ Η, ΕΥΡΙΠΙΔΗΣ, ΠΡΥΤΑΝΙΣ, ΧΟΡΟΣ.

Μν. ΙΛΛΟΣ γεγένημαι προσδοκῶν· ὁ δ' οὐδέπω.

τῆς μὲν γραφῆς ἠκούσαθ', ἧς ἐγραψάμην. Utrobique vulgo legitur ἦν. In Sophoclis Electra 636.

ὅπως λυτηρίους
εὐχὰς ἀνάσχω δειμάτων, ὧν νῦν ἔχω.

Cod. unus habet ἃ νῦν ἔχω.

836. εἰ—τέκοι, ut supra 832. ex linguæ indole scribi debuit. Solœce vulgo ἦν—τέκοι. Eadem menda inquinatus est v. 842. ubi pro ᾗ χρῆν, εἰ δανείσειέν τινι, in recentioribus editt. legitur ᾗ χρῆν, κ' ἦν δανείσειέν τινι: quo nihil magis solœcum. Præterea κ' ἦν a nescio quo interpolatum fuit. Cod. χρήματ' ἂν χρῆν ἢν δανείσειέ τινι. Juntina: χρήματα τ' ἦν χρῆν ἢν δανείσειέ τινι. Venetæ, χρήματα τῇ χρῆν ἢν δανείσειέ τινι. Vides lectionem librorum omnium mendosam esse, in nullo tamen vetere esse κ' ἦν.

838. σκάφιον ἀποκεκαρμένην. Hic σκάφιον genus tonsuræ notat Heysch. σκάφιον—εἶδος κουρᾶς τῆς κεφαλῆς, ὃ κείρεσθαι φασὶ τὰς ἑταιρευούσας· εἶναι δὲ περιτρόχαλον. Ad hunc Comici locum respexit Eustathius ad Iliad. p. 907. l. 41. At in Av. v. 806.

σὺ δὲ κοψίχῳ γε σκάφιον ἀποτετιλμένῳ.

σκάφιον non jam *tonsuram* notat, sed ipsum *caput*, ut e Salmasii observatione ad illum locum ostendetur.

846. ἰλλὸς γεγένημαι προσδοκῶν. Sic libri omnes recte. Erudite nugatur Kusterus, falsam conjecturam exemplis illustrans, quæ nihil huc faciunt, αὖος γεγένημαι προσδοκῶν. Mnesilocho deflexis oculis indesinenter spectanti versus eam partem, qua se visurum sperabat accedentem Euripidem, contigit id quod natura fert, quodque nemo non expertus est, si diu oculorum aciem aliquo intenderit, ut dolerent ei oculi, eosque movere non posset, ita ut, vel invito eo, semper versus eandem partem conversi manerent, licet eo non amplius spectaret, quod eorum est, qui ἰλλοὶ, *strabi*, dicuntur. *Quis unquam*, ait Kusterus, *vel legit vel audivit aliquem exspectando strabum factum fuisse?* Non, *exspectando*, sed *spectando*, an is quem exspectaret veni-

τί δῆτ' ἂν εἴη τοὐμποδών; οὐκ ἔσθ' ὅπως
οὐ τὸν Παλαμήδην ψυχρὸν ὄντ' αἰσχύνεται.
τῷ δῆτ' ἂν αὐτὸν προσαγαγοίμην δράματι;
ἐγᾦδα· τὴν καινὴν Ἑλένην μιμήσομαι.
πάντως ὑπάρχει μοι γυναικεία στολή.
Γυ. η'. τί αὖ σὺ κυκανᾷς; ἢ τί κοικύλλεις ἔχων;
πικρὰν Ἑλένην ὄψει τάχ', εἰ μὴ κοσμίως
ἕξεις, ἕως ἂν τῶν Πρυτανέων τις φανῇ.
Μνησιλόχος ὡς Ἑλένη.
" Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί,

ret, strabus factus est. Unum altero intelligitur, qui tropus, ni fallor, συνεκδοχὴ appellatur. Si quis aliquid *exspectat*, eo *spectat* unde illud venire possit. Eadem prorsus loquendi forma utitur Plautus Men. v. 3. 6.

Lumbi sedendo; oculi *exspectando* dolent.

Sic enim in Plauti codd. et optimis editt. legitur: perperam in recentioribus *spectando*. Quod autem in Excerptis Scaligeri reperitur ἄλλος, ab αὖος multo remotius, quam ab ἰλλὸς, id nauci non esse manifestum est. Sed qua brevitate et obscuritate concinnata sunt ista Excerpta, nescimus unde hanc lectionem protulerit eorum redactor, an e scripto libro, an e conjectura. Si aliquo in codice scriptura illa reperta fuerit, error inde ortus est, quod olim initiales literas non scribebant librarii: vacuum relinquebant spatium, quo calligraphi manu litera auro variisque coloribus pingenda erat. Si forte librarius in vetus exemplar incidit, ubi hoc loco majuscula litera omissa fuerat, quum λλος reperiret, quid imperito homini prius in mentem venire debuit quam notissimum vocabulum Ἄλλος? et hoc fundamento nititur Kusteri emendatio. Confer Hemsterhusium ad Hesychii glossam ἰλλώπτειν.—ὁ δ' οὐδέπω. Subauditur ἥκει, προσέρχεται, φαίνεται, vel simile quid. Nihil in familiari et comico sermone tritius. Hoc tamen etiam in iisdem excerptis sollicitatum video, proposita lectione προσδοκῶν Εὐριπίδην: qua admissa, nihil erit quo referantur sequentia, τί δῆτ' ἂν εἴη τοὐμποδών;

852. κυκανᾷς. Sic ad metri legem scribendum esse, viderunt interpretes. Qui supra v. 429. in textu reposuerat κυρκανᾷς, hic eadem ex causa Berglerus κυκανᾷς reponere debebat, quod fecisset utique, si ipse Comicum edidisset. Utrumque dicitur κυκανᾷν et κυρκανᾷν. Etymol. M. κυκανῶ, ἀπὸ τοῦ κυκῶ, τὸ ταράσσω· ἐὰν δὲ κυρκανῶ, πλεονασμῷ τοῦ ρ.—Hesych. κοικύλλειν, περιβλέπειν. Cetera apud eum vide.

853. πικρὰν Ἑλένην ὄψει τάχ'. In Av. 1468.

πικρὰν τάχ' ὄψει στρεψοδικοπανουργίαν.

Similem minandi formulam observavi in Apollonio iii. 375. Alius ejusd. poëtæ locus Comico nostro admoveri poterat. Est ubi Jason ad Argum ait l. iii. 487.

μελέη γε μὲν ἧμιν ὄρωρεν
ἐλπωρή, ὅτε νόστον ἐπετραπόμεσθα γυναιξίν.

quod simile est Calonicæ sententiæ Lys. 31.

ἐν ταῖς γυναιξίν; ἐπ' ὀλίγου γὰρ εἴχετο.

855. Est initium dramatis Euripidei, ubi v. 2. legitur ψεκάδος. Vulgati Co-

" ὃς ἀντὶ δίας ψεκάδος Αἰγύπτου πέδον
" λευκῆς νοτίζει μελανοσυρμαῖον λεών.
Γυ. η΄. πανοῦργος εἶ, νὴ τὴν Ἑκάτην τὴν φωσφόρον.
Μν. " ἐμοὶ δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος,
" Σπάρτη, πατὴρ δὲ Τυνδάρεως.
Γυ. η΄. σοί γ' ὦ 'λεθρε,
πατὴρ ἐκεῖνός ἐστι; Φρυνώνδας μὲν οὖν
Μν. " Ἑλένη δ' ἐκλήθην.
Γυ. η΄. αὖθις αὖ γίγνει γυνὴ,
πρὶν τῆς ἑτέρας δοῦναι γυναικίσεως δίκην;
Μν. " ψυχαὶ δὲ πολλαὶ δι' ἔμ' ἐπὶ Σκαμανδρίαις
" ῥοαῖσιν ἔθανον.
Γυ. η΄. ὤφελες δὲ καὶ σύ γε.
Μν. " κἀγὼ μὲν ἐνθάδ' εἴμ'· ὁ δ' ἄθλιος πόσις
" οὑμὸς Μενέλεως οὐδέπω προσέρχεται.
" τί οὖν ἔτι ζῶ τῶν κοράκων πονηρίᾳ;
" ἀλλ' ὥσπερ αἰκάλλει τι καρδίαν ἐμὴν,
" μὴ ψεῦσον, ὦ Ζεῦ, τῆς ἐπιούσης ἐλπίδος.

Εὐριπίδης ὡς Μενέλαος.

" τίς τῶνδ' ἐρυμνῶν δωμάτων ἔχει κράτος,

mici libri habent ψακάδος, quod perinde est; et sic etiam in cod. scriptum. Sed primæ syllabæ superscripta ab eadem manu litera ε. Tertium versum ridiculi causa immutavit Comicus: apud Tragicum legitur:

λευκῆς τακείσης χιόνος ἀρδεύει γύας.

859. Versus ex Euripidis Helena 16.

861. ἐστι; Φρυνώνδας. Editt. omnes ἐστιν contra metri legem. Recte cod. ἐστι.

862. Ἑλένη δ' ἐκλήθην. Ex Euripide v. 22.—γίγνει. Male vulgo γίγνῃ.

864. Ex Euripide v. 52.

866. Versus est ex Helenæ prologo 49. Male in Comici editt. excusum ὅδ' ἄθλιος, pro ὁ δ' ἄθλιος.

867. Μενέλεως, Attice. Vulgo Μενέλαος.

868. Helena apud Euripidem bis ait v. 56. et 301.

τί δῆτ' ἔτι ζῶ;—

870. μὴ ψεῦσον. Veteribus Grammaticis tanquam novum et inusitatum hoc enotatum. Vetandi particula μὴ cum aoristis subjunctivis construi solet. Vide Kœnium ad Corinthum p. 6. ubi simile adducitur exemplum e Lysistrata, μὴ φίλησον, quod in illa fabula non reperietur in posterum. Vide quæ notavimus ad v. 1036.

871. Verba sunt Teucri in Euripidis dramate v. 68. Versus qui sequuntur duos non memini apud Euripidem legisse.

" ὅστις ξένους δέξαιτο, ποντίῳ σάλῳ
" κάμνοντας ἐν χειμῶνι καὶ ναυαγίαις;
Μν. " Πρωτέως τάδ' ἐστὶ μέλαθρα.
Ευ. " ποίου Πρωτέως;
Γυ. η'. ὦ τρισκακόδαιμον, ψεύδεται, νὴ τὼ θεώ,
ἐπεὶ τέθνηκε Πρωτέας ἔτη δέκα.
Ευ. " ποίαν δὲ χώραν εἰσεκέλσαμεν σκάφει;
Μν. " Αἴγυπτον.
Ευ. " ὦ δύστηνος, οἷ πεπλώκαμεν;
Γυ. η'. πείθει τι, ὦ μέλε, τῷ κακῶς ἀπολουμένῳ,
ληροῦντι λῆρον; Θεσμοφόριον τουτογί.
Ευ. " αὐτὸς δὲ Πρωτεὺς ἔνδον ἔστ', ἢ 'ξώπιος;
Γυ. η'. οὐκ ἔσθ' ὅπως οὐ ναυτιᾷς ἔτ', ὦ ξένε,
ὅστις γ' ἀκούσας ὅτι τέθνηκε Πρωτέας,

872. *ὅστις ξένους δέξαιτο.* Mallem *ὃς ἂν ξένους δέξαιτο.* In Euripidis dramate legitur v. 443.

τίς ἂν πυλωρὸς ἐκ δόμων μόλοι,
ὅστις διαγγείλειε τἄμ' εἴσω κακά;

Sed ibi positum *ἂν* cum priore verbo, alteri etiam servit. Hujus loci diversa ratio est.

874. Traducta etiam hæc ex Euripidis Helena v. 467.

Μενέλαος.
τίς δ' ἥδε χώρα; τοῦ δὲ βασίλειοι δόμοι:
Γραῦς.
Πρωτέως τάδ' οἰκεῖ δώματ'· Αἴγυπτος δὲ γῆ.
Μενέλαος.
Αἴγυπτος; ὦ δύστηνος, οἷ πέπλευκ' ἄρα.

875. Audito Protei nomine, veteris historiæ mulier imperita credit de quodam Atheniense illos loqui, cui nomen fuerat Proteas. Similis est facetiæ, quod apud Molierium nostrum (*La Comtesse d'Escarbagnas, Sc.* XVI.) ridicula muliercula audito Martialis Poëtæ latini nomine, ait: *Quoi? Martial fait il des vers? se pensois qu'il ne fit que des grands.* Proteæ Epiclis filii, Atheniensium classis præfecti meminit Thucydides.

879. Hic versus toto pede mutilus vulgo legitur: *πείθει τι τῷ κακῶς ἀπολουμένῳ;* Satis probabiliter sic supplevit Scaliger:

πείθει τι τῷ κακῷ κακῶς ἀπολουμένῳ;

Non minus probabile est et usitatum, quod dedi:

πείθει τι, ὦ μέλε, τῷ κακῶς ἀπολουμένῳ;

Estque hic versus altero numerosior.

880. *Θεσμοφόριον τουτογί.* Sic bene Juntina et exinde quatuor editt. vett. In Frobeniana *τουτονί*, ut mendose scriptum in cod. ex facili permutatione literarum *ν* et *γ*. Recentiores *τουτοῖ*. Nullis inspectis vett. libris, *τουτογὶ* suadebat Kœnius ad Corinthum p. 56.

881. Apud Euripidem 473. aliis verbis idem quærit Menelaus:

ἔστ' οὖν ἐν οἴκοις, ὅντιν' ὀνομάζεις, ἄναξ;

Et mox, postquam audiit Proteum fato functum esse, filiumque regni hæredem reliquisse, de hoc rursus quærit:

ποῦ δῆτ' ἂν εἴη; πότερον ἐκτός, ἢ 'ν δόμοις;

Hunc versum fecisse videtur Comicus, ut Euripidem taxaret ob frequentem usum nominis *ἐξώπιος*.

ἔπειτ' ἐρωτᾷς, ἔνδον ἔστ', ἢ 'ξώπιος.
Ευ. " αἶ, αἶ· τέθνηκε. ποῦ δ' ἐτυμβεύθη τάφῳ;
Μν. " τόδ' ἔστιν αὐτοῦ σῆμ', ἐφ' ᾧ καθήμεθα.
Γυ. η'. κακῶς ἄρ' ἐξόλοιο, κἀξολεῖ γέ τοι,
ὅστις γε τολμᾷς σῆμα τὸν βωμὸν καλεῖν.
Ευ. " τί δὲ δὴ σὺ θάσσεις τάσδε τυμβήρεις ἕδρας,
" φάρει καλυπτὸς, ὦ ξένη;
Μν. " βιάζομαι
" γάμοισι Πρωτέως παιδὶ συμμίξαι λέχος.
Γυ. η'. τί, ὦ κακόδαιμον, ἐξαπατᾷς αὖ τὸν ξένον;
οὗτος πανουργῶν δεῦρ' ἀνῆλθεν, ὦ ξένε,
ὡς τὰς γυναῖκας, ἐπὶ κλοπῇ τοῦ χρυσίου.
Μν. " βαΰζε, τοὐμὸν σῶμα βάλλουσα ψόγῳ.
Ευ. " ξένη, τίς ἡ γραῦς, ἡ κακοῤῥοθοῦσά σε;
Μν. " αὕτη Θεονόη Πρωτέως---
Γυ. η'. μὰ τὼ θεώ·
εἰμὶ Κριτύλλα γ' Ἀντιθέου Γαργηττόθεν·

886. Anus apud Euripidem v. 474.
τόδ' ἐστὶν αὐτοῦ μνῆμα.

889. τί δὲ δὴ σὺ θάσσεις. Perperam vulgo titubante versu, τί δὲ σὺ θάσσεις; vide notata ad Lys. 372. Orvillius ad Charit. p. 147. τί δαὶ σὺ θάσσεις, vel τί δὲ σὺ θοάζεις legendum censet.

891. Helena in Prologo apud Euripidem v. 62.

παῖς ὁ τοῦ τεθνηκότος
θηρᾷ γαμεῖν με.

895. τοὐμὸν σῶμα, id est με. Periphrasin Euripidi usitatam irridet. Alcest. 647.

οὐκ ἦσθ' ἄρ' ὀρθῶς τοῦδε σώματος πατήρ.

Confer Heracl. 91. 529.

896. ἡ κακοῤῥοθοῦσά σε. Vox tragica, ut sunt aliæ omnes quibus utitur Comicus in hac parodia, Tragicorum, Euripidisque maxime, stylum salse perstringens. Verbum κακοῤῥοθεῖν legitur in Æschyli S. Th. 578. ex nostra emendatione:

καὶ τὸν σὸν αὖθις ὁμόσπορον κακοῤῥοθῶν.

898. εἰμὶ Κριτύλλα γ' Ἀντιθέου Γαργηττόθεν. Emendate sic liquido scriptum est in cod. Ridicula est lectio Juntinæ editionis:

εἰ μὴ Κριτύλλα γ' ἀντὶ θεοῦ γὰρ γηττόθεν.

quam servant vel totam, vel partim aliæ vett. editt. E tribus mendis duas sustulit Zanettus excudendo εἰμὶ et γαργηττόθεν. Tertia ἀντὶ θεοῦ Berglero consideratione digna visa est, eique *nimis ineptam* suggessit notam.

Omni mendæ suspicione vacat hic versus, qui tertius, ni fallor, est in universis Comici nostri reliquiis senarius, ubi vocalis brevis ante tenuem et liquidam producatur. Aliter metro aptari non poterat nomen proprium Κριτύλλα.

σὺ δ᾽ εἶ πανοῦργος.
Μν. "ὁπόσα τοι βούλει, λέγε.
"οὐ γὰρ γαμοῦμαι σῷ κασιγνήτῳ ποτὲ,
"προδοῦσα Μενέλεων τὸν ἐμὸν ἐν Τροίᾳ πόσιν.
Ευ. "γύναι, τί εἶπας; στρέψον ἀνταυγεῖς κόρας.
Μν. "αἰσχύνομαί σε, τὰς γνάθους ὑβρισμένη.
Ευ. "τουτὶ τί ἐστιν; ἀφασία τις τοί μ᾽ ἔχει.
"ὦ θεοὶ, τίν᾽ ὄψιν εἰσορῶ; τίς εἶ, γύναι;
Μν. "σὺ δ᾽ εἶ τις; ὡὐτὸς γάρ σε κἄμ᾽ ἔχει λόγος.
Ευ. "Ἑλληνὶς εἶ τις, ἢ 'πιχωρία γυνή;
Μν. "Ἑλληνίς. ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.
Ευ. "Ἑλένῃ σ᾽ ὁμοίαν δὴ μάλιστ᾽ εἶδον, γύναι.
Μν. "ἐγὼ δὲ Μενελάῳ σ᾽, ὅσα γ᾽ ἐκ τῶν ἰφύων.

900. Antigone in Eurip. Phœnissis Creonti ait v. 1687.

ἦ γὰρ γαμοῦμαι ζῶσα παιδὶ σῷ πότε;

901. Μενέλεων. Sic ex metri necessitate hoc loco legendum: vulgo Μενέλαον, syllaba in versu redundante. In cod. προδοῦσα Μενέλαον ἐμὸν ἐν Τροίᾳ πόσιν. Quo quidem modo constant numeri: sed desideratur articulus, quem abesse non patitur linguæ ratio.

904. Apud Euripidem Herc. Fur. 515. Megara præter spem maritum Herculem videns, Amphitryoni ait:

ὦ πρέσβυ, λεύσσω τἀμὰ φίλτατ᾽, ἢ τί φῶ;

cui respondet senex:

οὐκ οἶδα, θύγατερ· ἀφασία δὲ κἄμ᾽ ἔχει.

In Helena autem Menelaus uxori suæ, quam nondum agnovit, ait, v. 556.

ὡς δέμας δείξασα σὸν,
ἔκπληξιν ἡμῖν ἀφασίαν τε προστιθεῖς.

BERGLER.

Confer quæ notavit in Epist. Cr. ii. p. 61. elegantissimus Ruhnkenius ad Apollonii versum:

ὡς ηὔδα. Κύπριν δ᾽ ἐνεοστασίη λάβε μύθων.

905. Hic versus ex Euripideo in Helena 565. paululum immutatus.

τίς εἶ; τίν᾽ ὄψιν σὴν, γύναι, προσδέρκομαι;

Quatuor sequentes ex Euripidis dramate nulla mutatione desumti. In primo utriusque poëtæ exemplaria habent αὐτὸς, cujus loco ad scribendi normam reponimus ὡὐτός. Vide Valckenarium ad Phœn. p. 340.

910. In Helena v. 572. legitur:

ἐγὼ δὲ Μενελάῳ γέ σ᾽· οὐδ᾽ ἔχω τί φῶ.

Ultimam versus partem ridiculi causa mutavit Comicus, servata quadam soni similitudine, τι φω, ιφυων, Euripidi natalium sordes, et matrem λαχανοπωλήτρίαν identidem objicens. In cod. ut in vett. editt. legitur,

ἐγὼ δὲ Μενέλαον ὅσα γ᾽ ἐκ τῶν ἀφύων.

Manifestæ corruptelæ, quæ tamen unicam afficit literam, medelam ex Euripide arcessivit Kusterus, clausulam tragici versus comico hemistichio adsuens. Insulsum est, quod conjecit Berglerus, ὅσα γ᾽ ἐκ τῶν ὀφρύων. Genuinam lectionem apud Suidam latentem in ἰφύη, sagaciter detexit, et ingeniose adseruit Piersonus ad Mœrin pag. 7. qui omnino adeundus:

ἐγὼ δὲ Μενελάῳ σ᾽, ὅσα γ᾽ ἐκ τῶν ἰφύων.

Ευ. “ ἔγνως ἄρ' ὀρθῶς ἄνδρα δυστυχέστατον.
Μν. “ ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας,
“ λαβέ με, λαβέ με, πόσι·
“ περίβαλλε δὲ χέρας.
“ φέρε, σε κύσω. ἄπαγέ μ', ἄπαγ', ἄπαγ', ἄπαγέ με,
“ λαβὼν ταχὺ πάνυ.
Γυ. η'. κλαύσετ' ἄρα, νὴ τὼ θεώ,
ὅστις σ' ἀπάξει, τυπτόμενος τῇ λαμπάδι.
Ευ. “ σὺ τὴν ἐμὴν γυναῖκα κωλύεις ἐμέ,
“ τὴν Τυνδάρειον παῖδ', ἐπὶ Σπάρτην ἄγειν;
Γυ. η'. οἴμ', ὡς πανοῦργος κἀυτὸς εἶναί μοι δοκεῖς,
καὶ τοῦδέ τις ξύμβουλος. οὐκ ἐτὸς πάλαι
ἠγυπτιάζετ'. ἀλλ' ὅδε μὲν δώσει δίκην.

Oleris agrestis species est ἴφυον, cujus meminit iterum Comicus in Phœn. fragm. i. quo ex loco de syllabarum quantitate constat. In sup. versu recte apud Tragicum legitur εἶδον, non, ut in Comici editt. ἴδον. Vide notam ad Lys. 759.

911. Hic versus et sequens ex Helena desumti sunt. Cod. et Juntina perperam χέρας habent pro χέρας, quod reposuit Zanettus.

913. Vox πόσι in impressis omissa, codicis fide nititur, e quo etiam versum abhinc secundum edidi, qui integer senarius est.

916. κλαύσετ' ἄρα, ὅστις. Sic v. 248. οἰμώξετ' ἄρ', εἴ τις—Nulla causa est, cur cum Dawesio p. 272. scribatur κλαύσεται, νὴ τὼ θεώ. Diphthongos quandoque elisisse poëtas Atticos, idque jure suo, nemo est hodie qui non agnoscat. Non omnia exempla, quæ apud Comicum occurrunt, observavit eruditus Britannus. Infra 1012.

ὅτι δεῖ με γίγνεσθ' Ἀνδρομέδαν. πάντως δ' ἐμοί—

1178.

ὀρχησομένη γὰρ ἔρχεθ' ὡς ἄνδρας τινάς.

Lys. 927.

ἀλλ' οὐ δέομ' οὐδὲν ἔγωγε.—Νὴ Δί' ἀλλ' ἐγώ.

Nub. 523.

πρώτους ἠξίωσ' ἀναγεῦσ' ὑμᾶς, ἣ παρέσχε μοι—

Nub. 1140.

οὕτως ἀπολήψεσθ', ἀλλὰ λοιδοροῦσί με.

Suntque alia multa, quæ proferre inutile est: suffecerit legisse, quæ in istum Dawesii canonem observavit Th. Burgess. In Lys. v. 768. vitari potuisset elisio, scribendo cum Valckenario ad Herodot. p. 638.

ἀλλ' οὐ δύναμαί γ' ἔτ' οὐδὲ κοιμᾶσθαι 'ν πόλει.

922. αἰγυπτιάζειν hic est vox anceps. Tam enim significare potest *de Ægypto quædam garrire, vel loqui*; quam *Ægyptiorum versutiam et fraudulentos mores imitari*. Eo enim nomine gens illa olim male audiebat; unde proverbium:

δεινοὶ πλέκειν τὰς μηχανὰς Αἰγύπτιοι.

KUSTER.

Versus in nota citatus est Æschyli, sub cujus nomine legitur emendate in notis ad Nub. 1128.

δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.

προσέρχεται γὰρ ὁ Πρύτανις, χὠ τοξότης.
Ευ. τουτὶ πονηρόν· ἀλλ' ὑπαποκινητέον.
Μν. ἐγὼ δ' ὁ κακοδαίμων, τί δρῶ;
Ευ. μέν' ἥσυχος.
οὐ γὰρ προδώσω σ' οὐδέποτ', ἤν περ ἐμπνέω,
ἢν μὴ προλίπωσ' αἱ μυρίαι με μηχαναί·
Μν. αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν.
Πρ. ὅδ' ἔσθ' ὁ πανοῦργος, ὃν ἔλεγ' ἡμῖν Κλεισθένης;
οὗτος, τί κύπτεις; δῆσον αὐτὸν, εἰσάγων,
ὦ τοξότ', ἐν τῇ σανίδι, κἄπειτ' ἐνθαδὶ
στήσας φύλαττε, καὶ προσιέναι μηδένα
ἔα πρὸς αὐτὸν, ἀλλὰ τὴν μάστιγ' ἔχων,
παῖ', ἢν προσίῃ τις.
Γυ. η'. νὴ Δί', ὡς νῦν δῆτ' ἀνὴρ

924. ὑπαποκινητέον. Idem compositum reposui Av. 1011.

κἀμοὶ πιθόμενος ὑπαποκίνει τῆς ὁδοῦ.

926. ἤν περ ἐμπνέω. Ad verbum, *si modo vixero.* Nam ἤνπερ per se significare non potest *quoad.* Scribere potuit Comicus ἕς τ' ἂν ἐμπνέω.

927. ἢν μὴ προλίπωσ' αἱ μυρίαι με μηχαναί. Sic bene Kusterus in notis post Scaligerum. Vulgo προλείπωσ', redundante syllaba, quia in μυρίαι prima necessario producitur, ut supra 475. 555. Lys. 355. Ran. 63. Pace 521. et sic ubicunque occurrit vel simplex vel compositum.

928. αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν. *Funis quidem iste piscium attraxit nihil.* Proverbium translatum a piscatoribus qui sæpe hamum retrahunt inanem. Eo alluditur Vesp. 175. ἀλλ' οὐκ ἔσπασε ταύτῃ γ'—

Perquam inepte in edit. omnibus versus hic mulieri tributus est. Vers. 924. secum loquens effatur Euripides. Ejus verba excipit Mnesilochus solus: *Abibis tu quidem; at ego quid faciam infelix?* Eum gener bono animo esse jubet, pollicitus se ei non defuturum, quamdiu suppetent doli, quorum struendi callidissimus est artifex. Sermonem hunc mulier non exaudit, quæ postquam procedentem in scenam Prytanin conspexit, ad eum se converterat. Mnesilochus vero, ut par est, Euripidi respondet: *Istud quidem bene promittis; at vide ut doctiorem comminiscaris dolum: namque hic funiculus, quem modo demisisti, nihil eduxit.* Hæc mulier dicere non potest, quæ personatum Menelaum, quicum collocuta est, ignorat qui sit, nec liquido perspexit istius hominis consilium. Probabile est in codice, quem habuit B. Junta, perinde ac in August. interloquendi vices personarum nominibus distinctas non fuisse, sed lineola: unde factum, ut magno cum actionis scenicæ detrimento, et contra decorum, mulieri adscriptus fuerit hic versus, quem plane licuit in Mnesilochi partes transcribendum esse.

929. ὃν ἔλεγ' ἡμῖν. Sic cod. Vulgo immodulate ὃν ἔλεγεν ἡμῖν.

ὀλίγου μ' ἀφεῖλετ' αὐτὸν ἱστιοῤῥάφος.
Μν. ὦ Πρύτανι, πρὸς τῆς δεξιᾶς, ἥνπερ φιλεῖς
κοίλην προτείνειν, ἀργύριον ἤν τις διδῷ,
χάρισαι βραχύ τι μοι, καίπερ ἀποθανουμένῳ.
Πρ. τί σοι χαριοῦμαι;
Μν. γυμνὸν ἀποδύσαντά με
κέλευε πρὸς τῇ σανίδι δεῖν τὸν τοξότην,
ἵνα μὴ 'ν κροκωτοῖς καὶ μίτραις γέρων ἀνὴρ
γέλωτα παρέχω τοῖς κόραξιν ἑστιῶν.
Πρ. ἔχοντα ταῦτ' ἔδοξε τῇ Βουλῇ σε δεῖν,
ἵνα τοῖς παριοῦσι δῆλος ᾖς πανοῦργος ὤν.
Μν. ἰαππαπαιάξ· ὦ κροκώθ', οἷ' εἴργασαι·
κοὐκ ἔστιν ἔτ' ἐλπὶς οὐδεμία σωτηρίας.

Χορός.

ἄγε νῦν ἡμεῖς παίσωμεν, ἅπερ νόμος ἐνθάδε ταῖσι γυναιξὶν,
ὅταν ὄργια σεμνὰ θεαῖν ἱεραῖς ὥραις ἀνέχωμεν, ἅπερ καὶ
Παύσων σέβεται, καὶ νηστεύει,

935. *ὀλίγου μ' ἀφεῖλετ' αὐτὸν ἱστιοῤῥάφος.* Sic bene cod. Perperam vulgo *ὀλίγον*, quod recte emendavit Dawesius p. 330. Confer notam ad Lys. 31. Nub. 722. *ὀλίγου φροῦδος γιγνόμαι.* Male autem vertit Kusterus, *sutor ille fraudum*, tanquam si certum aliquem et notum designaret hominem. Mulier Euripidem non noverat; ignorabat, quis esset ille homo, qui sub persona Menelai Mnesilochum abducere tentaverat: nec amplius Euripides erat in scena: cum itaque nullo modo designare poterat. In eodem errore versatur Dawesius, rescribi volens *ὁ ἱστιοῤῥάφος.* Eo sensu ex Atticismi indole scriptum oportuisset geminato articulo *ὁ ἀνὴρ ὁ ἱστιοῤῥάφος.* Sed subauditur hic indefinitum *τις*, cujus non infrequens ellipsis, et verti debuit, ut feci, *veterator nescio quis.*

939. *τί σοι χαριοῦμαι;* Sic ex Atticæ dialecti usu scribendum. Vulgo *χαρίσομαι.* Vide Piersonum ad Mœrin p. 106.

941. *ἵνα μὴ 'ν κροκωτοῖς.* Sic recte cod. ut Kusterus in notis emendandum censuit. Vulgo omissa præpositione *ἵνα μὴ κροκωτοῖς.* Similis erat menda in Euripidis Oreste v. 800.

943. *ἔδοξε.* Perperam vulgo cum metri labe *ἔδοξεν.*

944. *τοῖς παριοῦσι.* Vulgo libri, sed mendose *τοῖς παροῦσι.* In Ran. 748. recte Kusterus reponit *ἀπίῃς* pro *ἀπῇς.* Confer Vesp. 623. Proclivis error in permutatione horum verborum, cujus contrarium exemplum observavi ad Apollonium ii. 195.

947. Prout vulgo in quatuor lineas hic et sequens versus divisi sunt, non temere quis opinabitur editores fugisse, anapæsticos eos esse tetrametros, quorum ad legem in priore scriptum oportuit *ταῖσι γυν*—non, ut vulgo *ταῖς. παίσωμεν* à Zanetto recte emendatum fuit, quum in Juntina esset *πίσωμεν*, quæ codicis etiam scriptura est.

πολλάκις αὐταῖν ἐκ τῶν ὡρῶν
ἐς τὰς ὥρας ξυνεπευχόμενος
τοιαῦτα μέλειν θάμ' ἑαυτῷ.
ὅρμα, χώρει
κοῦφα ποσὶν, ἄγ' ἐς κύκλον,
χειρὶ σύναπτε χεῖρα, ῥυθμὸν χορείας
ὕπαγε πᾶσα· βαῖνε καρπαλίμοιν ποδοῖν.
ἐπισκοπεῖν δὲ, πανταχῇ
κυκλοῦσαν ὄμμα, χρὴ χοροῦ κατάστασιν.
ἅμα δὲ καὶ
γένος Ὀλυμπίων θεῶν
μέλπε, καὶ γέραιρε φωνῇ, πᾶσα χορομανεῖ τρόπῳ.
εἰ δέ τις
προσδοκᾷ κακῶς ἐρεῖν
ἐν ἱερῷ γυναῖκά μ' οὖσαν ἄνδρας,
οὐκ ὀρθῶς φρονεῖ.
ἀλλὰ χρὴ,
ὥσπερ ἔργον αὖ τι καινὸν,
πρῶτον εὐκύκλου χορείας εὐφυῆ στῆσαι βάσιν.
πρόβαινε ποσὶν, τὸν Εὐλύραν
μέλπουσα, καὶ τὴν τοξοφόρον
Ἄρτεμιν, ἄνασσαν ἁγνήν.
χαῖρ' ὦ Ἑκάεργε, ὄπαζε δὲ νίκην.
Ἥραν τε τὴν Τελείαν
μέλψωμεν, ὥσπερ εἰκὸς,
ἣ πᾶσι τοῖς χοροῖσιν ἐμπαίζει τε, καὶ
κλῇδας γάμου φυλάττει.
Ἑρμῆν τε Νόμιον ἄντομαι,

951. ξυνεπευχόμενος. Sic optime cod. Vulgo ξυνευχόμενος. Vide notam ad Lys. 408.

952. τοιαῦτα μέλειν. Perperam Juntina μέλλειν contra metrum et sensum. Illud bene restitutum in Venetis Zanetti cura: sed ut supra πίσωμεν, hic μέλλειν revocarunt posteriores editores.

968. εὐφυῆ. Magis Atticum esset εὐφυᾶ, ut Nub. 76. ὑπερφυᾶ. Sed illud in chorico cantico locum suum tuetur.

975. Senarius est, ut v. 983. qui vulgo male digesti sunt.

καὶ Πᾶνα, καὶ Νύμφας φίλας,
ἐπιγελάσαι προθύμως
ταῖς ἡμετέραις χαρέντα χορείαις.
ἔξαιρε δὴ προθύμως
διπλῆν χεροῖν χορείαν.
παίσωμεν, ὦ γυναῖκες, οἷά περ νόμος·
νηστεύωμεν δὲ πάντως·
ἀλλ' εἶ' ἐπ' ἄλλ' ἀνάστρεφ' εὐρύθμῳ ποδὶ,
τόρευε πᾶσαν ᾠδήν·
ἡγοῦ δέ γ' ὧδ' αὐτὸς
σὺ, κισσοφόρε Βάκχειε δέσποτ'· ἐγὼ δὲ κώμοις
σὲ φιλοχόροισι μέλψω
Εὔϊον, ὦ Διόνυσε,
Βρόμιε, καὶ Σεμέλας παῖ,
χοροῖς τερπόμενος, κατ' ὄρεα, Νυμφᾶν,
ἐρατοῖς ἐν ὕμνοις
Εὔϊον, Εὔϊον, εὐοῖ ἀναχορεύων.
ἀμφὶ δὲ σοὶ κτυπεῖται
Κιθαρώνιος Ἠχὼ,
μελάμφυλλά τ' ὄρη δάσκια, καὶ νάπαι
πετρώδεις βρέμονται·
κύκλῳ δὲ περὶ σὲ κισσὸς
εὐπέταλος ἕλικι θάλλει.

ΤΟΞΟΤΗΣ, ΜΝΗΣΙΛΟΧΟΣ, ΕΥΡΙΠΙΔΗΣ, ΧΟΡΟΣ.

Το. ΕΝΤΑΥΤΑ νῦν οἰμῶξι πρὸς τὴν αἰτρίαν.

982. *διπλῆν χεροῖν χορείαν.* Sic bene Zanettus edidit. In cod. duo præcedentes versus omissi: hic autem sic scriptus est: *δὲ πλὴν χαίρειν χορείας.* In Juntina *διπλὴν χαίρειν χορείας.* Heysch. *διπλῆ. ὀρχήσεως εἶδος, ἢ κρούματος*: ad quam glossam vide Interpretes. Quod Bisetus conjecerat, Kusterusque in versione expressit, *διπλῆν, χάριν χορείας,* haud sane ineptum est.

986. *τόρευε πᾶσαν ᾠδήν.* Probabiliter Bentleius loco ad v. 56. citato legit *τόρνευε πᾶσαν ᾠδήν.*

1001. Lictor Scytha barbare loquitur, quod neminem fugit; neque id monere necesse erat. Sed aliud quid erat, quod animadvertere debebant editores, Scythæ sermonem, licet barbarum, nu-

Μν. ὦ τοξόθ', ἱκετεύω σε.
Το. μή μ' ἱκέτευε σύ.
Μν. χάλασον τὸν ἧλον.
Το. ἀλλὰ ταῦτα δρᾶς ἐγώ.
Μν. οἴ μοι κακοδαίμων, μᾶλλον ἐπικρούσεις σύ γε.
Το. ἔτι μᾶλλον, ἂν βουλῇς.
Μν. ἀταταὶ, ἀτατταταί·
κακῶς ἀπόλοιο.
Το. σῖγα, κακοδαίμων γέρον.
πέρ' ἐγὼ ξυνίγκι πορμὸς, ἵνα πυλάξι σοι.
Μν. ταυτὶ τὰ βέλτιστ' ἀπολέλαυκ' Εὐριπίδου.
ἔα· θεοὶ, Ζεῦ Σῶτερ, εἰσὶν ἐλπίδες.
ἀνὴρ ἔοικεν οὐ προδώσειν· ἀλλ' ἐμοὶ
σημεῖον ὑπεδήλωσε Περσεὺς ἐκδραμὼν,

meris tamen conclusum esse, utpote qui pars sit comœdiæ metro ligatæ. Barbarismi sunt personæ, at versus poëtæ sunt, iique omnes ad metricas leges exacti esse debent. Nec aliter se apud nos res habet: si quando comicus poëta aut rusticum, aut peregrinum in scenam inducit, mixobarbarum ei sermonem tribuit, numeros tamen et ὁμοιοτελεύτου leges observat. Uno verbo in comœdia metro ligata personæ omnes versu loquuntur. At nimium quantum in Scythæ hujus partibus indulserunt sibi librarii et editores, cujus sermonem diligenter ad numeros revocabo. Et primo quidem in vulgatis libris mendose circumfertur hic versus:

ἐνταῦθα νῦν οἰμώζυι πρὸς τὴν αἰτρίαν.

Vides spondeum in quarta sede. Cod. et vett. editt. οἰμώξει. Lege οἰμῶξι. Adumbratum hoc ex Æschylo, apud quem Robur postquam Prometheum scopulo adfixit, ei dicit v. 82. ἐνταῦθα νῦν ὕβριζε. Præterea e Scythæ sermone aspiratio abesse debet; ut αἰτρίαν, sic ἐνταῦτα scribendum erat. Hoc semel observasse satis erit.

1002. μή μ' ἱκέτευε σύ. Male vulgo μή μ' ἱκετεύσῃ σύ.

Probabilior emendatio erat μή μ' ἱκετεῦσι σύ. Sic sup. v. οἰμῶξι. v. 1108. λαλῆσι. 1127. ἀποκεκόψι. 1176. ἀνεγείρι. 1179. ὀρχῆσι, μελιτῆσι, aliaque, e quibus analogiam quamdam in istis Scythæ barbarismis observare licet.

1005. Vulgo legitur sine ulla metri forma, nec ad sensum satis perspicue:

ἔτι μᾶλλον βουλῇς.—ἀτταταὶ, ταττα-ταί.

1007. πέρ' ἐγὼ ξυνίγκι πορμὸς, ἵνα πυλάξι σοι. Sic est in cod. Sed emendanda erat scriptura, πέρ' ἐγὼ 'ξενίγκι—id est φέρ' ἐγὼ ἐξενίγκω φορμὸν, ἵνα φυλάξω σε. Pessime vulgo ξυνίγκι et πυλάξῃ, ita ut nec secundam, nec sextam sedem pes teneat legitimus. In ligno jam vinctus erat Mnesilochus, quod statim factum fuit, postquam Prytanis v. 930. lictorem jussit eum vincire. Scythæ nihil aliud e mandatis exsequendum supererat, nisi ut vinctum eum observaret, impediretque ne quis ad eum accederet: ne stando defatigetur, stoream petit, in qua recumbat.

ὅτι δεῖ με γίγνεσθ' Ἀνδρομέδαν· πάντως δ' ἐμοὶ
τὰ δέσμ' ὑπάρχει. δῆλον οὖν ἐστίν γ', ὅτι
ἥξει με σώσων· οὐ γὰρ ἂν παρέπτατο.

Εὐριπίδης ὡς Περσεύς.

φίλαι παρθένοι, φίλαι,
πῶς ἂν ἐπέλθοιμι, καὶ
τὸν Σκύθην λάθοιμι;
κλύοις, ὦ
προσαυδῶσα τὰς ἐν ἄντροις,
κατάνευσον, ἔασον ὡς
τὴν γυναῖκά μ' ἐλθεῖν.

Μν. ἄνοικτος, ὅς μ' ἔδησε, τὸν
πολυπονώτατον βροτῶν.
μόλις δὲ γραῖαν ἀποφυγὼν
σαπρὰν, ἀπωλόμην ὅμως.
ὅδε γὰρ ὁ Σκύθης φύλαξ
πάλαι ἐφέστηκ', ὀλοὸν,
ἄφιλον κρεμάσας κόραξι,
δεῖπνον· ὁρᾷς; οὐ χοροῖσιν,
οὐδ' ὑφ' ἡλίκων νεανίδων,
ψήφων κημὸν ἕστηκ' ἔχουσ'·
ἀλλ' ἐν πυκνοῖς δεσμοῖσιν ἐμπεπλεγμένη,
κήτει βορὰ τῷ Γλαυκέτῃ πρόκειμαι.

Non video qui Toupio ad Suidam iii. 192. in mentem venire potuit φορμὸν hic pro fune accipi debere.

1013. δῆλον οὖν ἐστίν γ', ὅτι. Sic bene Kusterus in notis. Vulgo ruente versu δῆλον οὖν ἔσθ' ὅτι.

1016. Vulgo legitur πῶς ἂν ἀπέλθοιμι, καὶ τὸν Σκύθην λάβοιμι. *Utinam abire queam et Scytham deprehendere!* quo nihil excogitari potest magis absurdum. Sponte sua ex his enascitur genuina lectio ἐπέλθοιμι—λάθοιμι.

1019. προσαυδῶσα. Vulgo προσιδοῦσα absque sensu. In cod. προσαιδοῦσσα. Echûs implorat opem, quæ montium antrorumque incolas Nymphas alloquitur.

1022. In hoc cantico Mnesilochus modo ex sua, modo ex Andromedæ persona loquitur, ex animi perturbatione, quod facetissimum est.

1028. κρεμάσας. Vulgo ἐκρέμασε.

1033. Γλαυκέτης, famosus helluo, cujus meminit iterum Comicus Pace 1008. Hujus nomine tanquam aptissimo epitheto ad exprimendam monstri marini voracitatem utitur.

γαμηλίῳ μὲν οὐ ξὺν
παιῶνι, δεσμίῳ δὲ,
γοᾶσθέ μ', ὦ γυναῖκες, ὡς
μέλεα μὲν πέπονθα, μέλεος,
ὢ τάλας ἐγὼ, τάλας,
* * * * * * *
ἀπὸ δὲ συγγόνων, ἀλλ' ἂν
ἄνομα πάθεα φῶτα λιτομέναν,
πολυδάκρυτον Ἀΐδα γόον φλέγουσαν,
αἶ, αἶ, αἶ, αἶ,
ὃς ἔμ' ἀπεξύρησε πρῶτον,
ὃς ἐμὲ κροκόεντ' ἐνέδυσεν·
ἐπὶ δὲ τοῖσδε τόδ' ἀνέπεμψεν
ἱερὸν, ἔνθα γυναῖκες.
ἰώ μοι μοίρας ἄτεγκτε δαίμων·
ὢ κατάρατος ἐγώ· τίς ἐμὸν οὐκ ἐποικτερεῖ
πάθος ἀμέγαρτον ἐπὶ κακῶν παρουσίᾳ;
εἴθ' ἐμὲ πυρφόρος αἰθέρος ἀστὴρ
τὸν δύσμορον ἐξολέσειεν.
οὐ γὰρ ἔτ' ἀθανάταν φλόγα λεύσσειν
ἐστὶν ἐμοὶ φίλον, ὡς ἐκρεμάσθην,
λαιμότμητ' ἄχη δαιμονῶν, αἰόλᾳ

Post v. 1038. aliquid deesse credo.

1041. *γόον φλέγουσαν.* Mendose vulgo *φεύγουσαν.* Genuinam lectionem, si bene commemini, Musgravio acceptam fero. Sed Euripidis locum non recordor, cujus occasione emendationem hanc protulit. Alibi, scilicet ad Rhesum 110. exemplum suppeditat commutationis verborum *φεύγειν* et *φλέγειν.* Hujus metaphoricum usum observavi ad Æsch. Pers. 393. Sequens versus in cod. sic scriptus est: *αἶ αἶ αἶ αἶ ἒ ἶ* —

1048. *ἐποικτερεῖ.* Sententiæ ductu hoc reposui, pro vulgato *ἐπόψεται,* quod ineptum est.

1051. *τὸν δύσμορον.* Hoc etiam sententia flagitat: absurde vulgo *τὸν βάρβαρον.*

1054. *λαιμότμητ' ἄχη δαιμονῶν, αἰόλᾳ νέκυσιν ἐπὶ πορείᾳ.* Ordo est: *ὡς ἐκρεμάσθην ἐπὶ πορείᾳ αἰόλᾳ νεκύων, δαιμονῶν ἄχη λαιμότμητα.* Vulgo *δαιμόνων,* tanquam si esset pluralis genitivus, quum sit participium verbi *δαιμονᾷν.* In istis autem *δαιμονῶν ἄχη λαιμότμητα* subauditur vel *κατὰ* vel *διά.* Perinde est ac si dixisset *δαιμονῶν ἄχεσι λαιμοτμήτοις.* Mendosa est etiam vulgata scriptura *αἰόλαν πορείαν.* Ad latus olim pingi solitum ι, mutatum fuit in ν, quod millies contigit. *ἐπὶ,* quo sensu hic positum

νέκυσιν ἐπὶ πορείᾳ.

Εὐριπίδης ὡς Ἠχώ.

" χαῖρ', ὦ φίλη παῖ· τὸν δὲ πατέρα Κηφέα,
" ὅς σ' ἐξέθηκεν, ἀπολέσειαν οἱ θεοί.

Μνησίλοχος ὡς Ἀνδρομέδη.

" σὺ δ' εἶ τίς, ἥτις τοὐμὸν ᾤκτειρας πάθος;
Ευ. " Ἠχὼ λόγων ἀντῳδὸς ἐπικοκκύστρια,
" ἥπερ πέρυσιν ἐν τῷδε ταυτῷ χωρίῳ
" Εὐριπίδῃ καὐτὴ ξυνηγωνιζόμην.
" ἀλλ', ὦ τέκνον, σὲ μὲν τοσαῦτα χρὴ ποιεῖν,
" κλάειν ἐλεεινῶς.
Μν. " σὲ δ' ἐπικλάειν ὕστερον.
Ευ. " ἐμοὶ μελήσει ταυτά γ'. ἀλλ' ἄρχου λόγων.
Μν. " ὦ Νὺξ ἱερὰ,
" ὡς μακρὸν ἵππευμα διώκεις,
" ἀστεροειδέα νῶτα διφρεύουσ'
" αἰθέρος ἱερᾶς,
" τοῦ σεμνοτάτου δι' Ὀλύμπου.
Ευ. " δι' Ὀλύμπου.
Μν. " τί ποτ' Ἀνδρομέδα περίαλλα κακῶν
" μέρος ἐξέλαχον;
Ευ. " μέρος ἐξέλαχον;
Μν. " θανάτου τλήμων.

est, tertium casum regit: ἐκρεμάσθην ἐπὶ θανάτῳ. Dativus autem νέκυσιν, figura poëtis usitata, quam Colophoniam vocant, est pro genitivo νεκύων. De ea vide quæ notavi ad Eurip. Phœn. 85.

Hesych. δαιμονᾷ, ὑπὸ δαίμονος κατέχεται. Suidas: δαιμονᾷν, ὑπὸ δαίμονος κατέχεσθαι, καὶ μαίνεσθαι. Posteriore significatione, scilicet pro *lymphata mente furiari*, hic adhibitum. Æschylus S. Th. 1003.

ἰὼ πάντων πολυπονώτατοι·
ἰὼ δαιμονῶντες ἐν ἄτᾳ.

Choëph. 564.

—ἐπειδὴ δαιμονᾷ δόμος κακοῖς.

Eurip. Phœn. 899.

ὡς δαιμονῶντας, κἀνατρέψαντας πόλιν.

1059. ἐπικοκκύστρια. Sic recte Kusterus e Biseti emendatione edidit. Vett. editt. ἐπικοκκάστρια. Mendosius cod. ἐπικοκκάστρεια.

1065. Sunt ipsius Euripidis ex Andromeda versus, quos latinos fecerat Ennius:

Quæ cava cœli signitenentibus
conficis bigis—

Ευ. « θανάτου τλήμων.
Μν. « ἀπολεῖς μ', ὦ γραῦ, στωμυλλομένη.
Ευ. « στωμυλλομένη.
Μν. « νὴ Δί', ὀχληρά γ' εἰσήῤῥηκας
« λίαν.
Ευ. « λίαν.
Μν. « ὦ 'γάθ', ἔασόν μεμονῳδῆσαι,
« καὶ χαριεῖ μοι. παῦσαι.
Ευ. « παῦσαι.
Μν. « βάλλ' ἐς κόρακας.
Ευ. « βάλλ' ἐς κόρακας.
Μν. « τί τὸ κακόν;
Ευ. « τί τὸ κακόν;
Μν. « ληρεῖς.
Ευ. « ληρεῖς.
Μν. « οἴμωζ'.
Ευ. « οἴμωζ'.
Μν. « ὀτότυζ'.
Ευ. « ὀτότυζ'.
Το. οὗτος, σί λαλεῖς;
Ευ. « οὗτος, σί λαλεῖς;
Το. Πρυτάνεις καλέσω.
Ευ. « Πρυτάνεις καλέσω.
Το. σί κακόν;
Ευ. « σί κακόν;
Το. πωτετοπωνή;
Ευ. « πωτετοπωνή;
Το. σὺ λαλεῖς;
Ευ. « σὺ λαλεῖς;

1073. Sunt versus anapæstici. Vulgatum στωμυλλωμένη nec metrum admittit, nec agnoscit græca lingua. In cod. στωμυλομένη. In Juntina στωμυλωμένη.

1083. σί λαλεῖς. Barbaro lictori σί valet τί.

1086. πωτετοπωνή; id est, πόθεν ἡ φωνή;

1087. σὺ λαλεῖς; Sic bene cod. Tune loqueris?

Το. κλαύσει.
Ευ. " κλαύσει.
Το. κακκάσκη μοι;
Ευ. " κακκάσκη μοι;
Μν. μὰ Δί', ἀλλὰ γυνὴ πλησίον αὕτη.
Ευ. " πλησίον αὕτη.
Το. ποῦ 'στ' ἡ μιαρά; καὶ δὴ φεύγει.
ποῖ, ποῖ φεύγεις;
Ευ. " ποῖ, ποῖ φεύγεις;
Το. οὐκ αἰρήσεις;
Ευ. " οὐκ αἰρήσεις;
Το. ἔτι γὰρ γρύζεις;
Ευ. " ἔτι γὰρ γρύζεις;
Το. λαβὲ τῆ μιαρᾷ.
Ευ. " λαβὲ τῆ μιαρᾷ.
Το. λαλοκαικαταρατογύναικο.

Εὐριπίδης ὡς Περσεύς.

" ὦ θεοὶ, τίν' ἐς γῆν βαρβάρων ἀφίγμεθα
" ταχεῖ πεδίλῳ; διὰ μέσου γὰρ αἰθέρος
" τέμνων κέλευθον, πόδα τίθημ' ὑπόπτερον,
" Περσεὺς, πρὸς Ἄργος ναυστολῶν, τὸ Γοργόνος
" κάρα κομίζων.
Το. τί λέγι Γοργόνος πέρι;
τὸ γραμματέο συ τῆ κεπαλῆ τὴν Γοργόνος;
Ευ. " ἔγωγε φημί.
Το. Γοργό τοι κἀγὼ λέγι.

1088. Vulgo bis κλαύσαιμι. Unde sensum quidem elicuit interpres: sed depravata sunt verba, quæ ad metri ductum restitui; κλαύσει—κλαύσει. Monometer est anapæsticus. Sequens versus dimeter est, in quo male vulgo κακκασκί μοι. Est autem pro καγχάζεις μοι.

1093. Hoc et seq. v. quæ post Scytham repetere debuit Euripides verba, male omittunt cod. et impressi.

1102. Sic vulgo legitur hic versus:

κάρα κομίζων—τί λέγεις τῆ Γοργόνος πέρι;

ubi frustra numeros quæras: repono τί λέγι Γοργόνος πέρι; In Juntina aliisque vett. excusum λέγι. In cod. versus hic et præced. omissi sunt.

1104. Γοργό τοι κἀγὼ λέγι. Sic cod. et vett. editt. Est autem γοργὸ pro γορ-

Ευ. “ ἔα· τίν' ὄχθον τόνδ' ὁρῶ, καὶ παρθένον
“ θεαῖς ὁμοίαν, ναῦν ὅπως, ὡρμισμένην ;
Μν. “ ὦ ξένε, κατοίκτειρόν με τὴν παναθλίαν·
“ λῦσόν με δεσμῶν.
Το. οὐκὶ μὴ λαλῆσι σύ.
κατάρατο τόλμας· ἀποτανουμένη λαλᾷς ;
Ευ. “ ὦ παρθέν', οἰκτείρω σε, κρεμαμένην ὁρῶν.
Το. οὐ παρτέν' ἐστιν, ἀλλ' ἁμαρτωλὴ γέρων,
καὶ κλέπτο, καὶ πανοῦργο.
Ευ. “ ληρεῖς, ὦ Σκύθα.
“ αὕτη γάρ ἐστιν 'Ανδρομέδα παῖς Κηφέως.
Το. σκέψαι τὸ πόστη· μή τι μικτὸν παίνεται ;

γῶ, quod adverbialiter accipio, ut alibi μορμώ. Tantumdem hic valet, ac βάλλ' ἐς κόρακας.

1106. ναῦν ὅπως, ὡρμισμένην. Eurip. Herc. Fur. 1097. τί δεσμοῖς, ναῦς ὅπως, ὡρμισμένος—Hac comparatione utuntur Tragici, ad vinculorum firmitatem significandam. Attii Prometheus apud Ciceronem Tuscul. ii. 9.

Aspicite religatum asperis
vinctumque saxis. Navem ut horrisono freto
noctem paventes timidi adnectunt navitæ;
Saturnius me sic infixit Jupiter.

E notis Bergleri.

1108. οὐκὶ μὴ λαλῆσι σύ. Id est οὐχὶ μὴ λαλήσεις σύ. Vulgo fractis pedibus οὐκί μι λαλῆς σύ.

1112. καὶ κλέπτο. Sic cod. et vett. editt. In recentioribus jugulato metro κλέπτω.

1114. Vulgo sic legitur hic versus:

σκέψαι τὸ σκύτο μῆτι μικτὸν παίνεται.

Sic autem ad eum commentatur Kusterus: *Scaliger τὸ κύστο. Sed quis barbarismos Scythæ, quem Aristophanes de industria vitiose loquentem facit, emendare queat? ubi enim semel a recta via discesseris, omnia incerta sunt.* Bene! sed cur, malum, Kusterus nos non docuit, quænam sit illa *recta via*, cui semper insistere debeamus? Usquedum aliam quis tutiorem mihi monstret, ea, qua cœpi, pergam, ductumque sequar constantis et certi canonis metrici, ad quem exactum illud σκύτο prorsus vitiosum esse deprehenditur. Unde venerit difficile dictu est. En scripturam codicis: σκέψαι τὸ σήντο μῆτι μικτὸν παίνεται. In Juntina excusum: σκέψαι τὸ σκυτομῆτι. μικτὸν παίνεται. In Veneta, σκέψαι τὸ σκῦτοι μῆτι μικτὸν παίνεται. Ista qui vel scripserunt, vel excudi fecerunt, utique non arbitrabantur a quoquam ea intellectum iri, nedum ipsi ea intelligerent. Certum est mendosum esse τὸ σκύτο, quod Scaliger vidit: at quod ipse suggerit, τὸ κύστο, nescio quid ei significaverit. Ad eum modum, quo barbarissat Scytha, esset pro τὸν κύσθον. Sed qui subito sexum mutavit Mnesilochus? Dixerat Scytha, *Virginem eum non esse, sed flagitiosum senem;* adderetne? *Si mihi non credis, cunnum inspice; num tibi nam parvus videtur?* Ego cum bona Kusteri et Scaligeri venia certissime repono:

Ευ. « φέρε δεῦρό μοι τὴν χεῖρ', ἵν' ἅψωμαι κόρης·
« φέρε, Σκύθ'. ἀνθρώποισι γὰρ νοσήματα
« ἅπασιν ἐστίν· ἐμὲ δὲ καὐτὸν τῆς κόρης
« ταύτης ἔρως εἴληφεν.
Το. οὐ ζηλῶ σι σέ·
ἀτὰρ εἰ τὸ πρωκτὸ δεῦρο περιεστραμμένον,
οὐκ ἐπτόνησά σ' αὐτὸ, πυγίζεις ἄγων.
Ευ. « τί δ' οὐκ ἐᾷς λύσαντά μ' αὐτὴν, ὦ Σκύθα,
« πεσεῖν ἐς εὐνὴν, καὶ γαμήλιον λέχος;
Το. εἰ σπόδρ' ἐπιτυμεῖς τῇ γεροντοπύγισο,
τῇ σανιδοτρήσας ἐξοπιστοπρώκτισον.
Ευ. « μὰ Δί', ἀλλὰ λύσω δεσμά.
Το. μαστιγῶ σ' ἄρα.
Ευ. « καὶ μὴν ποιήσω τοῦτο.
Το. τὸ κεπαλή σ' ἄρα
τὸ ξιπομάκαιραν ἀποκεκόψι τουτοΐ.
Ευ. « αἶ, αἶ· τί δράσω; πρὸς τίνας στρεφθῶ λόγους;
« ἀλλ' οὐκ ἂν ἐνδέξαιτο βάρβαρος φύσις.
« σκαιοῖσι γάρ τοι καινὰ προσφέρων σοφὰ,

σκίψαι τὸ πόστη· μή τι μικτὸν παίνεται;

id est σκίψαι τὴν πόσθην· μή τι μικρὰ φαίνεται;—πόσθη, ψωλὴ, *mentula*. Vide Nub. 1014. In τὸ πόστη eadem est barbarismi ratio, quæ infra v. 1126. in τὸ κεπαλὴ, pro τὴν κεφαλήν. Interrogativum est μή τι *num*. Æsch. Prom. 967. μή τι σοι δοκῶ ταρβεῖν;

1115. Perperam vulgo in hoc versu geminatur adverbium δεῦρο.

1116. Prometheus apud Æsch. 275.

συμπονήσατε
τῷ νῦν μογοῦντι. ταὐτά τοι πλανωμένη
πρὸς ἄλλοτ' ἄλλον πημονὴ προσιζάνει.

1118. οὐ ζηλῶ σι σέ. Sic cod. σι pro τι ut supra 1083.

1120. οὐκ ἐπτόνησά σ' αὐτό. Pro οὐκ ἐφθόνησά σοι αὐτόν. Perperam vulgo ἐπτόνησας.

1125. λύσω δεσμά. Sic bene excusum in minoribus Batavis: in aliis manifesto errore δέμας. Quid absurdius quam hujuscemodi mendas revocare?

1127. ξιπομάκαιραν. Sic cod. et Juntina aliæque vett. ἀποκεκόψι pro ἀποκεκόψει: in cod. ἀποκεκόψε. Vulgo ξιπομάκαιρον ἀποκεκόψαι.

1129. ἀλλ' οὐκ ἂν ἐνδέξαιτο. Sic bene Kusterus in notis. Vulgo, claudicante versu, ἀλλ' οὐκ ἂν δέξαιτο.

1130. Suis verbis loquitur Euripides. Sic enim ille in Medea 301.

σκαιοῖσι μὲν γὰρ καινὰ προσφέρων σοφὰ,
δόξεις ἀχρεῖος, κοὐ σοφὸς πεφυκέναι.

Megara apud eundem in Herc. Fur. 298.

" μάτην ἀναλίσκοις ἄν. ἀλλ' ἄλλην τινὰ
" τούτῳ πρέπουσαν μηχανὴν προσοιστέον.
Το. μιαρὸς ἀλώπηξ, οἷον ἐπιτήκιζέ μοι.
Μν. " μέμνησο, Περσεῦ, μ' ὡς καταλείπεις ἀθλίαν.
Το. ἔτι γὰρ σὺ τὴν μάστιγαν ἐπιτυμεῖς λαβεῖν.
Χο. Παλλάδα τὴν φιλόχορον ἐμοὶ
δεῦρο καλεῖν νόμος ἐς
χορὸν, παρθένον,
ἄζυγα κόρην,
ἣ πόλιν ἡμετέραν ἔχει,
καὶ κράτος φανερὸν μόνη,
κληδοῦχός τε καλεῖται.
φάνηθ', ὦ τυράννους
στυγοῦσ', ὥσπερ εἰκός.
δῆμός τοι σε καλεῖ γυναι-
κῶν· ἔχουσα δ' ἐμοὶ μόλοις
εἰρήνην φιλέορτον.
ἥκετ' εὔφρονες, ἵλαοι,
Πότνιαι, ἄλσος ἐς ὑμέτερον·
οὗ δῆτ' ἀνδράσιν οὐ
θεμιτὸν εἰσορᾶν
ὄργια σεμνὰ θεαῖν·
ἵνα λαμπάσι φαί-
νετον ἄμβροτον ὄψιν.
μόλετον, ἔλθετον, ἀντόμεθ', ὦ
Θεσμοφόρω πολὺ πότνια.

φεύγειν σκαιὸν ἄνδρ' ἐχθρὸν χρεὼν,
σοφοῖσι δ' εἴκειν, καὶ τεθραμμένοις καλῶς·
ῥᾷον γὰρ αἰδοῦς, ὑποβαλὼν φίλ', ἂν τύ-
χοις.

Euripidis in eandem sententiam exstat versus apud Stobæum Floril. Grotii p. 29.

δόξει τις ἀμαθεῖ σοφὰ λέγων, οὐκ εὖ
λέγειν.

1133. ἐπιτήκιζε. Perperam vulgo contra metri legem ἐπιτηκίζει. Verbum πιθηκίζω occurrit Vesp. 1290. ὑπό τι μικρὸν ἐπιθήκισα.

1135. μάστιγαν barbare pro μάστιγα, quod habent impressi cum absono hiatu. In cod. μαστιγᾶν.

1150. Perperam vulgo οὐ δὴ ἀνδράσιν. Ad vitandum hiatum scribi debuit δῆτ'—

εἰ γὰρ πρότερόν ποτ' ἐπηκόω
ἤλθετον, νῦν ἀφίκε-
σθον, ἱκετεύομεν, ἐνθάδ' ἡμῖν.

ΕΥΡΙΠΙΔΗΣ, ΧΟΡΟΣ, ΤΟΞΟΤΗΣ, ΜΝΗΣΙΛΟΧΟΣ.

Ευ. ΓΥΝΑΙΚΕΣ, εἰ βούλεσθε τὸν λοιπὸν χρόνον
σπονδὰς ποιήσασθαι πρὸς ἐμὲ, νυνὶ πάρα·
ἐφ' ᾧ τ' ἀκοῦσαι μηδὲν ὑπ' ἐμοῦ μηδαμῆ
κακὸν τολοιπὸν, ταῦτ' ἐπικηρυκεύομαι.
Χο. χρεία δὲ ποία τόνδ' ἐπεισφέρεις λόγον;
Ευ. ὅδ' ἐστὶν, οὑν τῇ σανίδι, κηδεστὴς ἐμός.
ἢν οὖν κομίσωμαι τοῦτον, οὐδὲν μήποτε
κακῶς ἀκούσετ'· ἢν δὲ μὴ πείθησθέ μοι,
ἃ νῦν ὑποικουρεῖτε, τοῖσιν ἀνδράσιν
ἀπὸ τῆς στρατιᾶς παροῦσιν ὑμῶν διαβαλῶ.
Χο. τὰ μὲν παρ' ἡμῶν ἴσθι σοι πεπεισμένα·
τὸν βάρβαρον δὲ τοῦτον αὐτὸς πεῖθε σύ.
Εὐριπίδης ὡς γραῦς.
ἐμὸν ἔργον ἐστίν· καὶ σὸν ὦ 'λάφιον, ἅ σοι
καθ' ὁδὸν ἔφραζον, ταῦτα μεμνῆσθαι ποιεῖν.
πρῶτον μὲν οὖν δίελθε, κἀνακόλπασον.
σὺ δ', ὦ Τερηδὼν, ἐπαναφύσα Περσικόν.
Το. τί τὸ βόμβο τοῦτο; κῶμο τίς ἀνεγείρι μοι;

1162. μηδαμῆ. Vulgo μηδαμᾶ forma Dorica, quæ in senariis locum non habet. Lys. 733. μηδ' ἀπέλθῃς μηδαμῆ. Soph. Phil. 789.
ἔχετε τὸ πρᾶγμα. μὴ φύγητε μηδαμῆ.

1167. κακῶς ἀκούσετ'. Perperam vulgo et solœce ἀκούσαιτ'.

1168. τοῖσιν ἀνδράσιν ὑμῶν. Cohærent ista verba. Sed haud deterius scribere potuit poëta ὑμᾶς διαβαλῶ, ellipsi præpositionis διὰ, hac constructione: δι' ἃ νῦν ὑποικουρεῖτε, διαβαλῶ ὑμᾶς τοῖς ἀνδράσιν ἀπὸ τῆς στρατιᾶς παροῦσι. Et hoc sincerum esse opinor.

1172. ὦ 'λάφιον, id est ὦ 'Ελάφιον. Confer not. ad v. 4.

1174. κἀνακόλπασον. Biseti emendationi κἀνακόλπισον favet analogia. Formæ sunt usitatæ κολπόω, κολπίζω. Sed κολπάζω, si locum hunc excipias, exemplo caret.

1175. Περσικόν. Vide posterioris fabulæ fragm. vi. et Meursii Orchestram in ὄκλασμα et in Περσική.

Ευ. ἡ παῖς ἔμελλε προμελετᾶν, ὦ τοξότα.
ὀρχησομένη γὰρ ἔρχεθ' ὡς ἄνδρας τινάς.
Το. ὀρκῆσι καὶ μελετῆσι, οὐ κωλύσ' ἐγώ.
ὡς ἐλαπρὸς, ὥσπερ ψύλλο κατὰ τὸ κώδιο.
Ευ. φέρε θοἰμάτιον ἄνωθεν, ὦ τέκνον, τοδί·
καθιζομένη δ' ἐπὶ τοῖσι γόνασι τοῦ Σκύθου,
τὼ πόδε πρότεινον, ἵν' ὑπολύσω.
Το. ναικὶ, ναὶ
κάτησο, κάτησο, ναικὶ, ναὶ, τυγάτριον.
οἴμ', ὡς στέριπο τὸ τιττί', ὥσπερ γογγύλη.
Ευ. αὔλει σὺ θᾶττον· ἔτι δέδοικας τὸν Σκύθην;
Το. καλό γε τὸ πυγή.
(ἀνακύπτει καὶ παρακύπτει ἀπεψωλημένος.)
Ευ. κλαύσετ', ἂν μὴ 'νδον μένῃ.
Το. εἶεν. καλὴ τὸ σκῆμα περὶ τὸ πόστιον.
Ευ. καλῶς ἔχει. λαβὲ θοἰμάτιον· ὥρα 'στὶ νῷν
ἤδη βαδίζειν.
Το. οὐχὶ πιλήσει πρῶτά με;
Ευ. πάνυ γε· φίλησον αὐτόν.
Το. ὂ, ὂ, ὂ, παπαπαπαὶ
ὡς γλυκερὸ τὸ γλῶσσ', ὥσπερ Ἀττικὸς μέλις.
τί οὐ κατεύδει παρ' ἐμέ;
Ευ. χαῖρε, τοξότα·

1182. *τοῖσι γόνασι.* Perperam vulgo claudicante versu *τοῖς γόνασι.*

1185. *ὡς στέριπο τὸ τιττί'*—Sic bene scriptum in cod. Vett. editt. *ὡς τιριπὸ τὸ*—absorpta nominis *στέριπο* litera sibilante a præcedente *ὡς*. In recentioribus *ὡς τεριπὰ τὰ*—

1187. *κλαύσετ', ἂν μὴ 'νδον μένῃ.* Vulgo sine numeris et sensu, *κλαυσεῖ γ', ἂν μὴ 'νδον μένῃς.* Res in versione satis explicata est. Quæ autem ante hæc verba poni debuit parepigraphe, iis vulgo subjecta est, non quidem ut adnotatio, sed tanquam versus fabulæ, licet nullus sit sententiæ nexus, nec in verbis forma metri ulla appareat.

1188. *καλὴ τὸ σκῆμα περὶ τὸ πόστιον.* Hæc est cod. scriptura, quam repræsentant vett. editt. In recentioribus labante metro *καλὸ τὸ*—et *πόσθιον*. Hoc nescio ubi Kusterus viderit *nates* significare.

1190. Vulgo syllaba auctior est hic versus, sed quam metrum respuit: *τί; οὐκὶ πιλήσει*—Istud *τί*, quo sententia bene carere potest, expungi debuit.

1191. *ὂ, ὂ, ὂ, παπαπαπαί.* Sic optime scriptum in cod. Metri formam in impressis non habet hic versus, omissis admirandi adverbiis.

οὐ γὰρ γένοιτ' ἂν τοῦτο.
Το. ναὶ, ναὶ, γρᾴδιον,
ἐμοὶ χάρισο σὺ τοῦτο.
Ευ. δώσεις οὖν δραχμήν;
Το. ναὶ, ναικὶ δῶ σοι.
Ευ. τἀργύριον τοίνυν φέρε.
Το. ἀλλ' οὐκ ἔκ' ὠδέν· ἀλλὰ τὸ συβίνην λαβέ.
Ευ. ἔπειτα κομίζεις αὖθις.
Το. ἀκολούτει, τέκνον.
σὺ δὲ τοῦτο τήρει τῇ γεροντογρᾴδιο.
ὄνομα δέ σοι τί ἐστίν;
Ευ. 'Αρτεμισια.
Το. μεμνῆσι τοίνυν τοὔνομ'· 'Αρτομουξία,
Ευ. 'Ερμῆ Δόλιε, ταυτὶ μὲν ἔτι καλῶς ποιεῖς.
σὺ μὲν οὖν ἀπότρεχε, παιδάριον τουτὶ λαβών·
ἐγὼ δὲ λύσω τόνδε. σὺ δ' ὅπως ἀνδρικῶς,
ὅταν λυθῇς τάχιστα, φεύξει, καὶ τενεῖς

1194. ναὶ, ναὶ, γρᾴδιον. Vulgo ναὶ γραΐδιον, claudicante versu. In cod. ναὶ γρᾴδιον, syllaba deficiente. Ea est ipsa, quam reposui, scilicet ναὶ, quod a poëta geminatum librarius semel tantum scripsit. Infra sæpius occurrit in Scythæ sermone γρᾴδιον. Nec aliter ille, licet barbarissans, id nomen proferre debuit, ac vulgari sermone Attico tritum erat. γραΐδιον semel tantum, si bene memini, apud Comicum occurrit in anapæstis Plut. 536. idque, ut par est, secunda brevi:

> καὶ παιδαρίων ὑποπεινώντων, καὶ γραϊδίων κολοσυρτόν.

1195. ἐμοὶ χάρισο σὺ τοῦτο. Vulgo ἐμοὶ χάρισαι τοῦτο, claudicante versu, In cod. ἐμοὶ χάρισο σοῦ τοῦτο. Oportuit σὺ, quod habuimus jam supra in Scythæ sermone.

1197. τὸ συβίνην. Male vulgo συβήνην. Barbare Scytha συβίνην dicit pro σιβύνην. Nisi hoc modo legatur, perit jocus in paronomasia quæsitus a poëta infra 1215.

1198. ἔπειτα κομίζεις αὖθις. Vulgo pessundato metro κομίζεις αὐτὴν, quod e Zanetti interpolatione est. In cod. et Juntina αὐτοῖς. Hoc autem depravatum est ex αὖτις—ἀκολούτει. Perperam vulgo ἀκολούτι.

1205. Prava interpunctione laboravit hic versus; qui sic vulgo scriptus est:

> σὺ δ' ὅπως ἀνδρικῶς,
> ὅταν λυθῇς τάχιστα φεύξει, καὶ τενεῖς
> ὡς τὴν γυν—

Valckenarius ad Theocr. sel. Idyll. p. 31. pro καὶ τενεῖς suadet κᾆτ' ἀνὴς, quod vulgato non deterius est. Hesych. ἀτενὴς, ἰθὺ, συνεχές. Antiquum tamen retineo. Ordo est: σὺ δὲ φρόντιζε, ὅπως, ὅταν τάχιστα λυθῇς, φεύξει ἀνδρικῶς, καὶ τενεῖς ὡς τὴν γυν—

καὶ τενεῖς ὡς τὴν γυναῖκα. Eurip. Suppl. 720. οἱ δ' ἔτεινον εἰς πύλας. Illi

ὡς τὴν γυναῖκα καὶ τὰ παιδί' οἴκαδε.
Μν. ἐμοὶ μελήσει ταῦτά γ', ἢν ἅπαξ λυθῶ.
Ευ. λέλυσο. σὸν ἔργον, φεῦγε, πρὶν τὸν τοξότην
ἥκοντα καταλαβεῖν.
Μν. ἐγὼ δὴ τοῦτο δρῶ.
Το. ὦ γρᾴδι', ὡς χαρίεντό σοι τὸ τυγάτριον,
κοὐ δύσκολ', ἀλλὰ πρᾶο.---ποῦ τὸ γρᾴδιο;
οἴμ', ὡς ἀπόλωλον· ποῦ τὸ γέροντ' ἐντευτενί;
ὦ γρᾴδι', ὦ γραῦ. οὐκ ἐπαινῶ, γρᾴδιο.
'Αρταμουξία.
διέβαλέ μ' ὦ γραῦς· ἀπότρεκ' ὡς τάκιστα σύ·

vero cursu tendebant ad portas. Ad quem locum vide Marklandum.

Græca ut distinguenda sint, in notis declaravi: Latine autem illa sic reddi debuerunt: *Tu autem vide, ut, quum extemplo solutus fueris, strenue fugias, cursuque contendas ad liberos et uxorem domum.*

1213. ὦ γρᾴδι', ὦ γραῦ. οὐκ—Male vulgo ὦ γρᾷο. οὐκ.

1214. διέβαλέ μ' ὦ γραῦς. Recte cod. διέβαλι. Vulgo διέβαλλι. Suidas: διέβαλεν, ἐξηπάτησεν—'Αριστοφάνης Θεσμοφοριαζούσαις· διέβαλέ μ' ἡ γραῦς, ἀντὶ τοῦ ἐξηπάτησεν. Eodem significatu occurrit hoc verbum forma media Av. 1648.

διαβάλλεταί σ' ὁ θεῖος, ὦ πόνηρε σύ.

Cod. vero et Juntina habent ὁ γραῦς, mendose: oportuit ad metri legem ὦ, ut est in Venetis. Quæ autem sequuntur verba ἀπότρεκ' ὡς τάκιστα σὺ, dicit Scytha, pharetram, quam humi temere jacentem conspicit, vel pede, vel manu longe projiciens. Sequens versus nec latine, nec gallice reddi potest. Pharetram, quam συβίνην appellat Scytha, ἐπώνυμον esse, recteque sic appellari dicit, vel quia hoc pignore dato meretriculam ἐβίνησε, vel potius quia ipse quodammodo καταβεβίνηται. Scilicet anus accepto hoc pignore os ei sublevit, eumque *ludibrio habuit*, quod verbo καταβινεῖν exprimit. Quod Gallicum Græco καταβινεῖν verbum respondet, ad eundem fere modum in proletario sermone adhibetur. Aliter hæc Kusterus accepisse videtur, quantum ex illius versione mox proponenda intelligere est. Scytha in scenam revertitur cum saltatrice Elaphio, quam anus ad se reduci postulaverat, ἔπειτα κομίζεις αὖθις. Meretriculæ opinatus est Kusterus a Scytha dici verba ista ἀπότρεχ' ὡς τάχιστα σύ. Quod insulsum est, et a natura alienum, nedum comicum sit. In scenam vix ingressa meretricula clam lictore elabitur, simul ac ille fraudem persentiscit. Quum enim nec anum, nec senem sibi commissum conspicit, turbatur animi, meretriculam amittit, et præ studio illos conquirendi, de hac non amplius cogitat: et sic natura fert. Quod autem sequitur ὀρτῶς δὲ συβίνη 'στι, Kusterus vertit: *Sed salva est pharetra.* Tanquam si ea solatii aut subsidii aliquid Scythæ adlatura esset! At postremam versus partem sine interpretatione reliquit, cujus sententiam non assequebatur. Sic ei totus hic locus latine sonat: *Decepit me anus. Curre hinc quam celerrime. Sed salva est pharetra. Hei mihi, quid faciam?* Vide quantum tirones hujusmodi versi-

ὀρτῶς δὲ συβίνη 'στι· καταβινῆσι γάρ.
οἴμοι, τί δράσει; ποῖ τὸ γράδιο;
'Αρταμουξία.

Χο. τὴν γραῦν ἐρωτᾷς, ἣ 'φερεν τὰς πηκτίδας;
Το. ναὶ, ναικί. εἶδες αὐτό;
Χο. ταύτη γ' οἴχεται,
αὐτή τ' ἐκείνη, καὶ γέρων τις εἵπετο.
Το. κροκῶτ' ἔκοντο τῇ γέροντο;
Χο. φήμ' ἐγώ.
ἔτ' ἂν καταλάβοις, εἰ διώκοις ταυτηΐ.
Το. ὢ μιαρὸ γρᾷο· πότερα τρέξι τὴν ὁδό;
'Αρταμουξία.
Χο. ὀρθὴν ἄνω δίωκε. ποῖ θεῖς; οὐ πάλιν
τῃδὶ διώξεις; τοὔμπαλιν τρέχεις σύ γε.
Το. κακόδαιμον· ἀλλὰ τρέξι 'Αρταμουξία.
Χο. τρέχε νῦν, τρέχε νῦν, κατὰ τὲς κόρακας ἐπουρίσας,
ἀλλὰ πέπαισται μετρίως ἡμῖν·

one juvari queant, et quid de Aristophane censere debuerint, qui græca ejus legere non potuerunt. Fuere apud nos Gallos elegantes aliquot scriptores ex eorum ordine, quos vernaculo sermone vocare solemus *des Beaux-ésprits*, qui de Aristophane mira judicia tulerunt, quem nunquam legerant nisi in latina versione.

1222. *ὦ μιαρὸ γρᾷο.* Vulgo *ὦ μιαρὸ γραῦ* labante versu. Quod supra v. 1213. male admissum fuerat *γρᾷο*, hic sedem suam tueri debebat.

1226. Hic versus senarius est. Verba *τρέχε νῦν* a poëta geminata semel tantum scripsit librarius.

1227. *ἀλλὰ πέπαισται.* Vulgo male *πέπαυσται.* Hoc ex altero depravatum, quod vidit Bisetus. Et hæc quidem est Attica forma satis nota, ita ut mirer Kusterum prætulisse *πέπαικται.* Sæpe alibi et supra v. 983. *παίσωμεν*, non *παίξωμεν.* Ran. 388. *παῖσαί τε καὶ χορεῦσαι*, non *παῖξαι*: paulo infra *παίσαντα καὶ σκώψαντα.* 411. *συμπαιστρίας*, non *συμπαικτρίας.* Idque Grammaticis etiam observatum. Mœris: *παῖσαι*, 'Αττικῶς. *παῖξαι*, 'Ελληνικῶς. Phrynichus: *παῖξαι Δωριεῖς διὰ τοῦ ξ. ὁ δὲ 'Αττικὸς, παῖσαι, καὶ παίσατε, καὶ συμπαίστης διὰ τοῦ σ' ἐρεῖς.* Sunt autem hi versus anapæstici, quo metro fabulas claudere solet Chorus. Duo primi vulgo in unum coaluerunt: ultimus autem crurifragium passus est, *τούτων χάριν ἀντιδοίτην.* Scripserat poëta *ἀντιδιδοίτην.* In cod. ut in Juntina *ἀνταδοῖτον*: Zanettus *ἀντιδοῖτον.* bene in aliis editt. reposita tertia persona; sed laboranti metro nemo tulerat opem. Fulciendo versui reponi non potuit *ἀντιδοιήτην*, quam formam Atticus sermo non admittit, ut observatum supra ad v. 693.

ὥσθ' ὥρα δή 'στι βαδίζειν
οἴκαδ' ἑκάστῃ.
τὼ Θεσμοφόρω δ' ἡμῖν ἀγαθὴν
τούτων χάριν ἀντιδιδοίτην.

ΤΕΛΟΣ

ΤΩΝ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΩΝ.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΒΑΤΡΑΧΟΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΞΑΝΘΙΑΣ.
ΔΙΟΝΥΣΟΣ.
ΗΡΑΚΛΗΣ.
ΝΕΚΡΟΣ.
ΧΑΡΩΝ.
ΧΟΡΟΣ ΒΑΤΡΑΧΩΝ.
ΧΟΡΟΣ ΜΥΣΤΩΝ.
ΑΙΑΚΟΣ.
ΘΕΡΑΠΑΙΝΑ ΠΕΡΣΕΦΟΝΗΣ.
ΠΑΝΔΟΚΕΥΤΡΙΑΙ.
ΕΥΡΙΠΙΔΗΣ.
ΑΙΣΧΥΛΟΣ.
ΠΛΟΥΤΩΝ.

ΥΠΟΘΕΣΙΣ.

ΔΙΟΝΥΣΟΣ ἐστι μετὰ θεράποντος Ξανθίου δι᾽ Εὐριπίδου πόθον εἰς ᾍδου κατιών· ἔχει δὲ λεοντῆν καὶ ῥόπαλον, πρὸς τὸ τοῖς ἐντυγχάνουσιν ἔκπληξιν παρασχεῖν. ἐλθὼν δὲ ὡς τὸν Ἡρακλέα πρότερον, ἵνα ἐξετάσῃ τὰ κατὰ τὰς ὁδοὺς, δι᾽ ὧν καὶ αὐτὸς, ὅτε ἐποίησε τὴν πορείαν ἐπὶ τὸν Κέρβερον, ᾤχετο· καὶ ὀλίγα περὶ τῶν Τραγικῶν διαλεχθεὶς ὁρμᾶται πρὸς τὸ προκείμενον. ἐπεὶ δὲ πρὸς τῇ Ἀχερουσίᾳ λίμνῃ γίνεται, ὁ μὲν Ξανθίας, διὰ τὸ μὴ συμμεμαχηκέναι εἰς τὴν περὶ Ἀργινούσας ναυμαχίαν, ὑπὸ τοῦ Χάρωνος οὐκ ἀναληφθεὶς, πεζῇ τὴν λίμνην κύκλῳ περιέρχεται· ὁ δὲ Διόνυσος δοὺς διώβολον περᾷ, προσπαίζων ἅμα τοῖς κατὰ τὸν πόρον ᾄδουσι βατράχοις, καὶ γελωτοποιῶν. μετὰ ταῦτα δ᾽ ἐν ᾍδου τῶν πραγμάτων ἤδη χειριζομένων, οἵ τε μύσται χορεύοντες

ARGUMENTI lin. 2. εἰς ᾍδου. Sic e membranis edidi. Vulgo εἰς ᾍδην. Vide not. ad Lys. 407. et Corinthum de Dial. p. 19.

L. 3. παρασχεῖν. E membr. vulgo παρέχειν.

L. 9. συμμεμαχηκέναι. E membr. vulgo συννεναυμαχηκέναι.

ἐν τῷ προφανεῖ, καὶ τὸν Ἴακχον ᾄδοντες, ἐν χοροῦ σχήματι καθορῶνται· ὅ τε Διόνυσος μετὰ τοῦ θεράποντος εἰς ταυτὸν ἔρχεται τούτοις. τῶν δὲ προηδικημένων ὑπὸ Ἡρακλέους προσπλεκομένων τῷ Διονύσῳ, διὰ τὴν ἐκ τῆς σκευῆς ἄγνοιαν, μέχρι μέν τινος οὐκ ἀγελοίως χειμάζονται. εἶτα μέντοι γε πρὸς τὸν Πλούτωνα καὶ τὴν Περσέφασσαν παρελθόντες, ἀλεωρῆς τυγχάνουσιν. ἐν τοσούτῳ δὲ ὁ μὲν τῶν μυστῶν χορὸς περὶ τοῦ τὴν πολιτείαν ἐξισῶσαι, καὶ τοὺς ἀτίμους ἐντίμους ποιῆσαι, χ᾽ ἁτέρων τινῶν, πρὸς τὴν Ἀθηναίων διαλέγεται πόλιν. τὰ δὲ λοιπὰ τοῦ δράματος, μονόκωλον, ἄλλως δὲ τερπνὴν καὶ φιλόλογον λαμβάνει σύστασιν. παρεισάγεται γὰρ Αἰσχύλος Εὐριπίδῃ περὶ τῆς τραγῳδίας διαλεγόμενος· τὸ μὲν ἔμπροσθεν Αἰσχύλου τὸ πρωτεῖον παρὰ τῷ Ἅδῃ ἔχοντος, τότε δὲ Εὐριπίδου τῆς τιμῆς καὶ τοῦ τραγῳδικοῦ θρόνου ἀντιποιησαμένου. συστήσαντος δὲ τοῦ Πλούτωνος τὸν Διόνυσον αὐτοῖς ἀκροατὴν, ἑκάτερος αὐτῶν λόγους ποιεῖται πολλούς· καὶ τέλος πάντα ἔλεγχον

L. 6. πρὸς τὸν Πλούτωνα κ. τ. Π. παρελθόντες. Sic membran. optime. Vulgo περιελθόντες, omisso etiam articulo ante Πλούτωνα.

L. 8. περὶ τοῦ τὴν πολιτείαν ἐξισῶσαι. Optima est membran. lectio. Vulgo τὴν πολιτείαν ἐξελάσαι, ubi quas omissas fuisse librarii culpa voces arbitrabatur Kusterus, ad hunc modum reponit, περὶ τοῦ τοὺς ἀγαθοὺς τῆς πολιτείας ἐξελάσαι. Sed frustra est. Sincera ista τὴν πολιτείαν ἐξισῶσαι spectant ad fabulæ locum, v. 687. ubi ipsissimum hoc verbum legitur: πρῶτον μὲν οὖν δοκεῖ ἐξισῶσαι τοὺς πολίτας.

καὶ πᾶσαν βάσανον οὐκ ἀπιθάνως ἑκατέρου κατὰ τῆς θατέρου ποιήσεως προσαγαγόντος, κρίνας παρὰ προσδοκίαν Διόνυσος Αἰσχύλον νικᾷν, ἔχων αὐτὸν ὡς τοὺς ζῶντας ἀνέρχεται.

Τὸ δὲ δρᾶμα τῶν εὖ καὶ φιλοπόνως πάνυ πεποιημένων. ἐδιδάχθη δὲ ἐπὶ Καλλίου Ἄρχοντος, τοῦ μετὰ Ἀντιγένη, ἐπὶ Ληναίῳ. Φιλωνίδης ἐπεγράφη καὶ ἐνίκα· Φρύνιχος δεύτερος Μούσαις· Πλάτων τρίτος Κλεοφῶντι. οὕτω δὲ ἐθαυμάσθη τὸ δρᾶμα διὰ τὴν ἐν αὐτῷ Παράβασιν, ὥστε καὶ ἀνεδιδάχθη, ὥς φησι Δικαίαρχος. οὐ δεδήλωται μὲν ὅπου ἐστὶν ἡ σκηνή· εὐλογώτατον δ' ἐν Θήβαις. καὶ γὰρ ὁ Διόνυσος ἐκεῖθεν, καὶ πρὸς τὸν Ἡρακλέα ἀφικνεῖται Θηβαῖον ὄντα.

L. 6. ἐδιδάχθη δὲ—addita e membr. particula. Mox verbis Φιλωνίδης ἐπεγράφη significatur fabulam hanc non ipsius auctoris, sed Philonidis nomine editam fuisse. Vide Kusteri notam ad Schol. Pluti 179. Testatur ipse sæpius Comicus se complures fabulas aliis poëtis edendas dedisse. Vide Nub. 530. Vesp. 1018. Equit. 513.

Argumentum Metricum omisi, non tam ob mendas aliquot, quæ facile possunt elui, quam quod totum inficetum mihi visum est: idcirco illud inter notas relegavi. Sic autem legi debet:

Μαθὼν παρ' Ἡρακλέους Διόνυσος τὴν ὁδὸν,
πρὸς τοὺς κατοιχομένους πορεύεται, λαβὼν
τὸ δέρμα καὶ τὸ σκύταλον, ἀναγαγεῖν θέλων
Εὐριπίδην. λίμνην δὲ διέβαινεν κάτω·
καὶ τῶν βατράχων ἀνέκραγεν εὔφημος χορός.
ἔπειτα μυστῶν ἐκδοχή. θεράπων δ' ἰδὼν,
ὡς Ἡρακλεῖ, προσέκοπτε διὰ τὸν Κέρβερον.
ὡς δ' ἀνεφάνη, τίθεται τραγῳδίας ἀγών·
καὶ δὴ στεφανοῦταί γ' Αἰσχύλος. τοῦτον δ' ἄγει
Διόνυσος εἰς φῶς· οὐ μὰ Δία γ' Εὐριπίδην.

V. 3. legitur vulgo καὶ τὴν σκυτάλην, ἀνάγειν—trochæo quartam sedem tenente. In C. qui solus meorum codd. argumentum habet, mendose etiam, sed ad verum propius, τὸν σκύταλον. Conc. 76.

ἔγωγέ τοι τὸ σκύταλον ἐξηνεγκάμην.

Præterea ad metri integritatem ἀναγαγεῖν legendum est. Quod autem v. 6. editum est Πλούτων δ' ἰδὼν, id ex ipsa fabula falsi arguitur. Scripserat procul dubio hujus argumenti auctor θεράπων δ' ἰδὼν, Plutonis scilicet famulus Æacus, quæ dramatis persona in codd. plerumque indigetatur nomine Θεράπων.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΒΑΤΡΑΧΟΙ.

ΞΑΝΘΙΑΣ, ΔΙΟΝΥΣΟΣ, ΗΡΑΚΛΗΣ, ΝΕΚΡΟΣ, ΧΑΡΩΝ, ΧΟΡΟΣ ΒΑΤΡΑΧΩΝ.

Ξα. ΕΙΠΩ τι τῶν εἰωθότων, ὦ δέσποτα,
ἐφ' οἷς ἀεὶ γελῶσιν οἱ θεώμενοι;
Δι. νὴ τὸν Δί', ὅ τι βούλει γε, πλὴν ΠΙΕΖΟΜΑΙ.
τοῦτο δὲ φύλαξαι· πάνυ γάρ ἐστ' ἤδη χολή.

Codicis, quem demum contuli, non mihi est animus varietates omnes persequi. Quæ sunt alicujus momenti delibabo, easque præsertim enotabo, quibus textus adhuc emendari, vel receptæ jam emendationes confirmari possint.

Præfixum est Fabulæ absque auctoris titulo argumentum; quod in impressis Thomæ Magistri inscriptum est nomine. Mutilum illud edidit Aldus: lacuna e nostro codice sic supplenda est: *εἶτα ὡς Ἡρακλῆς εἰσελθὼν, καὶ μεταξὺ πολλῶν τούτῳ συμβάντων, παραγίνεται πρὸς Πλούτωνα, καὶ ὅτου χάριν ἥκει εἰπὼν, ἴσχει ὑπακούοντα Πλούτωνα, οὐχ ἵν' Εὐριπίδην ἀναγάγῃ, ἀλλ' ἵν' ἀγωνισαμένων.* . . . Vides causam omissionis: a priore *Πλούτωνα* ad posterius aberravit librarii oculus.

1. *εἰωθότων*. Gl. *τῶν συνήθων*. V. seq. *θεώμενοι*. Gl. *θεαταί*. His exemplis usus est Corinthus de Dial. Att. p. 58. *καὶ τὸ χρῆσθαι ταῖς μετοχαῖς ἀντὶ ὀνομάτων, ὡς ἐν Βατράχοις Ἀριστοφάνης. εἴπω τι τῶν εἰωθότων, ὦ δέσποτα; ἀντὶ τοῦ τῶν ἐθίμων. καί· οἱ θεώμενοι. ἀντὶ τοῦ θεαταί.*

4. *χολή*. Sic quatuor codd. In A. et C. scriptum fuerat primo *σχολὴ*, sed *σ* erasum fuit in uno, in altero litura inductum. In meo superscripta glossa *λυπή*. Sensus est: *λίαν γὰρ ἤδη λυποῦμαι τοῦτο ἀκούων*. Quod oscitantes duo scripserant librarii, postea vero, deprehenso errore, emendarunt *σχολὴ*, id genuinum esse contendit Dawesius, sed minime mihi persuadet. Ad Herculem properans Bacchus, viam ad Inferos ducentem sciscitaturus, non diceret sibi *otium* superesse. E solo sermonis contextu manifestum est particulam ratiocinativam *γὰρ* ad proxime præcedens *τοῦτο φύλαξαι* referri; non vero ad *νὴ τὸν Δί' ὅ τι βούλει γε*.

χολή. Sic liquido scriptum in cod.

Ξα. μηδ᾽ ἕτερον ἀστεῖόν τι;
Δι. πλήν γ᾽ ΩΣ ΘΛΙΒΟΜΑΙ.
Ξα. τί δαί; τὸ πάνυ γέλοιον εἴπω;
Δι. νὴ Δία,
θαῤῥῶν γε· μόνον ἐκεῖν᾽ ὅπως μὴ ᾿ρεῖς.
Ξα. τὸ τί;
Δι. μεταβαλλόμενος τἀνάφορον ὅτι χεζητιᾷς.
Ξα. μήθ᾽ ὅτι τοσοῦτον ἄχθος ἐπ᾽ ἐμαυτῷ φέρων,
εἰ μὴ καθαιρήσει τις, ἀποπαρδήσομαι;
Δι. μὴ δῆθ᾽, ἱκετεύω, πλήν γ᾽ ὅταν μέλλω ᾿ξεμεῖν.
Ξα. τί δῆτ᾽ ἔδει με ταῦτα τὰ σκεύη φέρειν,
εἴπερ ποιήσω μηδὲν, ὧνπερ Φρύνιχος
εἴωθε ποιεῖν, καὶ Λύκις, κἀμειψίας,
σκευηφοροῦσ᾽ ἑκάστοτ᾽ ἐν κωμῳδίᾳ;

7. *θαῤῥῶν γε· μόνον ἐκεῖν᾽ ὅπως μὴ ᾿ρεῖς.* Sic A. C. In meo *μόνον δ᾽ ἐκεῖν᾽ ὅπως*— Melius abest particula adversativa. Alia in impressis vocum collocatio: *θαῤῥῶν γ᾽. ἐκεῖνο μόνον ὅπως*—

8. *τἀνάφορον.* Vide Phœnissarum fragm. iv. In Equit. v. 998. oraculorum magnam vim afferens, eorumque sub pondere gemens ait Isiciarius:

οἴμ᾽, ὡς χεσείω, κοὐχ ἅπαντας ἐκφέρω.

τἀνάφορον Latine haud male *furcam*, vel *furcillam*, appellaveris. Plautus Cas. ii. 8.

Sine modo rus veniat: ego remittam ad te virum
cum furca in urbem, tanquam carbonarium.

9. *μήθ᾽ ὅτι.* Sic tres Regii. Vulgo *μηδ᾽ ὅτι.*

13. *Φρύνιχος*, Comicus poëta Nostri coævus, de quo mentio in Argumento. Alius fuit ejusd. nominis poëta tragicus antiquior. Vide Bentleii Dissert. Phalar. de Origine Tragœdiæ p. 144. latinæ versionis. Amipsias poëtam nostrum in comœdiarum commissione bis superavit. Ejus Comastis cesserunt Aristophanis Aves: Conno Amipsiæ cesserunt priores Nubes. Fabulam etiam contra Socratem fecit, in qua Philosophus traductus in scenam, cujus tres versus servavit Diog. Laërt. ii. 28.

Σώκρατες, ἀνδρῶν βέλτιστ᾽ ὀλίγων, πολλῶν δὲ ματαιόταθ᾽ ἥκεις
καὶ σὺ πρὸς ἡμᾶς, καρτερικός γ᾽ εἶ· πόθεν ἄν σοι χλαῖνα γένοιτο;
τουτὶ τὸ κακὸν τῶν σκυτοτόμων κατ᾽ ἐπήρειαν γεγένηται.

15. *σκευηφοροῦσ᾽.* Sic uno verbo A. D. in hoc: *οἳ τινὲς σκευηφοροῦσ᾽.* In B. *οἳ σκεύη φέρουσ᾽*—Vides glossas, easque pravas, a librariis in textum immissas fuisse, nulla metri habita ratione. Fallebantur isti interpretes. *σκευηφοροῦσ᾽* dativus est participii, nec quidquam extrinsecus est arcessendum. *ποιεῖν* de poëtis dictum valet *scribere, componere*: ut infra v. 79 *ὅνπερ ἄλλοι ποιηταὶ εἰώθασι ποιεῖν τοῖς ἑκάστοτε σκευηφοροῦσι δούλοις ἐν κωμῳδίᾳ.* *Quæ alii poëtæ tribuere solent servis identidem sarcinas bajulantibus in comœdia.*

σκευηφοροῦσ᾽. Cod. *σκευοφοροῦσ᾽* superscripta optima glossa *τοῖς.* Scholion

Δι. μὴ νῦν ποιήσῃς· ὡς ἐγὼ θεώμενος,
ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω,
πλεῖν ἢ 'νιαυτῷ πρεσβύτερος ἀπέρχομαι.
Ξα. ὢ τρισκακοδαίμων ἄρ' ὁ τράχηλος οὑτοσὶ,
ὅτι θλίβεται μὲν, τὸ δὲ γέλοιον οὐκ ἐρεῖ.
Δι. εἶτ' οὐχ ὕβρις ταῦτ' ἐστὶ καὶ πολλὴ τρυφὴ,
ὅτ' ἐγὼ μὲν ὢν Διόνυσος, υἱὸς Σταμνίου,
αὐτὸς βαδίζω καὶ πονῶ, τοῦτον δ' ὀχῶ,
ἵνα μὴ ταλαιπωροῖτο, μηδ' ἄχθος φέροι ;
Ξα. οὐ γὰρ φέρω 'γώ ;
Δι. πῶς φέρεις γὰρ, ὅς γ' ὀχεῖ ;
Ξα. φέρων γε ταυτί.
Δι. τίνα τρόπον ;
Ξα. βαρέως πάνυ.
Δι. οὔκουν τὸ βάρος τοῦθ', ὃ σὺ φέρεις, οὖνος φέρει ;
Ξα. οὐ δῆθ' ὅ γ' ἔχω 'γὼ καὶ φέρω, μὰ τὸν Δί' οὔ.
Δι. πῶς γὰρ φέρεις, ὅς γ' αὐτὸς ὑφ' ἑτέρου φέρει ;
Ξα. οὐκ οἶδ'· ὁ δ' ὦμος οὑτοσὶ πιέζεται.
Δι. σὺ δ' οὖν ἐπειδὴ τὸν ὄνον οὐ φῄς σ' ὠφελεῖν,
ἐν τῷ μέρει σὺ τὸν ὄνον ἀράμενος φέρε.
Ξα. οἴμοι κακοδαίμων. τί γὰρ ἐγὼ οὐκ ἐναυμάχουν ;

marginale: καὶ οὗτοι οἱ τρεῖς κωμικοὶ εἰσὶ ποιηταὶ, σκευοφοροῦντας εἰσάγοντες ἐν ταῖς κωμῳδίαις καὶ αἰσχρὰ ποιοῦντας.

18. πλεῖν. Corinthus de Dial. p. 59. Ἀττικὸν καὶ τὸ πλεῖν ἀντὶ τοῦ πλέον, δεῖν ἀντὶ τοῦ δέον. Mœris: πλεῖν ἢ μύριοι, Ἀττικῶς. πλέονες ἢ μύριοι, Ἑλληνικῶς. Sumtum exemplum e Pluto 1184. Occurrit πλεῖν Lys. 589.

22. υἱὸς Σταμνίου. Schol. δέον εἰπεῖν υἱὸς Διὸς, υἱὸς σταμνίου εἶπε παρ' ὑπόνοιαν. ἐπειδὴ ὁ οἶνος ἐν σταμνίῳ ἐμβάλλεται. V. seq. τοῦτον δ' ὀχῶ. Gl. ὀχεῖσθαι ποιῶ.

24. Nihil certius videtur Dawesii observatione de diverso usu modorum optativi et subjunctivi cum particulis ἵνα, ὄφρα, μὴ, quam viginti exemplis ex Aristophane confirmavit p. 82. sqq. Quid ergo de hoc loco statuendum, ubi verbis de tempore præsenti βαδίζω, πονῶ, ὀχῶ, subjiciuntur cum ἵνα μὴ modi optativi ταλαιπωροῖτο et φέροι ? quod græce non minus solœcum est, quam si latine dicas: *hunc autem vehi facio, ut ærumnarum esset expers et onus non ferret.* Est quidem illa codd. iv. scriptura, quam nihilominus mendosam esse censeo; nec dubito, quin scripserit poëta :

ἵνα μὴ ταλαιπωρῇ τι, μήτ' ἄχθος φέρῃ.

Activa forma ταλαιπωρέω perinde in usu est ac media ταλαιπωρέομαι, quod e solis lexicis notum. Vide Lys. 766. 1220. 1221.

27. οὖνος. Sic excudi debet, ut est apud Eustathium ad Hom. p. 488. l. 10. id est, ὁ ὄνος.

33. Xenophon Hellen. p. 36. edit.

ἤ τ' ἄν σε κωκύειν ἂν ἐκέλευον μακρά.
Δι. κατάβα, πανοῦργε. καὶ γὰρ ἐγγὺς τῆς θύρας
ἤδη βαδίζων εἰμὶ τῆσδ', οἷ πρῶτά με
ἔδει τραπέσθαι. παιδίον, παῖ· ἠμὶ, παῖ.
Ηρ. τίς τὴν θύραν ἐπάταξεν; ὡς κενταυρικῶς
ἐνήλαθ' ὅστις· εἴπ' ἐμοὶ, τουτὶ τί ἦν;
Δι. ὁ παῖς.
Ξα. τί ἐστιν;
Δι. οὐκ ἐνεθυμήθης;
Ξα. τὸ τί;
Δι. ὡς σφόδρα μ' ἔδεισε.
Ξα. νὴ Δία, μὴ μαίνοιό γε.
Ηρ. οὔ τοι, μὰ τὴν Δήμητρα, δύναμαι μὴ γελᾶν.
καί τοι δάκνω γ' ἐμαυτόν. ἀλλ' ὅμως γελῶ.
Δι. ὦ δαιμόνιε, πρόσελθε· δέομαι γάρ τι σου.
Ηρ. ἀλλ' οὐχ οἷός τ' εἴμ' ἀποσοβῆσαι τὸν γέλων,
ὁρῶν λεοντῆν ἐπὶ κροκωτῷ κειμένην.
τίς ὁ νοῦς; τί κόθορνος καὶ ῥόπαλον ξυνηλθέτην;
ποῖ γῆς ἀπεδήμεις;
Δι. ἐπεβάτευον Κλεισθένει.
Ηρ. κἀναυμάχησας;
Δι. καὶ κατεδύσαμέν γε ναῦς
τῶν πολεμίων ἢ δώδεκ', ἢ τρισκαίδεκα.

Lips. οἱ δὲ Ἀθηναῖοι τὰ γιγνομένα καὶ τὴν πολιορκίαν ἐπεὶ ἤκουσαν, ἐψηφίσαντο βοηθεῖν ναυσὶν ἑκατὸν καὶ δέκα, ἐσβιβάζοντες τοὺς ἐν ἡλικίᾳ ὄντας ἅπαντας, καὶ ΔΟΥΛΟΥΣ καὶ ἐλευθέρους. Hac classe paulo post ad Arginusas pugnatum, servisque qui prælio interfuerunt, libertas data.

36. βαδίζων εἶμι male accipit Spanhemius pro βαδίζω, tanquam si scriptum esset εἰμί. Diversum est εἶμι, quod valet πορεύσομαι, ut recte exponit codd. glossa.

37. ἠμὶ Attice pro φημί. Vide Etymol. M. p. 416. l. 26.

38. Plautus Trucul. ii. 2. 1.

Quis illic est, qui tam proterve nostras ædes arietat

40. ὁ παῖς. Glossa, ὦ παῖ. Vid. not. ad Pl. 1099.

41. νὴ Δία, male cod. μὰ Δία, quod notandum.

46. κροκωτῷ. Gl. γυναικείῳ ἐνδύματι ἐκ μετάξης.

48. ἐπεβάτευον Κλεισθένει. *Clisthenem inscendi*. Tanquam si navis fuisset hoc insignita nomine. Salse cinædum perstringit, ut Lysistr. 1092.

Ηρ. σφώ;
Δι. νὴ τὸν Ἀπόλλω.
Ηρ. κᾆτ' ἔγωγ' ἐξηγρόμην.
Δι. καὶ δῆτ' ἐπὶ τῆς νεὼς ἀναγιγνώσκοντί μοι
τὴν Ἀνδρομέδαν πρὸς ἐμαυτὸν, ἐξαίφνης πόθος
τὴν καρδίαν ἐπάταξε, πῶς οἴει σφόδρα;
Ηρ. πόθος; πόσος τις;
Δι. σμικρὸς, ἡλίκος Μόλων.
Ηρ. γυναικός;
Δι. οὐ δῆτ'.
Ηρ. ἀλλὰ παιδός;
Δι. οὐδαμῶς.
Ηρ. ἀλλ' ἀνδρός;
Δι. ἀταταῖ.
Ηρ. ξυνεγένου τῷ Κλεισθένει;
Δι. μὴ σκῶπτέ μ', ὦ 'δελφ'. οὐ γὰρ ἀλλ' ἔχω κακῶς·

51. κᾆτ' ἔγωγ' ἐξηγρόμην. Inepte vulgo continuata Baccho hæc verba codices A. B. Xanthiæ tribuunt, qui tamen se nondum colloquio immiscet: Herculi ea multo melius tribuunt C. D. Glossa ἐξηγειρόμην ἐξ ὕπνου. Qui somnia sua aliis narrant, fabulam plerumque his verbis concludere solent, quibus Hercules facete Baccho significat se fortibus ejus factis fidem non habere.

κᾆτ' ἔγωγ' ἐξηγρόμην. Istis præfixa in codd. Herculis persona. Glossa posteremæ voci imposita ἐξ ὕπνου. Schol. marg. τὸ ἐξηγρόμην λέγει, δεικνὺς αὐτὸν, ὅτι ἐπίβατα φθέγγεται.

52. ἀναγιγνώσκοντί μοι. Sic B. duplici γ, recte. Propriam hanc Atticis scripturam tum codicum, tum veterum Grammaticorum auctoritate ubique apud Comicum restitui. Eustathius p. 1064. l. 1. τὸ δὲ γινώσκειν οἱ μὲν ὕστερον Ἀττικοὶ μετὰ καὶ δευτέρου γάμμα γιγνώσκειν φασὶν, ὡς καὶ ὁ Κωμικὸς δηλοῖ, καθὰ καὶ τὸ γίνεσθαι, γίγνεσθαι. Confer Valckenarium ad Phœnissas 1396.

55. σμικρὸς, ἡλίκος Μόλων. Ironice hoc dictum. Nam Molon, quisquis ille fuerit, sive histrio, sive grassator, fuit procul dubio insigni corporis magnitudine.

57. ξυνεγένου τῷ Κλεισθένει; Articulum vulgo omissum exhibent iv. codd. quorum me consensus permovit, ut eum reciperem, pro ἀτταταῖ, quod habent illi etiam, scribendo ad metri legem ἀταταῖ.

58. οὐ γὰρ ἀλλ' ἔχω κακῶς. Tres particulæ οὐ γὰρ ἀλλὰ sic aggregatæ simulque sumtæ tantumdem valent ac καὶ γὰρ, *etenim*, *enimvero*: nec distingui inter illas debet, quod post Bentleium ad Callim. fragm. xcii. monuit Jo. Jensius Lect. Lucian. pag. 144. Ellipsin comminiscuntur alii Grammatici, quam diversimode supplent, plerumque ridicule. Gl. in cod. meo: οὐ γὰρ τούτου ἐπιθυμῶ, ὃ λέγεις ἀλλὰ κακῶς ἔχω. In

τοιοῦτος ἵμερός με διαλυμαίνεται.
Ηρ. ποῖός τις, ὦ 'δελφίδιον;
Δι. οὐκ ἔχω φράσαι.
ὅμως γε μέντοι σοι δι' αἰνιγμῶν ἐρῶ.
ἤδη ποτ' ἐπεθύμησας ἐξαίφνης ἔτνους;
Ηρ. ἔτνους; βαβαιὰξ, μυριάκις ἐν τῷ βίῳ.
Δι. ἆρ' ἐκδιδάσκω τὸ σαφὲς, ἢ ἕτερα φράσω;
Ηρ. μὴ δῆτα περὶ ετνους γε· πάνυ γὰρ μανθάνω.
Δι. τοιουτοσὶ τοίνυν με δαρδάπτει πόθος
Εὐριπίδου, καὶ ταῦτα τοῦ τεθνηκότος·
κοὐδείς γέ μ' ἂν πείσειεν ἀνθρώπων τὸ μὴ οὐκ
ἐλθεῖν ἐπ' ἐκεῖνον.
Ηρ. πότερον εἰς Ἅδου κάτω;
Δι. καὶ νὴ Δί', εἴ τι γ' ἔςιν ἔτι κατωτέρω.
Ηρ. τί βουλόμενος;
Δι. δέομαι ποιητοῦ δεξιοῦ.
οἱ μὲν γὰρ οὐκέτ' εἰσίν· οἱ δ' ὄντες, κακοί.
Ηρ. τί δ'; οὐκ Ἰοφῶν ζῇ;
Δι. τοῦτο γάρ τοι καὶ μόνον
ἔτ' ἐςὶ λοιπὸν ἀγαθὸν, εἰ καὶ τοῦτ' ἄρα.
οὐ γὰρ σάφ' οἶδ' οὐδ' αὐτὸ τοῦθ' ὅπως ἔχει.
Ηρ. εἶτ' οὐχὶ Σοφοκλέα, πρότερον ὄντ' Εὐριπίδου,
μέλλεις ἀναγαγεῖν, εἴπερ ἐκεῖθεν δεῖ σ' ἄγειν;
Δι. οὔ, πρίν γ' ἂν Ἰοφῶντ', ἀπολαβὼν αὐτὸν μόνον,

C. *οὐ γάρ τοῦτό ἐστι.* Novissimus auctor Doctrinæ particularum: *μὴ σκῶπτέ με. οὐ γάρ σε σκώπτω. ἀλλὰ κακῶς ἔχω.* Hujuscemodi millena excogitare possis, quorum nihil auctor in mente habuerit.

64. *ἢ ἕτερα φράσω;* Sic plene, sine elisione scriptum in codice meo, ut in Kusteri editione, recte. In aliis codd. *ἢ τερα.* Pejus vett. editt. *ἢ 'τέρα,* quod imperite revocavit Berglerus. *ἕτερα* accusativus est pluralis, cujus ultima brevis ante *φρ* produci non potest.

76. *Σοφοκλέα.* Duæ ultimæ in unam coalescunt. Sic infra 863. *Πηλέα* disyllabum, in Thesm. 26. *Ἡρακλέα* trisyllabum est.

77. Hunc versum sic exhibet cod.

μέλλεις ἀνάγειν, εἴπερ γ' ἐκεῖθεν δεῖ σ' ἄγειν.

Eadem est scriptura cod. B. quam utique præferendam censeo, ob molliores numeros.

78. Ordinem verborum et sententiam declarat interpunctio: *οὐ, πρίν γ' ἂν Ἰοφῶντα, μόνον αὐτὸν ἀπολαβὼν, κωδω-*

ἄνευ Σοφοκλέους ὅ τι ποιεῖ κωδωνίσω.
κἄλλως ὁ μέν γ' Εὐριπίδης, πανοῦργος ὢν,
καὶ ξυναποδρᾶναι δεῦρ' ἐπιχειρήσειεν ἄν·
ὁ δ' εὔκολος μὲν ἐνθάδ', εὔκολος δ' ἐκεῖ.

Ηρ. Ἀγάθων δὲ ποῦ 'στιν;
Δι. ἀπολιπών μ' ἀποίχεται,
ἀγαθὸς ποιητὴς, καὶ ποθεινὸς τοῖς φίλοις.
Ηρ. ποῖ γῆς ὁ τλήμων;
Δι. ἐς μακάρων εὐωχίαν.
Ηρ. ὁ δὲ Ξενοκλέης;
Δι. ἐξόλοιτο, νὴ Δία.
Ηρ. Πυθάγγελος δέ;
Ξα. περὶ ἐμοῦ δ' οὐδεὶς λόγος,
ἐπιτριβομένου τὸν ὦμον οὑτωσὶ σφόδρα.
Ηρ. οὔκουν ἕτερ' ἔστ' ἐνταῦθα μειρακύλλια,
τραγῳδίας ποιοῦντα πλεῖν ἢ μύρια,
Εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα;
Δι. ἐπιφυλλίδες ταῦτ' ἐστὶ, καὶ στωμύλματα,
χελιδόνων μουσεῖα, λωβηταὶ τέχνης,

νίσω, ὅ τι ποιεῖ ἄνευ Σοφοκλέους. Iophontem perstringit, quem vulgus opinabatur fabulas non composuisse, quas suo nomine ediderat: sed illis a patre Sophocle conscriptis filium ἐπιγραφῆναι.— κωδωνίσω. Gl. in C. δοκιμάσω, ἐκ μεταφορᾶς τῶν νομισμάτων. Bene. Infra 723. nummorum mentio κεκωδωνισμένων. Inepta in meo codice glossa, διακηρύξω. Hinc verbale κωδωνιστός. In Lys. 485. πρᾶγμα ἀκωδώνιστον, *res inexplorata.*

81. ἐπιχειρήσειεν ἄν. Sic optime membr. Vulgo solœce ἐπιχειρήσειέ μοι. Pejus in C. ἐπιχειρήσειέ με. Potentialis particula ἂν salva linguæ indole abesse non potest: at inutile est pronomen μοι. Satis enim per se intelligitur, quibusnam se comitem furtim applicare conaretur Euripides, nempe Sophocli et Baccho, si illum hic ab Inferis reduceret. Vide ad Lys. 301. Thesm. 593.

86. ὁ δὲ Ξενοκλέης. Vide not. ad Thesm. 169.

Ξενοκλέης. Sic liquido scriptum in cod. ut emendavi, juxta certissimum prosodiæ canonem.

91. πλεῖν ἢ σταδίῳ λαλίστερα. Comparatio comica. Nub. 430.

τῶν Ἑλλήνων εἶναί με λέγειν ἑκατὸν
σταδίοισιν ἄριστον.

Alexis Comicus apud Eustathium 1226. l. 13.

κρείττων ἐκεῖνός ἐστιν ἡμέρας δρόμῳ.

93. χελιδόνων μουσεῖα. Eustathius ad Odyss. p. 1914. lin. 34. λαλαγοῦσα δὲ ἀκαλλὴς (ἡ χελιδὼν) οἷα Θρᾷσσα κατὰ τὸν μῦθον. διὸ καὶ ὁ Κωμικὸς, οὓς ἐκεῖνος ψέγει, ὡς τὰς Μούσας ἀφανίζοντας, χελιδόνων μουσεῖα καλεῖ· ὅ ἐστιν ὑποβαρβάρους, χελιδόνων δίκην, οὐ μὴν ἐμμούσους ὥσεὶ καὶ Σειρήνων ἢ ἀηδόνων. Hinc infra 678. Cleophontis peregrinitatem, dictionis-

ἃ φροῦδα θᾶττον, ἢν μόνον χορὸν λάβῃ,
ἅπαξ προσουρήσαντα τῇ Τραγῳδίᾳ.
γόνιμον δὲ ποιητὴν ἂν οὐχ εὕροις ἔτι,
ζητῶν ἄν, ὅστις ῥῆμα γενναῖον λάκοι.

Ηρ. πῶς γόνιμον;

Δι. ὡδὶ γόνιμον, ὅστις φθέγξεται
τοιουτονί τι παρακεκινδυνευμένον·
ΑΙΘΕΡΑ ΔΙΟΣ ΔΩΜΑΤΙΟΝ, ἢ ΧΡΟΝΟΥ ΠΟΔΑ,
ἢ ΦΡΕΝΑ ΜΕΝ ΟΥΚ ΕΘΕΛΟΥΣΑΝ ΟΜΟΣΑΙ
ΚΑΘ' ΙΕΡΩΝ,

que barbarismum perstringit: ἐφ' οὗ δὴ χείλεσιν ἀμφιλάλοις δεινὸν ἐπιβρέμεται Θρηκία χελιδὼν, ἐπὶ βάρβαρον ἑζομένη πέταλον. Alio sensu verba ista χελιδόνων μουσεῖα adhibuerat Euripides in Alcmena, unde ea transtulit Comicus:

πολὺς δ' ἀνεῖρπε κισσὸς, εὐφυὴς κλάδος,
χελιδόνων μουσεῖα.

94. Hujus loci sensum non adsecuti sunt interpretes, quem pessime sic reddidit Berglerus: *qui gaudio emoriuntur, si chorus eorum tantum semel secunda utatur fortuna in tragœdia.* Centum ista parasangis a poëtæ mente distant. φροῦδον εἶναι, γίγνεσθαι, οἴχεσθαι, nullibi significat, nec significare potest *gaudio emori.* προσουρέω, *secundo vento*, vel *secunda fortuna utor*, ne græcum quidem est. Satis mirari nequeo Henr. Stephano, viro doctissimo, fraudi fuisse ineptam græculi in scholiis interpretationem: προσουρήσαντα, εὐθυδρομήσαντα, εὐδοκιμήσαντα, ἐν τραγῳδίας δράματι ἐπαινεθέντα. Melioris notæ sunt, quæ tradit scholion ineditum cod. Regii C. οὐρίζω, τὸ ἀπὸ τοῦ οὔρου τοῦ ἀνέμου. οὐρῶ, τὸ ἀπὸ τοῦ οὔρου, τοῦ ἐκκρινομένου ὑγροῦ, προσουρήσαντα οὖν, τὸ βραχύν τινα χρόνον διατρίψαντα, καὶ τῶν αὐτῶν λήρων ἐκχέαντα τῇ τραγῳδίᾳ. Acceperunt interpretes istud προσουρήσαντα pro accusativo singulari ad χορὸν pertinente, quum sit neutrum plurale in casu recto, cum ἃ φροῦδα conjungendum. Denique χορὸν λαμβάνειν dicebantur Scenici poëtæ, quibus locupletes cives choragi munere fungentes, (vide Petitum de Leg. Att. p. 351.) chorum instruebant, sumtusque suppeditabant omnes producendo dramati. Vide interpretibus notata ad Eq. 513.

καὶ βασανίζειν, ὡς οὐχὶ πάλαι χορὸν
αἰτοίη καθ' ἑαυτόν.

Exilibus racemulis succo carentibus comparatos adolescentulos illos, qui, nondum maturo ingenio, tragœdiæ componendæ se pares esse rentur, ait Bacchus statim *arescere, evanescere*, si, accepto choro, semel tantum in Tragœdiam minxerint: necdum enim sunt adeo validi, ut cum ea rem habere possint eo successu, quo gaudere solent οἱ γόνιμοι. Hæc est poëtæ mens. De Tragœdia, tanquam de meretrice, loquitur, quæ amatoribus poëtis copiam sui facit. Sic de Comœdia in Equit. 517.

πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν, ὀλί-
γοις χαρίσασθαι.

100. αἰθέρα Διὸς δωμάτιον. Vide not. ad Thesm. 272. Χρόνου πόδα erat in Euripidis Alexandro, καὶ χρόνου προὔβαινε πόδα. Audacior eadem locutio occurrit in Bacch. 876. ubi de Diis dicitur:

κρυπτεύουσι δὲ ποικίλως
δαρὸν χρόνου πόδα, καὶ
θηρῶσιν τὸν ἄσεπτον.

ΓΛΩΤΤΑΝ Δ' ΕΠΙΟΡΚΗΣΑΣΑΝ ΙΔΙᾼ ΤΗΣ ΦΡΕ-
ΝΟΣ.

Ηρ. σὲ δὲ ταῦτ' ἀρέσκει;
Δι. καὶ μάλα πλεῖν, ἢ μαίνομαι.
Ηρ. ἦ μὴν κόβαλά γ' ἐστὶν, ὡς καὶ σοὶ δοκεῖ.
Δι. μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἔχεις γὰρ οἰκίαν.
Ηρ. καὶ μὴν ἀτεχνῶς γε παμπόνηρα φαίνεται.
Δι. δειπνεῖν με δίδασκε.
Ξα. περὶ ἐμοῦ δ' οὐδεὶς λόγος.
Δι. ἀλλ' ὧνπερ ἕνεκα τήνδε τὴν σκευὴν ἔχων
ἦλθον, κατὰ σὴν μίμησιν, ἵνα μοι τοὺς ξένους
τοὺς σοὺς φράσειας, εἰ δεοίμην, οἷσι σὺ
ἔχρω τόθ', ἡνίκ' ἦλθες ἐπὶ τὸν Κέρβερον,
τούτους φράσον μοι, λιμένας, ἀρτοπώλια,
πορνεῖ', ἀναπαύλας, ἐκτροπὰς, κρήνας, ὁδοὺς,
πόλεις, διαίτας, πανδοκευτρίας, ὅπου
κόρεις ὀλίγιστοι.

Quæ sequuntur spectant notissimum ex Hippolyto versum, Comico sæpius vexatum:

ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

Confer Thesm. 275.

102. *γλῶσσαν ἐπιορκήσασαν ἰδίᾳ τῆς φρενός.* *Linguam, quæ juravit seorsum a mente.* Hoc dicere debuit, ad sententiam versus Euripidei, quem deridet; nec forte jocum captavit dicendo *pejeravit*, ut vertunt, pro *juravit.* Compositum hoc non plus valet, quam simplex, abundante præpositione: sicque in vulgi sermone accipiebatur Solonis ævo, ut constat e lege, quam profert Lysias c. Theomnestum, p. 359. *ἐπεγγυᾷν δ' ἐπιορκήσαντα τὸν Ἀπόλλω.* Ceterum in cod. scriptum *ἐπιορκήσασαν ἄνευ τῆς φρενός.* Sic etiam est in meo. Glossa in locum genuinæ vocis illata fuit. Hoc manifestum est e membranarum collatione, quæ in contextus serie exhibent *ἰδίᾳ*, superscripta glossa *ἄνευ.*

103. Hunc versum profert Suidas T. iii. p. 295. sed mendose. Unde sumtus esset, ignoravit Kusterus, quem ad veram scripturam non duxit conjectura.

104. *κόβαλα.* Sic iv. codd. Perperam vulgo *κόβαλλα.* Codicum hac in re assensus non requirendus erat; notum enim est e multis Comici locis mediam in hac voce per se longam esse. Vulgo etiam infra 1015. *κοβάλους* exhibent libri: in Pl. 279. *κόβαλος.* Equit. 270.

ὥσπερεὶ γέροντας ἡμᾶς, κἀκκοβαλικεύεται.

et sic ubicunque vel nomen vel derivatum occurrit.

106. *ἀτεχνῶς γε.* Sic, ut vulgo, membr. et C. In duobus reliquis omissum *γε*, quod salvo metro abesse non potest: in priori enim voce media semper apud Comicum correpta. *ἀτεχνῶς, ἁπλῶς, καθόλου.* Vide Ammonium.

108. *ἀλλ' ὧνπερ ἕνεκα τήνδε τὴν σκευὴν ἔχων.* Sic A. C. D. vulgo *οὕνεκα* et *σκευὴν φέρων.*

Ξα. περὶ ἐμοῦ δ' οὐδεὶς λόγος.
Ηρ. ὦ σχέτλιε, τολμήσεις γὰρ ἰέναι καὶ σύ γε;
Δι. μηδὲν ἔτι πρὸς ταῦτ'· ἀλλὰ φράζε τῶν ὁδῶν,
ὅπως τάχιστ' ἀφιξόμεθ' εἰς Ἅιδου κάτω·
καὶ μήτε θερμὴν, μήτ' ἄγαν ψυχρὰν φράσῃς.
Ηρ. φέρε δὴ, τίν' αὐτῶν σοι φράσω πρώτην; τίνα;
μία μὲν γάρ ἐστιν ἀπὸ κάλω καὶ θρανίου,
κρεμάσαντι σαυτόν.
Δι. παῦε, πνιγηρὰν λέγεις.
Ηρ. ἀλλ' ἔστιν ἀτραπὸς ξύντομος τετριμμένη,
ἡ διὰ θυείας.
Δι. ἆρα κώνειον λέγεις;
Ηρ. μάλιστά γε.
Δι. ψυχράν γε καὶ δυσχείμερον·
εὐθὺς γὰρ ἀποπήγνυσι τἀντικνήμια.
Ηρ. βούλει ταχεῖαν καὶ κατάντη σοι φράσω;
Δι. νὴ τὸν Δί', ὡς ὄντος γε μὴ βαδιστικοῦ.
Ηρ. καθέρπυσόν νυν ἐς Κεραμεικόν.
Δι. κᾆτα τί;
Ηρ. ἀναβὰς ἐπὶ τὸν πύργον τὸν ὑψηλὸν ---
Δι. τί δρῶ;
Ηρ. ἀφιεμένην τὴν λαμπάδ' ἐντεῦθεν θεῶ,
κἄπειτ', ἐπειδὰν φῶσιν οἱ θεώμενοι
εἶναι, τοθ' εἶναι καὶ σὺ σαυτόν.
Δι. ποῖ;
Ηρ. κάτω.

118. ὅπως τάχιστ' ἀφιξόμεθ' εἰς Ἅιδου. Sic bene membran. et meus. In C. ἀφίξομαι. In B. ut vulgo, ἀφίξομ' εἰς—

121. θρανίου. *Scabellum* hac voce notatur, cui insistens quis collum induat laqueo, quo fiat una litera longa, ut ait Plautus Aulul. i. 1. 38. Male Pollux x. 48. pro *paxillo* accipit, ad quem locum vide Jungermannum.

123. τετριμμένη. Jocus est in ambigua significatione verbi τρίβειν, quod de via dicitur, tum de medicamentis quæ in mortario teruntur. Similis jocus est in Stratonis venusto carmine xi. ubi investes medici φάρμακον τρίβειν dicuntur, quo significatur illa τοῦ δεῖνα τρίψις, cujus haud infrequens mentio apud Comicum.

129. Vide Meursium Gr. Fer. in Λαμπάς.

Δι. ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου θρίω δύο.
οὐκ ἂν βαδίσαιμι τὴν ὁδὸν ταύτην.
Ηρ. τί δαί;
Δι. ἥνπερ σὺ τότε κατῆλθες.
Ηρ. ἀλλ' ὁ πλοῦς πολύς.
εὐθὺς γὰρ ἐπὶ λίμνην μεγάλην ἥξεις πάνυ
ἄβυσσον.
Δι. εἶτα πῶς περαιωθήσομαι;
Ηρ. ἐν πλοιαρίῳ τυννουτωῒ σ' ἀνὴρ γέρων
ναύτης διάξει, δύ' ὀβολὼ μισθὸν λαβών.
Δι. (φεῦ) ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ' ὀβολώ.
πῶς ἠλθέτην κἀκεῖσε;
Ηρ. Θησεύς σφ' ἤγαγε.
μετὰ ταῦτ' ὄφεις καὶ θηρί' ὄψει μυρία
δεινότατα.
Δι. μή μ' ἔκπληττε, μηδὲ δειμάτου·
οὐ γάρ μ' ἀποτρέψεις.
Ηρ. εἶτα βόρβορον παχὺν,
καὶ σκῶρ' ἀεὶ νῶν· ἐν δὲ τούτῳ κειμένους,
εἴ που ξένον τις ἠδίκησε πώποτε,
ἢ παῖδα κινῶν τἀργύριον ὑφείλετο,
ἢ μητέρ' ἠλόησεν, ἢ πατρὸς γνάθον

138. *πῶς περαιωθήσομαι.* Inserta vulgo particula *γε*, quam in uno Regio omissam, ut inutilem expunxi.

141. Allusio ad Judicum Atheniensium mercedem, aut eam quæ civibus in concione suffragia ferentibus dabatur. Non eadem fuit semper: sed diversis temporibus aucta vel imminuta fuit ab uno ad tres obolos: duorum obolorum tum fuisse videtur, quando editæ fuerunt Ranæ. Idcirco Charonti, quem ceteri omnes mythographi obolo contentum fuisse volunt, Comicus duobolon nauli nomine solvi fingit.

142. *Θησεύς σφ' ἤγαγε.* Vulgo pronomen abest, quod flagitante sermonis ratione reposui.

144. *μή μ' ἔκπληττε.* Gl. in C. *μή με εἰς ἔκπληξιν καὶ φόβον ἔμβαλε· οὐ γάρ με ἀποστήσεις τῆς ὁρμῆς.*

145. *βόρβορον παχύν.* Sic cod. meus. Reliqui, ut vulgo, *πολύν.* V. seq. *νῶν.* Gl. in C. *ῥέον.* In meo, *νάον.* Recte. Est participium verbi *νάω*, *fluo*, *mano*. Verti debuit, *et merdam semper fluentem.*

βόρβορον παχύν. Cod. ut tres alii Regii, juxta impressos, *πολὺν* quæ lectio plurium codicum fide nixa mutari forte non debebat.

149. *ἠλόησεν.* Vulgo *ἠλοίησεν*, quemadmodum in duobus codd. scriptum est. Membr. *ἠλλοίησεν*: meus *ἠλλοίωσεν*.

ἐπάταξεν, ἢ 'πίορκον ὅρκον ὤμοσεν,
ἢ Μορσίμου τις ῥῆσιν ἐξεγράψατο.
Δι. νὴ τοὺς θεοὺς ἐχρῆν γε πρὸς τούτοισι, κ' εἰ
τὴν πυῤῥίχην τις ἔμαθε τὴν Κινησίου.
Ηρ. ἐντεῦθεν αὐλῶν τις σε περίεισιν πνοὴ,
ὄψει τε φῶς κάλλιστον, ὥσπερ ἐνθάδε,
καὶ μυῤῥινῶνας, καὶ θιάσους εὐδαίμονας
ἀνδρῶν, γυναικῶν, καὶ κρότον χειρῶν πολύν.
Δι. οὗτοι δὲ δὴ τίνες εἰσίν;
Ηρ. οἱ μεμυημένοι—
Ξα. νὴ τὸν Δί' ἔγωγ' οὖν ὄνος ἄγων μυστήρια.
ἀτὰρ οὐ καθέξω ταῦτα τὸν πλείω χρόνον.
Ηρ. οἵ σοι φράσουσ' ἁπαξάπανθ', ὧν ἂν δέῃ.
οὗτοι γὰρ ἐγγύτατα παρ' αὐτὴν τὴν ὁδὸν
ἐπὶ ταῖσι τοῦ Πλούτωνος οἰκοῦσιν θύραις.
καὶ χαῖρε πόλλ', ὦ 'δελφέ.
Δι. νὴ Δία καὶ σύ γε
ὑγίαινε. σὺ δὲ τὰ στρώματ' αὖθις λάμβανε.
Ξα. πρὶν καὶ καταθέσθαι;
Δι. καὶ ταχέως μέντοι πάνυ.

Ad Atticismi normam exactum est quod dedi. Vide Valckenarii Animadv. ad Ammonium p. 21. Glossa codd. ἔτυψεν. Obsceno sensu accipit Toupius ad Suidam ii. 102. quod magis comicum est. Virgilius Æn. vi. 608.

Hic quibus invisi fratres, dum vita manebat,
pulsatusve parens, et fraus innexa clienti;
aut qui divitiis soli incubuere repertis,
nec partem posuere suis, quæ maxima turba est—&c.

150. ἢ 'πίορκον ὅρκον ὤμοσεν. Homerus Iliad. τ'. 259.

καὶ Ἐριννύες, αἵθ' ὑπὸ γαῖαν
ἀνθρώπους τίνονται, ὅτις κ' ἐπίορκον ὀμόσσῃ.

151. De Morsimo vide ad Eq. 401.

153. Cinesias Dithyrambicus seu κυκλίων χορῶν poëta, quem sæpe exagitat Comicus. De eo videndus Perizonius ad Æl. V. H. X. 6. et iii. 8. ubi docet πυῤῥίχην hic canticum notare, ad quod saltabatur.

154. περίεισιν πνοή. Perperam vulgo περίεισι. Vide ad Thesm. 450. Virgil. Æn. vi. 638.

Devenere locos lætos, et amœna vireta
fortunatorum nemorum, sedesque beatas.
largior hic campos æther et lumine vestit
purpureo, solemque suum, sua sidera norunt.

161. ὧν ἂν δέῃ. Sic tres codd. Vulgo δέοι.

Ξα. μὴ δῆθ', ἱκετεύω σ', ἀλλὰ μίσθωσαί τινα
τῶν ἐκφερομένων, ὅστις ἐπὶ τοῦτ' ἔρχεται.
Δι. ἐὰν δὲ μὴ 'ὕρω;
Ξα. τότε μ' ἄγειν.
Δι. καλῶς λέγεις.
καὶ γάρ τινες ἐκφέρουσι τουτονὶ νεκρόν.
οὗτος, σὲ λέγω μέντοι, σὲ τὸν τεθνηκότα·
ἄνθρωπε, βούλει σκευάρι' εἰς Ἅιδου φέρειν;
Νε. πόσ' ἄττα;
Δι. ταυτί.
Νε. δύο δραχμὰς μισθὸν τελεῖς;
Δι. μὰ Δί', ἀλλ' ἔλαττον.
Νε. ὑπάγεθ' ὑμεῖς τῆς ὁδοῦ.
Δι. ἀνάμεινον, ὦ δαιμόνι', ἐὰν ξυμβῶ τι σοι.
Νε. εἰ μὴ καταθήσεις δύο δραχμὰς, μὴ διαλέγου.
Δι. λάβ' ἐννέ' ὀβολούς.
Νε. ἀναβιῴην νῦν πάλιν.
Ξα. ὡς σεμνὸς ὁ κατάρατος· οὐκ οἰμώξεται;
ἐγὼ βαδιοῦμαι.
Δι. χρηστὸς εἶ καὶ γεννάδας.
χωρῶμεν ἐπὶ τὸ πλοῖον.
Χα. ὠὸπ, παραβαλοῦ.
Ξα. τουτὶ τί ἐστι;
Δι. τοῦτο λίμνη, νὴ Δία.

170. τινες ἐκφέρουσι. Sic solus C. cum impressis. Tres alii codd. τινες φέρουσι. Vide not. ad Lys. 408.

τινες ἐκφέρουσι. Hic etiam cod. verbum simplex exhibet. Vellem in aliquo reperisse τόνδε τὸν νεκρόν.

173. πόσ' ἄττα. Male vulgo ἅττα cum aspiratione. Vide Thomam M. in ἄττα.

180. ὠὸπ, παραβαλοῦ. Charontis ἐπιφώνημα est, quo ripæ proximus vectorem, quem remigare cogit, jubet cymbam ripæ applicare. Vide infra ad 269. Hoc vero dum clamat, in ulteriori ripa est; postea solus cymbam reducit ad ripam in qua stat Bacchus.

181. τουτὶ τί ἐστι; Hæc verba in iv. codd. Xanthiæ tributa. Quæ sequuntur usque ad 185. in meo et in B. continuata Baccho sine famuli personæ interpositione: in membr. et in C. Xanthiæ persona, quæ ante v. 183. poni debuit, superiori præfixa est. In v. 185. media salutatio melius famulo tribueretur.

αὕτη 'στὶν, ἣν ἔφραζε, καὶ πλοῖόν γ' ὁρῶ.
Ξα. νὴ τὸν Ποσειδῶ, κἄστι γ' ὁ Χάρων οὑτοσί.
Δι. χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων.
Χα. τίς εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων;
τίς εἰς τὸ Λήθης πεδίον, ἢ 'ς ὄνου πόκας,
ἢ 'ς Κερβερίους, ἢ 'ς κόρακας, ἢ 'πὶ Ταίναρον;
Δι. ἐγώ.
Χα. ταχέως ἔμβαινε.
Δι. ποῦ σχήσειν δοκεῖς;
ἐς κόρακας ὄντως;
Χα. ναὶ μὰ Δία, σοῦ γ' οὕνεκα.
ἔμβαινε δή.
Δι. παῖ, δεῦρο.
Χα. δοῦλον οὐκ ἄγω,
εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν κρεῶν.
Ξα. μὰ τὸν Δί', οὐ γὰρ ἀλλ' ἔτυχον ὀφθαλμιῶν.
Χα. οὐκοῦν περιθρέξει δῆτα τὴν λίμνην τρέχων.
Ξα. ποῦ δῆτ' ἀναμενῶ;

183. *κἄστι γ' ὁ Χ.* In cod. *κἄστιν ὁ Χ.* quod magis placet.

188. *σχήσειν.* Gl. *ἐλλιμενίσειν.*

189. *σοῦ γ' οὕνεκα.* Sic meus et duo Regii: C. ut vulgo, perperam *εἵνεκα.* Vide ad Lys. 74.

191. *τὴν περὶ τῶν κρεῶν.* Vetus glossa in cod. meo, *τῶν νεκρῶν σωμάτων.* Ea postmodo a librariis diversimode in textum invecta fuit. In C. textus verba sunt, *τὴν περὶ τῶν νεκρῶν.* Ibi partem illius glossæ pro genuina voce vides. In B. uno tenore scriptum in textu *τὴν περὶ τῶν κρεῶν, σωμάτων,* ubi altera pars glossæ versui addita. Sincera lectio est *τὴν περὶ τῶν κρεῶν,* cujus acumen non adsecutus est auctor vetus expositionis Kustero probatæ: *ἦσαν γὰρ οἱ δοῦλοι τότε ναυμαχήσαντες περὶ οὐδενὸς ἄλλου ἢ περὶ τῶν ἰδίων κρεῶν, τουτέστι σωμάτων.* Quod quidem, pace Kusteri dictum sit, est plane absurdum. Nam in omni prælio, qui pugnant, pro vita certant: tum aliud etiam servis propositum erat præmium, nempe libertas. Frigida est, quam alii comminiscuntur, allusio ad notum proverbium, *ὁ λαγὼς τὸν περὶ τῶν κρεῶν τρέχει.* Quis enim inde emergit sensus? *Servum non veho, nisi qui in pugna navali fortiter dimicavit.* Sed qui dignoscere poterat Charon, an servus *fortiter* dimicasset, necne? Sagacitatem eorum desidero, qui facetissimo Comico ejusmodi sententias tribuunt, in quibus non est mica salis. At vero salse hoc loco Atheniensium stultitiam perstringit, qui post commissam eodem anno, quo Ranæ editæ, celebrem ad Arginusas pugnam, ita se erga victoriæ auctores duces gesserunt, ac si non de imperio, sed tantum de cæsorum *carnibus,* seu cadaveribus sepeliendis, dimicatum fuisset. Idcirco pugnam illam *τὴν περὶ τῶν κρεῶν μάχην* appellat.

Χα. παρὰ τὸν Αὐαίνου λίθον,
ἐπὶ ταῖς ἀναπαύλαις.
Δι. μανθάνεις;
Ξα. πάνυ μανθάνω.
οἴμοι κακοδαίμων, τῷ ξυνέτυχον ἐξιών;
Χα. κάθιζ' ἐπὶ κώπην. εἴ τις ἐπιπλεῖ, σπευδέτω.
οὗτος, τί ποιεῖς;
Δι. ὅ τι ποιῶ; τί δ' ἄλλο γ' ἢ
ἵζω ἐπὶ κώπην, οἷπερ ἐκέλευσάς με σύ;
Χα. οὔκουν καθεδεῖ δῆτ' ἐνθαδὶ, γάστρων;
Δι. ἰδού.
Χα. οὔκουν προβαλεῖ τὼ χεῖρε, κἀκτενεῖς;
Δι. ἰδού.
Χα. οὐ μὴ φλυαρήσεις ἔχων, ἀλλ' ἀντιβὰς
ἐλᾷς προθύμως.
Δι. κᾆτα πῶς δυνήσομαι,
ἄπειρος, ἀθαλάττωτος, ἀσαλαμίνιος
ὢν, εἶτ' ἐλαύνειν;
Χα. ῥᾷστ'. ἀκούσει γὰρ μέλη
κάλλιστ', ἐπειδὰν ἐμβάλῃς ἅπαξ.
Δι. τίνων;

194. *παρὰ τὸν Αὐαίνου λίθον.* Faceta ambiguitas est in his verbis. *Αὐαίνου* positum est tanquam nomen proprium cujusdam sic dicti lapidis; sed accipi potest pro imperativo verbi *αὐαίνομαι.*

195. *μανθάνεις;* Bene hæc quæstio in tribus codd. Baccho tributa: in membr. persona non adscripta; sed vacuum relictum spatium. Bacchi intererat, non vero Charontis, Xanthiam percontari, an recte intellexisset, ubinam subsistere deberet herum opperiturus.

μανθάνεις; Hoc verbum Baccho tribuit etiam hic cod. suppleta per glossam sententia, *ὃ λέγει.*

197. *κάθιζ' ἐπὶ κώπην.* *Sede ad remum.* Schol. in C. *ἤγουν ἐπὶ τῷ μεταχειρίζεσθαι ταύτην· ὁ δὲ παρανοήσας ἐπάνω ταύτης ἐκάθισεν.*

202. *οὐ μὴ φλυαρήσεις ἔχων.* Sic recte B. Reliqui, ut vulgo, perperam *φλυαρήσῃς.* Vide not. ad Lys. 704. Participio *ἔχων* superscripta glossa in C. *περισσόν.* Vide ad Thesm. 473. V. seq. *ἐλᾷς* futurum est Atticorum more formatum, quibus futura in *σω* post *α* breve, *ε* et *ο* in *ῶ* contrahuntur: *ἐλάσω, ἐλῶ: καλέσω, καλῶ: ἀρόσω, ἀρῶ.* Ut hic *οὐ μὴ φλυαρήσεις, ἀλλ' ἐλᾷς,* sic Nub. 505. *οὐ μὴ λαλήσεις, ἀλλ' ἀκολουθήσεις ἐμοί.* Confer notam ad v. 298.

Χα. βατράχων, κύκνων, θαυμαστά.
Δι. κατακέλευε δή.
Χα. ὠὸπ ὄπ, ὠὸπ ὄπ.
Χο. βρεκεκεκὲξ, κοὰξ, κοάξ.
βρεκεκεκὲξ, κοὰξ, κοάξ.
λιμναῖα κρηνῶν τέκνα,
ξύναυλον ὕμνων βοὰν
φθεγξώμεθ', εὔγηρυν ἐμὰν ἀοιδὰν,
κοὰξ, κοὰξ,
ἣν ἀμφὶ Νυσήϊον Διὸς
Διόνυσον ἐν Λίμναισιν ἰαχήσαμεν,
ἡνίχ' ὁ κραιπαλόκωμος
ταῖς ἱεραῖσι Χύτρησι
χωρεῖ κατ' ἐμὸν τέμενος λαῶν ὄχλος.
βρεκεκεκὲξ, κοὰξ, κοάξ.
Δι. ἐγὼ δέ γ' ἀλγεῖν ἄρχομαι
τὸν ὄῤῥον, ὦ κοὰξ, κοάξ.
Χο. βρεκεκεκὲξ, κοὰξ, κοάξ.
Δι. ὑμῖν δ' ἴσως οὐδὲν μέλει.
Χο. βρεκεκεκὲξ, κοὰξ, κοάξ.
Δι. ἀλλ' ἐξόλοισθ' αὐτῷ κοάξ·
οὐδὲν γάρ ἐστ' ἀλλ' ἢ κοάξ.
Χο. εἰκότως ἔγωγ', ὦ πολλὰ πράττων.
ἐμὲ γὰρ ἔστερξαν εὔλυροί τε Μοῦσαι,
καὶ κεροβάτας Πὰν,

207. θαυμαστά. Sic libri omnes. Nugatur Mœris θαυμάσιον, non θαυμαστὸν, Atticis scriptoribus usitatum fuisse dicens, quibus et præsertim Comico utrumque promiscue adhibitum.

216. Hesychius: Λιμναγενής. Λίμναι, ἐν Ἀθήναις τόπος, ἀνακείμενος τῷ Διονύσῳ, ὅπου τὰ Λήναια ἤγετο. Erat autem Bacchi festum Λήναια appellatum idem quod alio nomine dicebatur Ἀνθεστήρια, cujus dies tertius Χύτροι, seu Χύτραι appellabatur, quo certabant poëtæ agebanturque fabulæ. Videat lector eruditam Ruhnkenii disputationem in auctario emendatt. ad Hesychium ad v. Διονύσια, qua sola accurate traditur Liberalium Atticorum ratio. ἰαχήσαμεν verti debuit *cantare solemus*, quæ frequens est istius aoristi significatio.

218. ταῖς ἱεραῖσι Χύτρησι. Sic membr. Vulgo τοῖς ἱεροῖσι Χύτροισιν.

ταῖς ἱεραῖσι Χύτρησι. Hic cod. magis adhuc Ionice, τῆς ἱερῆς Χύτρησι.

ὁ καλαμόφθογγα παίζων·
προσεπιτέρπεται δ' ὁ φορμικτὰς Ἀπόλλων,
ἕνεκα δόνακος, ὃν ὑπολύριον
ἔνυδρον ἐν λίμναις τρέφω.
βρεκεκεκὲξ, κοὰξ, κοάξ.

Δι. ἐγὼ δὲ φλυκταίνας ἔχω,
χὡ πρωκτὸς ἰδίει πάλαι,
κᾆτ' αὐτίκ' ἐγκύψας ἐρεῖ,
βρεκεκεκὲξ, κοὰξ, κοάξ.
ἀλλ', ὦ φιλῳδὸν γένος, παύσασθε.

Χο. μᾶλλον μὲν οὖν φθεγξόμεσθ', εἰ δήποτ' εὐ-
ηλίοις ἐν ἁμέραισιν
ἡλάμεσθα διὰ κυπείρου
καὶ φλέω, χαίροντες ᾠδῆς
πολυκολύμβοις μέλεσιν,
ἢ Διὸς φεύγοντες ὄμβρον,
ἔνυδρον ἐν βυθῷ χορείαν
αἰόλαν ἐφθεγξάμεσθα
πομφολυγοπαφλάσμασι.
βρεκεκεκὲξ, κοὰξ, κοάξ.

233. ὑπολύριον. Huc respexit Pollux iv. 62. καὶ δόνακα δέ τινα ὑπολύριον οἱ κωμικοὶ ὠνόμαζον, ὡς πάλαι ἀντὶ κεράτων ὑποτιθέμενον ταῖς λύραις. Hesych. δόνακα ὑπολύριον. πάλαι γὰρ ταῖς λύραις κάλαμος ἀντὶ κέρατος ὑπετίθετο. Suppositus ille lyræ fidibus calamus eundem præstabat usum, quem in instrumentis quæ hodie chordis instruuntur pars illa, quam vocant *le chevalet*.

ὑπολύριον. Hujus loci meminit Eustathius ad Homerum p. 1165. l. 23. cujus verba haud inutile erit proferre. δόνακες διαφέρουσι καλάμων, ὅτι λεπτότατος μὲν ὁ δόναξ, ἀδρὸς δὲ ὁ κάλαμος. καὶ ὁ μὲν δόναξ ὡς ἐπὶ πολὺ ποτάμιος, οὐ μὴν καὶ ὁ κάλαμος. καὶ δόναξ μὲν συριγκταῖς χρήσιμος, κάλαμος δὲ αὐληταῖς, ὅθεν καί τις φαύλως αὐλῶν ὀλιστιαυλοκάλαμος ἐσκώφθη. Αἴλιος δὲ Διονύσιος εἰπὼν ὡς δόναξ ὑπολύριον, ἐπάγει· τὸ γὰρ παλαιὸν, ἀντὶ ΤΟΥ ΚΕΡΑΤΟΣ ὑπετίθεντο κάλαμον. ἐμφαίνει δὲ τοιοῦτόν τι καὶ ὁ Κωμικὸς ἐν Βατράχοις ὑπολύριον εἰπὼν δόνακα. Hinc corrigenda Pollucis verba quæ protuli, ubi perperam legitur κεράτων. Nam aliud quid in lyra erant κέρατα, *manubria, brachia*, quæ πήχεις appellabantur: ὑπολύριον autem, sive e calamo sive esset e cornu, vocabatur μαγάδιον. Vide Luciani interpretes ad Dial. Apollinis et Vulcani p. 222.

247. χορείαν αἰόλαν, *celerem choream*, πηδητικὴν, ut exponit Suidas. Nulla causa erat cur diversa significatione acciperetur Thesm. 1054.

Δι. τουτὶ παρ' ὑμῶν λαμβάνω.
Χο. δεινά γ' ἄρα πεισόμεσθα,
εἰ σιγήσομεν.
Δι. δεινότερα δ' ἔγωγ', ἐλαύνων
εἰ διαῤῥαγήσομαι.
Χο. βρεκεκεκὲξ, κοὰξ, κοάξ.
Δι. οἰμώζετ'· οὐ γάρ μοι μέλει.
Χο. ἀλλὰ μὴν κεκραξόμεσθά γ',
ὁπόσον ἡ φάρυγξ ἂν ἡμῶν
χανδάνῃ, δι' ἡμέρας,
βρεκεκεκὲξ, κοὰξ, κοάξ.
Δι. τούτῳ γὰρ οὐ νικήσετε.
Χο. οὐδὲ μὴν ἡμᾶς σὺ πάντως.
Δι. οὐδὲ μὴν ὑμεῖς γε δή μ' οὐδέποτε.
κεκράξομαι γὰρ, κἂν με δέῃ, δι' ἡμέρας,
ἕως ἂν ὑμῶν ἐπικρατήσω τοῦ κοάξ.
Χο. βρεκεκεκὲξ, κοὰξ, κοάξ.
Δι. ἔμελλον ἄρα παύσειν ποθ' ὑμᾶς τοῦ κοάξ.
Χα. ὦ παῦε, παῦε, παραβαλοῦ τῷ κωπίῳ.

253. *εἰ σιγήσομεν.* Vulgo omissus hic versiculus, cui respondet ille Bacchi, *εἰ διαῤῥαγήσομαι.* E solis membr. restitutus fuit.

259. *ἡ φάρυγξ.* Sic tres codd. Perperam C. *ὁ φάρυγξ.*

264. Versus est trochaicus male vulgo digestus. Mendose in membr. *οὐδὲ μὴν ὑμεῖς γ' ἔμ' οὐδεπώποτε.* Vide ad Thesm. 32.

265. Male vulgo digestus hic versus, senarius est, ita ut eum repræsentavi, scriptus in membr. ubi recte *δέῃ*, quod linguæ non minus quam metri flagitat ratio. Reliqui codd. cum impressis titubante versu et solœce *δεῖ*.

266. *ἕως ἂν ὑμῶν ἐπικρατήσω τοῦ κοάξ*: id est juxta codicis mei glossam, *ἕως ἂν ἐπικρατέστερος γενήσομαι τοῦ κόαξ ὑμῶν.* Vulgo *τῷ κόαξ*: illud præferunt meus et B.

269. *ὦ παῦε, παῦε.* Infra 580. *παῦε, παῦε τοῦ λόγου*, pro *παῦσαι*, vel *παῦε σαυτόν.* Pace 648. *παῦε, παῦ', ὦ δέσποθ' Ἑρμῆ, μὴ λέγε.* Promiscue media hujus verbi forma, et activa suppresso pronomine, usos fuisse in imperativo poëtas Atticos, exemplis ubivis obviis constat. Infra 1364. *παύσασθον ἤδη τῶν μελῶν*, perinde ac *παῦε τοῦ λόγου*, et Av. 1243. *παῦε τῶν παφλασμάτων.* In aliis modis vera est Thomæ observatio *παύω ἕτερον, παύομαι δὲ ἐγώ.* Glossæ codd. *παῦε, ὦ Διόνυσε, τῆς κωπηλασίας. πλησιάσον τὴν ναῦν τῷ λιμένι.* Supra 180. idem dixit Charon ei, quem tum vehebat, ubi eadem in glossis expositio: *πλησίασον τὸ σκάφος τῷ λιμένι.*

ἔκβαιν', ἀπόδος τὸν ναῦλον.
Δι. ἔχε δὴ τὼ 'βολώ.

ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ, ΧΟΡΟΣ ΜΥΣΤΩΝ.

Δι. Ὁ Ξανθίας, ποῦ Ξανθίας; ἦ Ξανθίας;
Ξα. ἰαῦ.
Δι. βάδιζε δεῦρο.
Ξα. χαῖρ', ὦ δέσποτα.
Δι. τί ἐςι τἀνταυθοῖ;
Ξα. σκότος καὶ βόρβορος.
Δι. κατεῖδες οὖν που τοὺς πατραλοίας αὐτόθι,
καὶ τοὺς ἐπιόρκους, οὓς ἔλεγεν ἡμῖν;
Ξα. σὺ δ' οὔ;
Δι. νὴ τὸν Ποσειδῶ 'γωγε, καὶ νυνί γ' ὁρῶ.
ἄγε δὴ, τί δρῶμεν;
Ξα. προϊέναι βέλτιστα νῷν,
ὡς οὗτος ὁ τόπος ἐςὶν, οὗ τὰ θηρία
τὰ δείν' ἔφασκ' ἐκεῖνος.
Δι. ὡς οἰμώξεται.
ἠλαζονεύεθ', ἵνα φοβηθείην ἐγὼ,
εἰδώς με μάχιμον ὄντα, φιλοτιμούμενος.
οὐδὲν γὰρ οὕτω γαῦρον ἔσθ', ὡς Ἡρακλῆς.
ἐγὼ δέ γ' εὐξαίμην ἂν ἐντυχεῖν τινι,
λαβεῖν τ' ἀγώνισμ' ἄξιόν τι τῆς ὁδοῦ.
Ξα. νὴ τὸν Δία καὶ μὴν αἰσθάνομαι ψόφου τινός.
Δι. ποῦ, ποῦ 'στιν;
Ξα. ὄπισθεν.

271. ἦ Ξανθίας; Glossa: ὄντως ὑπάρχει ὁ Ξανθίας, ὃν ὁρῶ;

272. ἰαῦ. Gl. μίμημα τοῦ συριγμοῦ.

276. νυνί γ' ὁρῶ. Hoc dicit ad spectatores se convertens.

286. ποῦ, ποῦ 'στιν; Ὄπισθεν. Sic recte meus et B. In membr. verbum, omissum est. Abest etiam in C. at sine hiatu, sic, ποῦ, ποῦ;—'ξόπισθεν. Vulgo immodulate ποῦ, ποῦ 'στ'; ὄπισθεν. Ob-

Δι. ἐξόπισθε νῦν ἴθι.
Ξα. ἀλλ' ἔστιν ἐν τῷ πρόσθε.
Δι. πρόσθε νῦν ἴθι.
Ξα. καὶ μὴν ὁρῶ, νὴ τὸν Δία, θηρίον μέγα.
Δι. ποῖόν τι;
Ξα. δεινόν. παντοδαπὸν οὖν γίγνεται·
ποτὲ μέν γε βοῦς, νυνὶ δ' ὀρεύς, ποτὲ δὲ γυνὴ
ὡραιοτάτη τις.
Δι. ποῦ 'στι; φέρ' ἐπ' αὐτὴν ἴω.
Ξα. ἀλλ' οὐκέτ' αὖ γυνή 'στιν, ἀλλ' ἤδη κύων.
Δι. Ἔμπουσα τοίνυν γ' ἐστι.
Ξα. πυρὶ γοῦν λάμπεται.
ἅπαν τὸ πρόσωπον.
Δι. καὶ σκέλος χαλκοῦν ἔχει;
Ξα. νὴ τὸν Ποσειδῶ, καὶ βολίτινον θάτερον·
σάφ' ἴσθι.
Δι. ποῖ δῆτ' ἂν τραποίμην;
Ξα. ποῖ δ' ἐγώ;
Δι. ἱερεῦ, διαφύλαξόν μ', ἵν' ὦ σοι ξυμπότης.

serves velim comico senario venustatem sæpe conciliare anapæstum in paribus locis, qui, si in tragico senario occurrat, criticis quibusdam nauseam movet.

290. ποτὲ μὲν—ποτὲ δὲ γυνή. Sic membr. Vulgo ποτὲ μὲν—ποτὲ δ' αὖ. In C. ποτὲ μὲν—ποτὲ δ' αὖ.

Cod. ποτὲ μὲν—ποτὲ δ' αὖ γυνή.

293. Ἔμπουσα τοίνυν γ' ἐστι. Melius in C. τοίνυν ἐστί. Omissa inutili particula. Vide infra ad v. 321.

Recte cod. τοίνυν ἐστί. In sequentibus interloquendi vices personis divisæ plane ut in meo textu. Verba σάφ' ἴσθι Xanthiæ continuata. Liquido scriptum καλεῖς—κατερεῖς.

294. καὶ σκέλος χαλκοῦν ἔχει; Personarum distinctionem exhibui quæ est in membr. nisi quod versu abhinc secundo verba σάφ' ἴσθι, quæ in illis Baccho tribuuntur, Xanthiæ continuavi, manifestæ sententiæ ductu. Postquam primo suspicatus est Bacchus spectrum, cujus meminerat Xanthias, Empusam esse, et hic quædam addidit suspicioni illi augendæ idonea, quo certior fiat, ex notis illius larvæ signis percontatur, *num crus æreum habeat*: cui respondet famulus; *ita mehercle, et alterum asininum; certo hoc scias*. Nemo erit, opinor, qui lubens non agnoscat sic multo melius quam vulgo divisas esse loquendi vices.

297. ἱερεῦ, διαφύλαξόν μ', ἵν' ὦ σοι ξυμπότης. Recte hunc versum interpretantur veteres critici, quibus inter dramatis hujus personas non magis accensebatur *Sacerdos*, quam *Empusa*. Histrio qui Bacchum agebat, hunc ver-

Ξα. ἀπολούμεθ', ὦ ναξ Ἡράκλεις.
Δι. οὐ μὴ καλεῖς μ',
ὦ νθρωφ', ἱκετεύω, μηδὲ κατερεῖς τοὔνομα.
Ξα. Διόνυσε τοίνυν.
Δι. τοῦτό γ' ἔθ' ἧττον θατέρου.

sum proferens ad Liberi sacerdotem se convertebat, cui ob dignitatis prærogativam in Liberalium celebratione sedes erat in theatri loco maxime conspicuo: alluditur autem ad morem superstitiosorum hominum qui, si in summas adducantur angustias, ad sacerdotes confugiunt, ut eorum precibus solvantur infortunio. At librarius aliquis quum arbitratus fuisset ista ad Sacerdotem dici cujus partes in fabula essent, noluit eum in scena tanquam stipitem stare, nihil proloquentem, eique verba tribuit ἀπολούμεθ', ὦ 'ναξ Ἡράκλεις et Διόνυσε τοίνυν, quæ ex auctoritate Regii cod. B. et mei Xanthiæ restitui. In membr. etiam posteriora verba famulo tributa, priora tantum Sacerdoti, cujus persona utrisque præfixa est in C. Sacerdotis personam jam sustulerat Zanettus, cujus in editione utraque ῥῆσις famulo tributa, ut in nostra.

298. οὐ μὴ καλεῖς—οὐδὲ κατερεῖς. Vulgo καλῇς et κατερῇς, quod, pace dicam Professorum quotquot sunt omnium, solœcum est, nec a poëtæ manu esse potest. Vide not. ad Lys. 704. Codex meus et C. liquido et distinctis quantum potest characteribus habent καλεῖς et κατερεῖς. In membr. et in B. καλῇς et κατερεῖς. Scilicet librarios turbavit Attica futuri forma καλεῖς, quod verbum quum præsentis esse crederent temporis, illud, pro ea qua erant græci sermonis peritia, in subjunctivum transtulerunt modum. Rationem futurorum istorum contractorum, quam breviter adtigi ad v. 202. plene explicavit Dawesius p. 73. seqq. Miscell. Crit. καλῶ et καλοῦμαι futura apud Comicum sæpe occurrunt. Nub. 1001.

τοῖς Ἱπποκράτους υἱέσιν εἴξεις, καί σε
καλοῦσι βλιτομάμαν.

ubi ridicule nugatur Scholiastes. Confer v. 632. 1221. Acharn. 968.

ἣν δ' ἀπολιγαίνῃ, τοὺς ἀγορανόμους καλῶ.

Av. 849.

ἐγὼ δ', ἵνα θύσω τοῖσι καινοῖσιν θεοῖς,
τὸν ἱερέα πέμψοντα τὴν πομπὴν καλῶ.

In eadem fabula v. 1052. ἀπολῶ futurum est, ut καλῶ. ibid. v. seq. διασκιδῶ futurum ut ἐλῶ, de quo agebam ad v. 202. Menander in Fragm. a Bentleio recte constituto p. 23.

ἐμοὶ παράστα· τὴν θύραν κόψας ἐγὼ
καλῶ τιν' αὐτῶν.

Jo. Clericus, homo tam sermonis Attici quam metrorum peritus, vertit: *pulsata janua, ego voco aliquem illorum.* Immo *ego vocabo.*

300. τοῦτό γ' ἔθ' ἧττον θατέρου. Sic membr. et C. Vulgo τοῦτο δέ γ' ἧττον. Nostram lectionem agnoscit etiam Scholiastes ab Aldo editus, cujus ab operis levis commissus fuit error, τοῦτο γ' ἴσθ' ἧττον—debebant exprimere ἔθ'. Nexarum literarum typus σθ positus fuit pro θ, cujus generis errores in græcis libris multi observantur: quocirca HEITZIO nostro auctor fui, ut typos nexas uno ductu literas exprimentes ex officina sua prorsum eliminaret. Hac occasione græcæ eruditionis studiosos monebo nihil fere subsidii e Scholiastis ad auctorum emendationem capiendum esse, nisi principes eorum consulantur editiones, quibus in solis lectiones a veteribus criticis enotatæ fideliter repræsentantur, quæ in aliis editionibus vel typothetarum imperitia, vel pravis editorum correctionibus plerumque obliteratæ sunt. Exemplo sit

Ξα. ἴθ', ᾗπερ ἔρχει· δεῦρο, δεῦρ', ὦ δέσποτα.
Δι. τί δ' ἔστι;
Ξα. θάῤῥει· πάντ' ἀγαθὰ πεπράγαμεν.
ἔξεστι δ', ὥσπερ Ἡγέλοχος, ἡμῖν λέγειν·
ΕΚ ΚΥΜΑΤΩΝ ΓΑΡ ΑΥΘΙΣ ΑΥ ΓΑΛΗΝ ΟΡΩ.
ἡ Ἔμπουσα φρούδη.
Δι. κατόμοσον.
Ξα. νὴ τὸν Δία.

hic locus. Aldina editio in textu exhibet τοῦτο δέ γ' ἧττον θατέρου: in Scholiis τοῦτο γ' ἴσθ' ἧττον θατέρου. In secunda Scholiorum editione per Phil. Juntam legitur τοῦτό κ' ἴσθ' ἧττον θατέρου, quæ menda per aliquot alias propagata fuit, donec tandem auctoris verba in scholiis reformata fuerunt ad eam lectionem, quæ in textu obtinebat: ita ut si quis hodie scholia legat in editione Kusteri, nulla causa sit, cur ei oboriatur suspicio, veterem criticum diversam lectionem ob oculos habuisse et enotasse.

301. ἴθ', ᾗπερ ἔρχει. In C. ἴθ' εἴπερ ἔρχῃ. In D. ἴθ' ᾗπερ ἴχῃ, cum glossa καθὰ δύνῃ. In Lys. 834. ἴθ' ὀρθὴν, ἥνπερ ἔρχει, τὴν ὁδόν.

302. πάντ' ἀγαθὰ πεπράγαμεν. Sic recte C. quod e Vat. immo etiam nullo adstipulante codice, reponere debebat Kusterus, quum vulgata lectio πάντα τἀγαθὰ manifesta labe metrum pessumdet. Glossa ad πεπράγαμεν, ἐπάθομεν, πάντ' ἀγαθὰ πράττειν, *summe felicem esse* significat. Av. 1706.

ὦ πάντ' ἀγαθὰ πράττοντες, ὦ μείζω λόγου.

ibid. 800. εἶτ' ἐξ οὐδένος μεγάλα πράττει. Usum istum verbi πράττειν sensu τοῦ πάσχειν illustravit Kusterus ad Pluti v. 341. χρηστόν τι πράττων, qui licet admodum frequens et nulli non græco scriptori familiaris, interpretes tamen sæpe fefellit. Apud Lucianum in Apologia pro mercede conductis p. 722. καὶ δὴ φημί σοι μηδένα μηδὲν ἀμισθὶ ποιεῖν· οὐδ' ἂν τοὺς τὰ μέγιστα πράττοντας εἴποις, ὅπου μηδὲ βασιλεὺς αὐτὸς ἄμισθός ἐστιν: male vertitur: *neque tu mihi eos nomines, qui res maximas gerunt.* Sensus est: *neque tu etiam eos dicere possis, qui summis pollent opibus.* Inversa ratione πάσχειν sæpe ponitur pro πράττειν, ut in formula τί γὰρ πάθω; *quid enim agam?* de qua ad Lys. 884.

304. ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ. Versus est ex Eurip. Or. 281. ubi Orestes quum e furore ad se redire incipit, ait:

ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ.

Qui Orestem agebat Hegelochus, quum γαληνα ὁρω pronuntiare debuisset, sed ita raptim, ut ultima vocalis in γαληνὰ perciperetur quidem auditorum auribus, nullam tamen senarii numeris adderet momentum, quæ ratio videtur fuisse tragicos versus pronuntiandi, nulla elisa vocali vel diphthongo; ille sive deficiente spiritu, sive nescio quo alio casu pronuntiavit γαλῆν ὁρῶ, unde spectatores intelligere debuerunt eum *mustelam videre.* Quæ res multis illius ætatis comicis facete jocandi occasionem dedit. Vide utriusque poëtæ Scholiastas et Marklandum ad Eurip. Suppl. 901. Perperam autem vulgo excusum γαλήν' ὁρῶ, qua ratione perit jocus. Xanthias in actione fabulæ pronuntiabat ut Hegelochus γαλῆν ὁρῶ.

304. Divisim olim in quibusdam libris legebatur ἡ γέλοχος, unde ineptus

Δι. καὖθις κατόμοσον.
Ξα. νὴ Δί'.
Δι. ὄμοσον.
Ξα. νὴ Δία.
Δι. οἴμοι τάλας, ὡς ὠχρίασ', αὐτὴν ἰδών·
ὁδὶ δὲ δείσας ὑπερεπυῤῥίασέ μου.
οἴ μοι πόθεν μοι τὰ κακὰ ταυτὶ προσέπεσε;
τίν' αἰτιάσομαι θεῶν μ' ἀπολλύναι;
ΑΙΘΕΡΑ ΔΙΟΣ ΔΩΜΑΤΙΟΝ, ἢ ΧΡΟΝΟΥ ΠΟΔΑ;
(αὐλεῖ τις ἔνδον.)
Ξα. οὗτος.
Δι. τί ἐστιν;
Ξα. οὐ κατήκουσας;
Δι. τίνος;
Ξα. αὐλῶν πνοῆς.
Δι. ἔγωγε, καὶ δᾴδων γ' ἐμὲ
αὖρα τις εἰσέπνευσε μυστικωτάτη.

nescio quis Græculus mulierem commentus est, cui nomen Γιλόχῳ fuisse tradidit. Interpretationem illam, quæ in scholiis margini codicis adscriptis exstat, merito deridet Scholiastes editus.

306. Hic versus in B. D. et in cod. omissus.

307. ὡς ὠχρίασ'. Sic bene Kusterus in notis e cod. Vat. Mei, ut vulgo, ὠχρίασ'—V. seq. glossa ad ὑπερεπυῤῥίασε, ἐξεκαύθη κατὰ τὸ πρόσωπον.

ὡς ὠχρίασ'. Sic recte cod. ut e Vatic. Kusterus edidit.

309. τὰ κακὰ ταυτί. Vulgo ταυτὶ τὰ κακὰ, qua vocum collocatione dactylus senarii quartam occupat sedem: id non animadverterunt editores, alioquin voces invertissent. Quis hic codd. consensum requirat? Si quis tamen adeo superstitiosus sit, animum ei defæcabo. In membr. et C. is est vocum ordo, quem exhibui.

311. Hunc versum Baccho recte continuant tres codd. Solus C. ut impressi, eum Xanthiæ tribuit.

312. Personas distinxi ad trium codd. fidem, qui Xanthiæ tribuunt, quæ perperam editores in Bacchi transtulerunt partes, et vice versa. Error inde ortus est, quod in quibusdam exemplaribus v. 311. Xanthiæ tributus fuerit, ut in C. unde perturbatæ fuerunt in sequentibus personæ. Nihilominus in C. ante οὗτος præfixa Xanthiæ persona quia parepigraphen αὐλεῖ τις ἔνδον librarius in versuum serie scripsit, tanquam si verba illa pars fabulæ essent, et ab actore aliquo proferri debuissent, quæ Baccho tribuit: sequentia autem personis sic divisit:

Ξανθίας.
οὗτος, τί ἐστιν;
Διόνυσος.
οὐ κατήκουσας;

ἀλλ' ἠρέμα πτήξαντες ἀκροασώμεθα.

Χο. Ἴακχ', ὦ Ἴακχε.

Ἴακχ', ὦ Ἴακχε.

Ξα. τοῦτ' ἔστ' ἐκεῖνο, δέσποθ', οἱ μεμυημένοι
ἐνταῦθά που παίζουσιν, οὓς ἔφραζε νῷν.
ᾄδουσι γοῦν τὸν Ἴακχον, ὥσπερ Διαγόρας.

Δι. κᾀμοὶ δοκοῦσιν. ἡσυχίαν τοίνυν ἄγειν
βέλτιστόν ἐστιν, ὡς ἂν εἰδῶμεν σαφῶς.

Χο. Ἴακχ', ὦ πολυτιμήτοις
ἕδραις ἐνθάδε ναίων·
Ἴακχ', ὦ Ἴακχε,
ἐλθὲ τόνδ' ἀνὰ λειμῶνα χορεύσων,
ὁσίους ἐς θιασώτας,
πολύκαρπον μὲν τινάσσων
ἀμφὶ κρατὶ σῷ βρύοντα
στέφανον μύρτων·
θρασεῖ δ' ἐγκατακρούων
ποδὶ τὰν ἀκόλαστον
φιλοπαίγμονα τιμάν,
χαρίτων πλεῖστον ἔχουσαν

Ξανθίας.

τίνος;

Διόνυσος.

αὐλῶν πνοῆς.

Ξανθίας.

ἔγωγε, καὶ δᾴδων γέ με αὔρα γέ τις εἰσέπνευσε—

Non eadem in primariis editionibus personarum distinctio, quæ in recentioribus; sed editionum varietates operæ pretium non est enotare, ubi meliora ex integrioris fidei codicibus proferimus.

315. ἠρέμα. Sic B. D. Vulgo ἠρεμεί, quæ adverbii forma nullibi, quod sciam, occurrit. Glossa ἡσύχως. Mendose in A. et D. στύξαντες. Glossa in C. συστείλαντες ἑαυτούς.

320. ᾄδουσι γοῦν. Sic membr. Vulgo ᾄδουσιν οὖν. In C. ἄγουσι γοῦν.

321. τοίνυν ἄγειν. Sic A. C. Vulgo τοίνυν γ' ἄγειν. Particulam γε post τοίνυν additam sæpissime reperias, sed fere tantum ubi metri lex ultimam syllabam productam requirit: unde conficias librarios syllabam illam brevem esse credidisse. Sed falsi fuerunt. τοίνυν compositum est ex τοι et νυν: hoc autem modo producitur, modo corripitur, correptumque encliticum est. Nec pro significationis diversitate variari quantitatem putes: nam sæpissime apud poëtas scenicos νῦν productum nihil aliud valet quam δή. Alibi τοίνυν observes ultima producta sine appendice particulæ γε: ut infra 1524. Thesm. 785. Supra v. 293. edi debuit Ἔμπουσα τοίνυν ἐστί.

321. τοίνυν ἄγειν. Sic etiam hic cod.

μέρος, ἁγνὰν, ἱερὰν
ὁσίοις μύσταις χορείαν.

Ξα. ὦ πότνια πολυτίμητε Δήμητρος κόρη,
ὡς ἡδύ μοι προσέπνευσε χοιρείων κρεῶν.

Δι. οὔκουν ἀτρέμ' ἕξεις, ἤν τι καὶ χορδῆς λάβῃς.

Χο. ἔγειρε φλογέας λαμπά-
δας· ἐν χερσὶ γὰρ ἥκεις
τινάσσων Ἴακχε,
νυκτέρου τελετῆς φωσφόρος ἀστήρ.
φλογὶ φέγγεται δὲ λειμών·
γόνυ πάλλεται γερόντων·
ἀποσείονται δὲ λύπας,

344. φλογὶ φέγγεται δὲ λειμών. Sic B. D. In A. C. φλογὶ φλέγεται librarii errore. Glossa in C. ad alterum refertur, καταλάμπεται. Miseret me Kusteri se ipsum cruciantis quod bonam lectionem imprudens in textu reliquerit. Scholiastem modo in consilium adhibuisset metra declarantem, intellexisset illud φλέγεται, præterquam quod minus aptum sententiæ est, metricæ rationi plane adversari. Bini sunt versus sibi correspondentes ionici a minore dimetri, hic in antistrophe, et v. 327. in strophe, quorum hæc est dimensio:

∪ ∪ − − ∪ ∪ − −
σιους ες | θιασωτας
∪ ∪ − ∪ − ∪ − −
φλογι φεγγε | ται δε λειμων.

Prior purus ionicus est: alter ἀνακλώμενος, in quo primus pes quinque temporum est tantum, sed temporis unius defectus in sequente pede compensatur, qui septem temporum est. Hæc est ratio versus ἀνακλωμένου, quam tradit Hephæstio p. 40. ubi in exemplum proferuntur isti Anacreontis et Sapphus versus:

∪ ∪ − ∪ − ∪ − − ∪ ∪ − −
[illegible] | [illegible], Κυ | προγενεια,
∪ ∪ − ∪ − ∪ − − ∪ ∪
[illegible] θε | [illegible] | [illegible]
− −
αλλη
∪ ∪ − ∪ − ∪ − − ∪ ∪ − −
λωσις εκ σο | [illegible] | δαμα τωνδε.
∪ ∪ − ∪ − ∪ − − ∪ ∪ − ∪
παρα δ' ηυτε | Πυθομανδρου | κατεδυν ε
− ∪ − −
| ρωτα φευγων.

de ultimo versu videndus Orvillius Crit. Vanni p. 450. Jam scribas:

∪ ∪ ∪ ∪ − ∪ − −
φλεγι φλεγε | ται δε λειμων.

quatuor tantum habebis tempora in priori pede, et quidvis potius quam versum ionicum, qui pari suo congruat. Si quis metrorum imperitus fabulam hanc post Kusterum edidisset, non dubitasset ad Vat. cod. veteris Scholiastæ fidem et ex Kusteri sententia φλέγεται in textum recipere, unde, me auctore, in perpetuum ejicietur.

Cod. φέγγεται, cum gl. καταλάμπεται. Notata in marg. varia lectio quam mendosam esse ostendimus: γρ. φλέγεται. Sequentes versus cod. exhibet, ut eos edidi, nisi quod τιμᾶς v. 349. habet pro τιμῶν.

346. ἀποσείονται. Sic bene A. C. Vulgo ἀποσείονται.

χρονίων ἐτῶν,
παλαιούς τ' ἐνιαυτούς,
ἱερᾶς ὑπὸ τιμᾶς.
σὺ δὲ λαμπάδι φλέγων,
προβάδην ἔξαγ' ἐπ' ἀνθη-
ρὸν ἕλειον δάπεδον,
χοροποιὸν, μάκαρ, ἥβαν.

Ἡμίχορος.

εὐφημεῖν χρὴ, κἀξίστασθαι τοῖς ἡμετέροισι χοροῖσιν,
ὅστις ἄπειρος τοιῶνδε λόγων, ἢ γνώμῃ μὴ καθαρεύει,
ἢ γενναίων ὄργια Μουσῶν μήτ' εἶδεν μήτ' ἐχόρευσε·
μηδὲ Κρατίνου τοῦ Ταυροφάγε γλώττης βακχεῖ' ἐτελέσθη,
ἢ βωμολόχοις ἔπεσιν χαίρει, μὴ 'ν καιρῷ τοῦτο ποιοῦσιν·
ἢ στάσιν ἐχθρὰν μὴ καταλύει, μηδ' εὔκολός ἐστι πολίταις·
ἀλλ' ἀνεγείρει καὶ ῥιπίζει, κερδῶν ἰδίων ἐπιθυμῶν·
ἢ τῆς πόλεως χειμαζομένης ἄρχων καταδωροδοκεῖται·

347. Membr. χρόνους τ', ἐτῶν παλαιὰς ἐνιαυτούς. In vett. editt. χρονίων τ' ἐτῶν παλαιοὺς ἐνιαυτοὺς, quam lectionem præferunt B. et D. In C. ἀποσείονται δὲ λύπας χρονίων ἐτῶν, παλαιούς τ' ἐνιαυτοὺς, *tædia longævæ ætatis, senilesque annos.* Qua in lectione nihil est quod offendat, eamque præferendam censeo, et in textu reponendam, eo magis, quod sic scriptus versiculus antithetico respondeat, membranarum autem lectionem non admittat ratio metrica. Binorum versuum hæc est dimensio:

υ υ - -
τιφανους μυς | των
υ υ - υ
χρονιων ε | των.

Ionici sunt; prior purus; posterior ἀνακλώμενος: ita ut minime necesse sit cum Dawesio nomini ἐτῶν substituere ἀτῶν.

350. λαμπάδι φλέγων. Cod. haud deterius λαμπάσι.

351. ἔξαγ' ἐπ' ἀνθηρὸν—Sic codd. omnes, ut legendum esse monuerat Bisetus. Vulgo ineptissime ἔξαγε πάνθηρον. Glossa in cod. ἀνθῶν πλήρεις. Mox χοροποιὸν editionum lectionem exhibent B. et D. Ceteri χαροποιόν. Glossa in C. χαροποιὸν ἥβην λέγει ἢ τὴν αὐτοῦ τοῦ Διονύσου ἡλικίαν τὴν τοὺς χορεὺς καθιστῶσαν, ἢ τοὺς χορεύοντας μύστας.

355. ἢ γνώμῃ μὴ καθαρεύει. Sic recte C. ut in posteriore Veneta et exinde in novissima Batava excusum. Vulgo καθαρεύοι. Ad alterum pertinet glossa codicis mei καθαρός ἐστι. Habent autem libri omnes γνώμη, et sic bis citatum reperi apud Priscianum. Plutarchus vero Opp. Moral. p. 348. E. γλώσσῃ καθαρεύει legit, nisi librarii error est.

Cod. ἢ γνώμην μὴ καθαρεύει.

356. In edit. prior. μήτ' ἶδε πω, μήτ'. Prava est hæc lectio. Jam plus semel observavi poëticam formam ἴδεν comicum sermonem aversari. In membr. est μήτ' εἶδε μήτ'—In C. μήτ' εἶδε μήτ'—Recte apud Gelium Præfationis p. 11. Cod. Ms. exhibet μήτ' εἶδεν μήτ'—quod hic reponi debuit. In Plutarchi loco modo cit. legitur μήτ' ᾖσε μήτ'—

ἢ προδίδωσιν φρούριον ἢ ναῦς, ἢ τἀπόρρητ' ἀποπέμπει
ἐξ Αἰγίνης, Θωρυκίων ὤν, εἰκοστολόγος κακοδαίμων,
ἀσκώματα, καὶ λίνα, καὶ πίτταν διαπέμπων εἰς Ἐπίδαυρον·
ἢ χρήματα ταῖς τῶν ἀντιπάλων ναυσὶν παρέχειν τινὰ πείθει·
ἢ κατατιλᾷ τῶν Ἑκαταίων, κυκλίοισι χοροῖσιν ὑπᾴδων·
ἢ τοὺς μισθοὺς τῶν ποιητῶν ῥήτωρ ὤν, εἶτ' ἀποτρώγει,
κωμῳδηθεὶς ἐν ταῖς πατρίοις τελεταῖς ταῖς τοῦ Διονύσου.
τούτοις αὐδῶ, καὖθις ἀπαυδῶ, καὖθις τὸ τρίτον μάλ' ἀπαυδῶ,
ἐξίστασθαι μύσταισι χοροῖς· ὑμεῖς δ' ἀνεγείρετε μολπὴν,
καὶ παννυχίδας τὰς ἡμετέρας, αἳ τῇδε πρέπουσιν ἑορτῇ.

Ημ. χώρει δὴ νῦν πᾶς ἀνδρείως
εἰς τοὺς εὐανθεῖς κόλπους
τῶν καθ' Ἅιδου λειμώνων, ἐγκρούων
καὶ σκώπτων καὶ παίζων,
καὶ χλευάζων. ἠρίστευται δ'
ἐξαρκούντως. ἀλλ' ἔμβα,
χὤπως αἴρῃς τὴν Σώτειραν γενναίως

362. ἢ προδίδωσιν φρούριον. Male vulgo προδίδωσι. Vide ad Thesmoph. 450.

364. ἀσκώματα. Glossa δέρματα. Vide Schefferum nostratem de Militia navali p. 139.

366. Innuitur Cinesias poëta dithyrambicus, cujus mentio versu 153.—ὑπᾴδων. Sic solæ membranæ. In tribus reliquis ἐπᾴδων perperam. Vide infra ad 874.

366. ὑπᾴδων. Bonam hanc lectionem exhibet etiam cod.

367. Agyrrium intelligit, de quo Scholiastes ad Conc. 102. καὶ τὸν μισθὸν δὲ τῶν ποιητῶν συνέτεμε. Proinde in scholio ad hunc versum pro Ἀρχῖνον reponi debet Ἀγύῤῥιον.

369. Pessime luxatum est in omnibus libris tam scriptis quam impressis hujus versus metrum. Sic vulgo legitur:

τούτοισιν ἀπαυδῶ, καὖθις ἀπαυδῶ, καὖθις μάλ' ἀπαυδῶ.

duplici vitio: primo quia post quartum pedem cæsura est, tum quia deest syllaba in posteriore commate. Diversæ sunt codicum lectiones, sed nihilo meliores: unice vera est ea quam reposuimus e Gellii loco modo citato.

376. Prior. edit. habet ἠρίστηται δ' ἐξαρκούντως. *Pransum est enim satis.* Sic vertit Berglerus. Inepta sententia. Reponendum censeo ἠρίστευται, quod in versione secutus sum. In C. scriptum a prima manu ἠρήσεται, superscripta emendatione ἠρίστηται.

378. χὤπως αἴρῃς. Sic B. et meus, in quo glossa, καὶ σκόπει ὅπως ὑψώσῃς. In membr. χὤπως αἴρεις. In C. χὤπως αἰρεῖς. Glossa σκόπει ὅπως μεγαλύνεις. Princeps editio et aliæ veteres χὤπως αἰρεῖς. Schol. αἰρεῖς τὴν Σώτειραν. ὑψώσεις τοῖς ἐπαίνοις. Vides fluctuare lectionem, cujus certiora vestigia in Aldina apparent. Scripserat poëta ἀρεῖς more suo. Nullibi enim, quod sciam, verbum cum ὅπως significante *quomodo*, a suppresso verbo σκόπει vel simili pendente, aliter construit quam in futuro indicati-

τῇ φωνῇ μολπάζων,
ἣ τὴν χώραν σώζειν φήσ' ἐς τὰς ὥρας,
κἂν Θωρυκίων μὴ βούληται.

Ἡμίχορος.

ἄγε νῦν ἑτέραν ὕμνων ἰδέαν, τὴν καρποφόρον βασίλειαν,
Δήμητρα θεὰν, ἐπικοσμοῦντες, ζαθέαις μολπαῖς κελαδεῖτε.

Ημ. Δήμητερ ἁγνῶν ὀργίων
ἄνασσα, συμπαραστάτει,
καὶ σῶζε τὸν σαυτῆς χορόν·
καί μ' ἀσφαλῶς πανήμερον
παῖσαί τε καὶ χορεῦσαι,
καὶ πολλὰ μὲν γέλοιά μ' εἰ-
πεῖν, πολλὰ δὲ σπουδαῖα, καὶ
τῆς σῆς ἑορτῆς ἀξίως
παίσαντα καὶ σκώψαντα, νι-
κήσαντα ταινιοῦσθαι.

Ημ. ἄγ' εἶα νῦν γε καὶ τὸν ὡραῖον θεὸν
παρακαλεῖτε δεῦρο
ᾠδαῖσι, τὸν ξυνέμπορον
τῆσδε τῆς χορείας.

Ημ. Ἴακχε πολυτίμητε, μέλος ἑορτῆς
ἥδιστον εὑρὼν, δεῦρο συνακολούθει
πρὸς τὴν θεὸν, καὶ δεῖξον, ὡς
ἄνευ πόνου πολλὴν ὁδὸν περαίνεις.

Ημ. Ἴακχε φιλοχορευτὰ, συμπρόπεμπέ με

vi aut aor. 2. subjunctivo, quod observavi ad Lys. 289. 1305. Thesm. 24. Locus classicus est in Lys. v. 1182. ubi in duobus continuis versibus ὅπως bis positum diversa constructione, pro diversa significandi potestate: prius valet *quomodo*; alterum ut finale:

νῦν οὖν ὅπως ἁγνεύσετε,
ὅπως ἂν αἱ γυναῖκες ἡμᾶς ἐν πόλει
ξενίσωμεν.

Sed excidit hoc loco vocula fulciendo metro necessaria. Versus est enim anapæsticus. Scribe itaque:

χὤπως μὲν ἀρεῖς τὴν Σώτειραν γενναίως.

384. In membr. præfixa huic versui persona ἡμίχορος, quam omittunt tres alii. Eam jam adposuerat Zanettus.

394. Nulla persona præfixa huic versui in codd. In Aldina Semichorus.

402. Persona in membr. et in C. μέρος χοροῦ. In duobus reliquis ἡμίχορος. Vulgo hæc alteri Semichoro con-

σὺ γὰρ κατεσχίσω μὲν ἐπὶ γέλωτι
κἀπ' εὐτελείᾳ τόνδε
τὸν σανδαλίσκον, καὶ τὸ ῥάκος,
κἀξεῦρες ὥστ' ἀζημίους
παίζειν τε καὶ χορεύειν.

Ημ. Ἴακχε φιλοχορευτά, συμπρόπεμπέ με.
καὶ γὰρ παραβλέψας τι μειρακίσκης
νῦν δὴ κατεῖδον, καὶ μάλ' εὐπροσώπου,
συμπαιστρίας, χιτωνίου
παραῤῥαγέντος τιτθίον προκύψαν.
Ἴακχε φιλοχορευτά, συμπρόπεμπέ με.

Ξα. ἐγὼ δ' ἀεί πως φιλακόλουθός εἰμι, καὶ μετ' αὐτῆς
παίζων χορεύειν βούλομαι.

Δι. κἄγωγε πρός.

Χο. βούλεσθε δῆτα κοινῇ
σκώψωμεν Ἀρχέδημον,
ὃς, ἑπτέτης ὢν, οὐκ ἔφυσε φράτορας,
νυνὶ δὲ δημαγωγεῖ
ἐν τοῖς ἄνω νεκροῖσι,
κἄστιν τὰ πρῶτα τῆς ἐκεῖ μοχθηρίας;

tinuantur. Codices omnes v. 408. rursus præfixam habent Semichori personam.

418. φράτερας. Præter exspectationem pro φραστῆρας. Vide Suidam in Φραστῆρες, et Meursium Gr. Fer. in Ἀπατούρια. Confer not. ad Av. 1669. Archedemus, de quo hic agitur, Erasinidis accusator fuit. Vide Xenoph. Hellen. p. 41. edit. Lips.

421. κἄστιν τὰ πρῶτα τῆς ἐκεῖ μοχθηρίας. Vide quæ de hoc formula notavi ad Eurip. Or. 1251. Versum hunc laudavit nuper ad Sophoclis El. p. 28. Parisinus Professor, cujus e longa errorumque et tædii refertissima nota ridicula quædam protuli ad Thesm. 56. Sed non animadvertit versum esse trimetrum iambicum, cujus in prima sede trochæus stare non potest, et proinde mendosum esse κἄστι. Quod tironum infimus ultro reposuisset κἄστιν, est in Reg. membr. Hoc primum. Deinde quum quid apud poëtas intersit inter πρῶτα et τὰ πρῶτα non intelligat, eaque promiscuæ significationis esse putet, ostendit se græci sermonis proprietatis tam peritum esse, quam prosodiæ et metrorum. At vero γνωσθήσεται τάχα Παρισίνοις,

οἷα διδάσκει τοὺς ἀνοήτους.

Quando apud Æsch. Prometheus ait,

μέμψιν οὔ τιν' ἀνθρώποις ἔχων,
οἳ ΠΡΩΤΑ μὲν, βλέποντες ἔβλεπον μάτην.

in enumeratione miseriarum humani generis, quas sublevavit, istud ΠΡΩΤΑ valet *primum*, *premiérement*; et sic in

τὸν Κλεισθένη δ' ἀκούω
ἐν ταῖς ταφαῖσι πρωκτὸν
τίλλειν ἑαυτοῦ, καὶ σπαράττειν τὰς γνάθους·
κᾆκόπτετ' ἐγκεκυφὼς,
κᾆκλαε, κᾆκεκράγει
Σεβῖνον, ὅστις ἔστ' Ἀναφλύστιος.
καὶ Καλλίαν γέ φασὶ

plerisque aliis quæ nullo judicio advocat exemplis. Hac significatione πρῶτα, τὰ πρῶτα, ut πρῶτον, τὸ πρῶτον, promiscue adhibentur. Sed ubi memoratur quispiam *in aliqua re excellens, principatum tenens alicujus rei*, jam dici non potest πρῶτα εἶναι, πρῶτα ἔχειν; sed articulum τὰ omnino requirit græcæ linguæ ingenium. Sic Medea filiis suis dicit apud Euripidem:

οἶμαι γὰρ ὑμᾶς τῆσδε γῆς Κορινθίας
ΤΑ ΠΡΩΤ' *ἔσεσθαι.*

Diphilus Comicus apud Stobæum Floril. Grotii p. 137.

ὃς δ' οὔτ' ἐρυθριᾶν οἶδεν οὔτε δεδιέναι
ΤΑ ΠΡΩΤΑ *πάσης τῆς ἀναιδείας ἔχει.*

Quod non minus vere de aliquo dici posset, qui eruditis quibusvis obloqueretur, de rebus temere disputans, quas tam perspectas haberet, quam cæcus colores. Si quis poëta aliter scripsisse comperiatur, vim sibi a metri necessitate illatam ipse linguæ fecerit, quod illi quidem ignoscendum est, ut et nostris multa condonamus; sed rarius admissæ culpæ vim certissimæ legis non labefactant. Præterea distinguendæ poëtarum ætates, ut et carminum genera; maxime autem mendæ suspicione vacare debent exempla. In Euripidis fragm. ex inc. Trag. xii. apud Musgravium Poëtæ non agnosco manum. Stobæi editio Tigurina et cod. Regius habent,

τὸ σκαιὸν εἶναι πρῶτ' ἀμουσίαν ἔχει.

In iis quæ apud Tragicum sequebantur, ab excerptore omissis, alia proponebantur incommoda imperitiæ, quorum in illis versibus institui cœpta enumeratio, ubi ΠΡΩΤΑ eadem significatione positum, qua in Æschyli versu,

οἱ ΠΡΩΤΑ *μὲν, βλέποντες ἔβλεπον μάτην.*

Varia lectio e prava nescio cujus emendatione falsæ interpretationi locum dedit. Hemsterhusium laudavi ad ista Mercurii ad Timonem verba apud Lucianum p. 147. *πλούτει πάλιν, καὶ ἴσθι Ἀθηναίων* ΤΑ ΠΡΩΤΑ. Vide virum eundem doctissimum ad Xenoph. Ephes. in Miscell. Observ. tom. v. p. 30. Valckenarium ad Herodotum pag. 484. 47. Abresch. ad Æschylum p. 236. ubi exemplorum affatim.

422. τὸν Κλεισθένη. In tribus codd. scriptum τὸν Κλεισθένους. In C. τὸν Κλεισθένην, et superscripta glossa τὸν Καλλίαν, quæ ad alteram lectionem referri videtur: sed mendosa illa est, falsaque ejus interpretatio. Sermo est de Clisthene illo cinædo toties a Comico exagitato, qui fingitur hic amico cuidam suo in monumentis parentare; sed alio sensu ista accipienda sunt, quod docent etiam veteres critici. Ad hunc locum respicit Theocr. Schol. ad Idyll. v. 43. ubi perperam Cleonem nominat pro Clisthene.

426. κᾆκλαε. Sic membr. et C. Vulgo κᾆκλαεν, quod minus Atticum est: vide infra ad v. 654. Perperam seq. v. in membr. Σιβῖνος. Pagus erat Atticæ Ἀνάφλυστος dictus, de quo videndus Meursius. Sed ut fictum est viri nomen Σιβῖνος a βινεῖν deductum, sic in gentili nomine allusio est ad obscœnum verbum ἀναφλᾷν. Idem jocus est in Conc. 979.

τοῦτον τὸν Ἱπποβίνου
κύσθου λεοντῆν ναυμαχεῖν ἐνημμένον.
Δι. ἔχοιτ' ἂν οὖν φράσαι νῷν
Πλούτων', ὅπου 'νθάδ' οἰκεῖ;
ξένω γάρ ἐσμεν, ἀρτίως ἀφιγμένω.
Χο. μηδὲν μακρὰν ἀπέλθῃς,
μηδ' αὖθις ἐπανέρῃ με·
ἀλλ' ἴσθ' ἐπ' αὐτὴν τὴν θύραν ἀφιγμένος.
Ξα. τουτὶ τί ἦν τὸ πρᾶγμα
Δι. αἴροι' ἂν αὖθις αὖ γε, παῖ, τὰ στρώματα.
ἄλλ', ἢ Διὸς Κόρινθος ἐν τοῖς στρώμασι;

429. τοῦτον τὸν Ἱπποβίνου. Sunt hujus commatis versus omnes iambici, inter quos trochaicus immisceri non debuit. Vulgo legitur τουτονὶ τὸν—Recte in B. D. τοῦτον. Vim hujus pronominis declarat glossa in C. ὃν πάντες ἴσασι δηλονότι. V. seq. codd. omnes habent κύσθου, ut recte emendatum fuit in novissima Batava. Antea legebatur κίσθου.

432. In cod. scriptum Πλούτων', servato eleganti Atticismo. Nihil magis usitatum Græcis scriptoribus, quam verbis *dicendi*, *cogitandi*, *sentiendi*, accusativum subjungere personæ vel rei, quæ subjectum est sequentis verbi. Atticismum id schema appello, quia Atticis fuit valde adamatum: nam Homero, Pindaro, et optimis quibusque fuit frequentatum. Sic Iliad. β'. 409.

ᾔδει γὰρ κατὰ θυμὸν ἀδελφεὸν, ὡς ἐπονεῖτο.

Exempla quævis Comici pagina offert. Nub. 145. ἀνήρετο Ψύλλαν, ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας. Conc. 1125. φράσατέ μοι τὸν δεσπότην, ὅπου 'στί. Lys. 769. λέγ' αὐτὸν ἡμῖν ὅ τι λέγει, pro λέγ' ἡμῖν ὅ τι λέγει αὐτός. Latinis Comicis nihil eadem constructione frequentius. Sic Plautus Rud. *eam veretur, ne perierit*: pro *veretur, ne ea perierit*.

434. μηδὲν μακρὰν ἀπέλθῃς. Tribus versiculis iambicis percontatur Bacchus, quorum duo primi dimetri sunt, tertius senarius. Totidem paribus versiculis constat chori responsio. μακρὰν pes est iambus. Hujus adverbii, ut et alius ejusdem familiæ ἄγαν, ultima apud poëtas Atticos semper producta observatur; qua de re alibi agam. Quippe novi aliquem, qui his in rebus nihil certi se videre profitetur, a quo grandem me solidamque initurum gratiam confido, si gramias quas in oculis habet purgavero.

437. αἴροι' ἄν. Sic perspicue tres codd. In C. forma etiam verbi media, sed sine elisione αἴροιο ἄν. Vulgo αἴροις, quod mendosum esse vere pronuntiavit, multisque exemplis ostendit Dawesius p. 237.

αἴροι' ἄν. Sic etiam hic cod. cum glossa λάβοις ἄν.

439. Διὸς Κόρινθος. Proverbium ἐπὶ τῶν τὰ αὐτὰ συνεχῶς λεγόντων. De ejus origine diversa tradunt veteres Grammatici, quæ apud parœmiographos collecta videas. Conc. 827.

ὅτε δὴ δ' ἀνασκοπουμένοις ἐφαίνετο
ὁ Διὸς Κόρινθος—

Eo Nemeon. vii. concludit Pindarus

Ταυτὰ
δὲ τρὶς τετράκις τ' ἀμπολεῖν,
ἀπορία τελέθει, τέκνοισιν ἅτε μαψυλάκας, Διὸς Κόρινθος.

Ημ. χωρεῖτε νῦν ἱερὸν ἀνὰ κύκλον θεᾶς,
ἀνθοφόρον ἀν' ἄλσος
παίζοντες, οἷς μετουσία
θεοφιλοῦς ἑορτῆς·
ἐγὼ δὲ σὺν ταῖσι κόραις
εἶμι καὶ γυναιξὶν,
οὗ παννυχίζουσι θεαὶ,
φέγγος ἱερὸν οἴσων.

Ημ. χωρῶμεν ἐς πολυῤῥόδους
λειμῶνας ἀνθεμώδεις,
τὸν ἡμέτερον τρόπον,
τὸν καλλιχορώτατον,
παίζοντες, ὃν ὄλβιαι
Μοῖραι ξυνάγουσι.
μόνοις γὰρ ἡμῖν ἥλιος
καὶ φέγγος ἱλαρόν ἐστιν.
ὅσοι μεμυήμεθ', εὐ-
σεβῆ τε διήγομεν

440. Huic versui præfixa in cod. nota χορός. Versui 448. præfixa nota ἡμίχορος, eique Semichoro continuantur usque ad finem omnia, ut in mea editione. Præterea in penultimo cantici versu cod. habet, ut est etiam in membr. περί τε τοὺς ξένους, quæ sincera lectio est. Legendi sunt isti versiculi, ut eos exhibui in nota ad Pac. 375. Græculo, qui metra declaravit, quum libuisset canticum hoc in strophen et antistrophen dividere, is articulum qui obstabat deturbavit, licet hic salva linguæ indole non magis abesse possit, quam in Eq. v. 1074.

444. Hic et tres seqq. versus Baccho vulgo tribuuntur perquam absurde. In tribus codd. eidem semichoro continuantur: nec ulla distinctio in membr. fuerat; sed postmodo inter lineas scripta persona, quam minime exspectes, ἱερεύς. Sacerdotis etiam, nescio illiusne qui supra cum Baccho colloquebatur, an cujusvis alius, meminit idem librarius ad v. 382. cui præfixa in membr. persona ἡμίχορος ἢ ἱερεύς. Positam hic ab Aldo Bacchi personam sustulerunt Bernardus Junta et editores Veneti. Quod autem v. 440. et 448. personam præscripserim Semichori, in eo tres codd. consentientes habeo. In B. nulla persona est: impressi Chorum habent. Ultimum Semichori comma ad commendationem Mysteriorum Eleusiniorum pertinet, quorum in superioribus plurimi adumbrati ritus. Credebant veteres Græci solos initiatos post mortem in fortunatorum sedes admitti, qua de re videndus Brodæus ad Crinagoræ Epigr. Anthol. p. 56. et Meursium Eleusin. capp. 17. 18.

τρόπον, περί τε ξένους,
καὶ τοὺς ἰδιώτας.

ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ, ΑΙΑΚΟΣ, ΘΕΡΑΠΑΙΝΑ ΠΕΡΣΕΦΟΝΗΣ, ΠΑΝΔΟΚΕΥΤΡΙΑΙ, ΧΟΡΟΣ ΜΥΣΤΩΝ.

Δι. ΑΓΕ δὴ τίνα τρόπον τὴν θύραν κόψω; τίνα;
πῶς ἐνθάδ' ἄρα κόπτουσιν οἱ 'πιχώριοι;
Ξα. οὐ μὴ διατρίψεις, ἀλλὰ γεῦσαι τῆς θύρας,
καθ' Ἡρακλέα τὸ σχῆμα καὶ τὸ λῆμ' ἔχων.
Δι. παῖ, παῖ.
Αι. τίς οὗτος;
Δι. Ἡρακλῆς ὁ καρτερός.
Αι. ὦ βδελυρὲ, κἀναίσχυντε, καὶ τολμηρὲ σὺ,

461. *οἱ 'πιχώριοι.* In membr. *οὑπιχώριοι*, ut infra 967. *οὑμοὶ*, pro *οἱ ἐπιχώριοι*, et *οἱ ἐμοί*. Per *θλίψιν* melius quam per *κρᾶσιν* ista efferuntur et scribuntur. Vide not. ad Eurip. Med. 818. Hec. 334. et ad Thesm. 158.

462. *οὐ μὴ διατρίψεις.* Solœce vulgo *διατρίψῃς.* Hoc quidem facile editoribus condonari potest. Sed quis risum teneat, quum viderit quemnam ex his verbis sensum elicuerint interpretes. Berglerus post Frischlinum vertit: *Ne conteras, sed gusta januam, quippe qui Herculis ornatum et animum habes.* Nec aliter *οὐ μὴ διατρίψῃς* accepit auctor Doctrinæ Particularum p. 945. ubi ellipsin in *οὐ μὴ*, quæ nulla est, sic supplet: *οὐ κοπτέον οὕτω, μὴ διατρίψῃς, non ita pulsandum, ne confringas.* Scilicet juxta facetos illos interpretes, verebatur Xanthias, ne pultando herus Plutonis foribus assulatim exitium afferret. Sed nondum pultaverat Bacchus: immo nescius quinam apud Inferos pultandi mos esset, servum ridicule percontatus est quomodo pultare deberet: cui nugarum et moræ impatiens Xanthias respondet: *οὐ μὴ διατρίψεις—ne tempus teras, sed aggredere januam.* Nusquam vidi *διατρίβειν* absolute, nec magis *διατρίβειν θύραν* positum pro *januam confringere.* Sed *διατρίβειν* absolute significat *morari, cunctari*, idem quod *στραγγεύεσθαι, κυπτάζειν*, quorum verborum alterutro bene hic poëta usus fuisset, si per metrum licuisset. Nub. 131. *τί ταῦτ' ἔχων στραγγεύομαι;* ibid. 509.

χωρεῖν. τί κυπτάζεις ἔχων περὶ τὴν θύραν;

ubi schol. *τὸ δὲ κυπτάζεις, στραγγεύῃ, διατρίβεις.* An etiam Strepsiades Socratis januam *confringere* cogitabat? Sed putidum esset hujus verbi explicationi diutius immorari—Elegans est locutio *γεῦσαι τῆς θύρας*, quam docte illustravit Kusterus. Sic etiam Latini *gustare*, adhibent pro *experiri, periculum facere.* Plaut. Mostell. v. 1. 15.

Herus meus hic quidem est; gustare
ejus sermonem volo.

Sequentis versus sensum male etiam reddiderat Berglerus.

464. *παῖ, παῖ.* Hæc dicens pultare tandem incipit Bacchus.

καὶ μιαρὲ, καὶ παμμίαρε, καὶ μιαρώτατε,
ὃς τὸν κύν' ἡμῶν ἐξελάσας τὸν Κέρβερον
ἀπῇξας ἄγχων, κἀποδρὰς ᾤχου λαβὼν,
ὃν ἐγὼ 'φύλαττον. ἀλλὰ νῦν ἔχει μέσος·
τοία Στυγός σε μελανοκάρδιος πέτρα,
'Αχερόντιός τε σκόπελος αἱματοσταγὴς
φρουροῦσι, Κωκυτοῦ τε περίδρομοι κύνες,
'Εχιδνά θ' ἑκατογκέφαλος, ἣ τὰ σπλάγχνα σου
διασπαράξει, πλευμόνων τ' ἀνθάψεται
Ταρτησία μύραινα· τὼ νεφρὼ δέ σου
αὐτοῖσιν ἐντέροισιν ᾑματωμένω
διασπάσονται Γοργόνες Τιθράσιαι,
ἐφ' ἃς ἐγὼ δρομαῖον ὁρμήσω πόδα.

Ξα. οὗτος, τί δέδρακας;

Δι. ἐγκέχοδα. κάλει θεόν.

Ξα. ὦ καταγέλαστ', οὔκουν ἀναστήσει ταχὺ,
πρίν τινά σ' ἰδεῖν ἀλλότριον;

Δι. ἀλλ' ὡρακιῶ.
ἀλλ' οἶσε πρὸς τὴν καρδίαν μου σπογγιάν.

473. 'Εχιδνά θ' ἑκατογκέφαλος. Sic iv. codd. recte. Versum trucidat vulgatum ἑκατοντακέφαλος. Labem non senserunt editores, qui mediam in 'Εχιδνὰ corripiebant contra prosodiæ legem. Nub. 336.

πλοκάμους θ' ἑκατογκεφάλα Τυφῶ,
πρημαινούσας τε θυέλλας.

Eurip. Herc. Fur. 1190.

μαινομένῳ πιτύλῳ
πλαγχθεὶς, ἑκατογκεφάλου βαφαῖς ὕδρας.

474. πλευμόνων. Sic bene Aldus, e dialecti et Comici usu. Vide not. ad Lys. 367. Atticismum una constantem litera sæpe obliterarunt librarii, quorum inconstantia scrupulum injicere non debet, quum aliunde constet de idiotismo. Vide Interpretes ad Mœrin hac voce. πλεύμων ubique apud Comicum scribendum. Hic iv. codd. in vulgari forma πνευμόνων conspirant. Vide Eustathium laudatum infra ad v. 712.

479. κάλει θεόν. Variæ hujus formulæ prostant in scholiis interpretationes. Probabilior mihi videtur ea, quæ statuit alludi ad Sacrificiorum ritum, in quibus postquam libatum fuerat, acclamari solebat κάλει θεόν. Comice his verbis significat Bacchus se ventris omnem proluviem effudisse.

481. ὡρακιῶ. Mœris: ὡρακιᾷν, 'Αττικῶς. λειποψυχεῖν, 'Ελληνικῶς. Confer duas Hesychii glossas. In Pace 702. Cratinus ἀπέθανεν ὡρακιάσας.

482. σπογγιάν. Scripserat forte Comicus σφογγιὰν ex idiotismo Atticæ dialecti, quem hic in nullo meorum codd. observatum reperi. Sed Acharn. 463. ubi vulgo legitur δός μοι χυτρίδιον σπογγίῳ βεβυσμένον. Edidi ad trium codd. fidem σφογγίῳ.

Ξα. ἰδοὺ λαβέ.
Δι. πρόσθου.
Ξα. ποῦ 'στιν; ὦ χρυσοῖ θεοὶ,
ἐνταῦθ' ἔχεις τὴν καρδίαν;
Δι. δείσασα γὰρ
εἰς τὴν κάτω μου κοιλίαν καθείρπυσεν.
Ξα. ὦ δειλότατε θεῶν σὺ κἀνθρώπων.
Δι. ἐγώ;
πῶς δειλὸς, ὅστις σπογγιὰν ᾔτησά σε;
οὐκ ἂν ἕτερος ταῦτ' εἰργάσατ' ἀνήρ.
Ξα. ἀλλὰ τί;
Δι. κατέκειτ' ἂν ὀσφραινόμενος, εἴπερ δειλὸς ἦν·
ἐγὼ δ' ἀνέστην, καὶ προσέτ' ἀπεψησάμην.
Ξα. ἀνδρεῖά γ', ὦ Πόσειδον.
Δι. οἶμαι, νὴ Δία.
σὺ δ' οὐκ ἔδεισας τὸν ψόφον τῶν ῥημάτων,
καὶ τὰς ἀπειλάς;
Ξα. οὐ μὰ Δί', οὐδ' ἐφρόντισα.
Δι. ἴθι νυν, ἐπειδὴ ληματιᾷς, κἀνδρεῖος εἶ,
σὺ μὲν γενοῦ 'γὼ, τὸ ῥόπαλον τουτὶ λαβὼν
καὶ τὴν λεοντῆν, εἴπερ ἀφοβόσπλαγχνος εἶ·
ἐγὼ δ' ἔσομαί σοι σκευοφόρος ἐν τῷ μέρει.

483. *πρόσθου.* Hoc verbum codd. omnes Baccho tribuunt, recte. Istud dicens famuli manum spongiam tenentem arripit, sibique ad culum adducit. Sed nescio an in forma verbi, peccatum a librariis non sit. Xanthias hoc si diceret, bonum esset *πρόσθου*, *admove tibi*. Quum autem sit Bacchi, dicere debuisse videtur forma activa *πρόσθες*. Sequentia famuli verba, *ἐνταῦθ' ἔχεις τὴν καρδίαν*, declarant veteres magistri, *ἔνθα τὴν χεῖρά μου προσήγαγες, ἤγουν περὶ τὸν πρωκτόν.*

483. *ποῦ 'στιν;* Hæc verba perperam vulgo Baccho continuantur. Manifestum est ea Xanthiæ adscribi debere, cui tribuuntur in iv. codd. Glossa in C. *ποῦ 'στιν ἡ καρδία σου: ὦ χρυσοῖ θεοὶ, ἐνταῦθ' ἔχεις τὴν καρδίαν, ἔνθα μου τὴν χεῖρα προσήγαγες;*

488. *οὐκ ἂν ἕτερος ταῦτ' εἰργάσατ' ἀνήρ.* Bene vertit Bergierus: *nemo sane alius hoc fecisset.* Sed non erat hoc in Græcis, ubi legebatur *οὔκουν ἕτερος.* Particulam *ἂν* omnino requirit sententia et norma loquendi: eam sæpe jam a librariis omissam vidimus, ut supra 81. Lys. 301. Thesm. 593. A vero longius abest lectio in C. *οὐ δειλότερος ταῦτ' εἰργάσατ' ἀνήρ.*

490. *ἀπεψησάμην.* Glossa *ἀπεσπογγισάμην.*

Ξα. φέρε δὴ ταχέως αὔτ᾽· οὐ γὰρ ἀλλὰ πειστέον·
καὶ βλέψον εἰς τὸν Ἡρακλειοξανθίαν,
εἰ δειλὸς ἔσομαι, καὶ κατὰ σὲ τὸ λῆμ᾽ ἔχων.
Δι. μὰ Δί᾽, ἀλλ᾽ ἀληθῶς οὐκ Μελίτης μαστιγίας.
φέρε νυν, ἐγὼ τὰ στρώματ᾽ αἴρωμαι ταδί.
Θε. ὦ φίλταθ᾽ ἥκεις Ἡράκλεις; δεῦρ᾽ εἴσιθι.
ἡ γὰρ θεός, σ᾽ ὡς ἐπύθεθ᾽ ἥκοντ᾽, εὐθέως
ἔπεττεν ἄρτους· ἧψε κατερικτῶν χύτρας
ἔτνους δύ᾽ ἢ τρεῖς· βοῦν ἀπηνθράκιζ᾽ ὅλον·
πλακοῦντας ὤπτα, κολλάβους. ἀλλ᾽ εἴσιθι.
Ξα. κάλλιστ᾽, ἐπαινῶ.
Θε. μὰ τὸν Ἀπόλλω, οὐ μή σ᾽ ἐγὼ
περιόψομαι ἀπελθόντ᾽· ἐπεί τοι καὶ κρέα
ἀνέβραττεν ὀρνίθεια, καὶ τραγήματα
ἔφρυγε, κῷνον ἀνεκεράννυ γλυκύτατον.
ἀλλ᾽ εἴσιθ᾽ ἅμ᾽ ἐμοί.
Ξα. πάνυ καλῶς.
Θε. ληρεῖς ἔχων.

501. Pagus erat Atticæ Melite dictus, de quo videndus Meursius.

502. αἴρωμαι. Sic tres codd. ut editt. primariæ, unde in novissimam Batavam revocatum fuit. Perperam in reliquis, quibuscum consentit C. αἴρομαι, quod mendosum esse jam declaravit Dawesius.

Cod. hic quoque αἴρωμαι.

508. κάλλιστ᾽, ἐπαινῶ, πάνυ καλῶς, sunt blande recusandi formulæ, *quibus oblato beneficio non utentes, gratias agunt.* Verba sunt Casauboni Lect. Theocr. cap. xvi. initio. Simile est illud Plauti in Men. ii. 3. 36. ubi ancillæ dicenti: *Eamus intro, ut prandeamus:* Respondet Sosicles: *Bene vocas; tum gratia est.* Ad quem locum vide interpretes.

513. ληρεῖς ἔχων. σὺ γάρ σ᾽ ἀφήσω. Hæc verba, quæ absurde Baccho tributa sunt, monente in excerptis Scaligero, Ancillæ adscripsi. Invitatus primo Xanthias lepide recusat his verbis κάλλιστ᾽, ἐπαινῶ. Instat ancilla: *Ita me Apollo amet, ut ego te nunquam sinam abire, quandoquidem* etc. Abnuit iterum Xanthias alia formula πάνυ καλῶς. Potestne Bacchus servo nolenti ingredi et usque recusanti dicere? *Fatuus es, non enim te amittam.* Hoc dicit ancilla, quod secundæ recusationi Xanthiæ congruit, ut superiora illa primæ: οὐ μή σ᾽ ἐγὼ περιόψομ᾽ ἀπελθόντ᾽· ἐπείτοι καὶ—et οὐ γάρ σ᾽ ἀφήσω· καὶ γὰρ αὐλητρίς—In A. et B. eadem est quæ vulgo personarum distinctio. In meo ante ληρεῖς ἔχων persona est Bacchi, ante καὶ γὰρ Xanthiæ. In C. ante ληρεῖς ἔχων persona est Bacchi, cui omnia continuantur usque ad ὀρχηστρίδες ἡβυλλιῶσαι, quibus verbis præfixa est persona Ancillæ. Quis de his diversitatibus certior factus animum non inducat, editorem qui sciat quid quamque personam deceat, ad fabulæ œconomiam et scenæ actionem loquendi vices sæpe melius dividere posse, quam

οὐ γάρ σ' ἀφήσω· καὶ γὰρ αὐλητρίς γέ σοι
μί' ἔνδον ἔσθ' ὡραιοτάτη, κᾦρχηστρίδες
ἕτεραι δύ' ἢ τρεῖς - - -

Ξα. πῶς λέγεις; ὀρχηστρίδες;

Θε. ἡβυλλιῶσαι, κἄρτι παρατετιλμέναι.
ἀλλ' εἴσιθ', ὡς ὁ μάγειρος ἤδη τὰ τεμάχη
ἤμελλ' ἀφαιρεῖν, χ' ἡ τράπεζ' εἰσῄρετο.

Ξα. ἴθι νυν, φράσον πρώτιστα ταῖς ὀρχηστρίσι
ταῖς ἔνδον οὔσαις, αὐτὸς ὡς εἰσέρχομαι.
ὁ παῖς, ἀκολούθει δεῦρο, τὰ σκεύη φέρων.

Δι. ἐπίσχες οὗτος. οὔ τι πού σπουδὴν ποιεῖς,

a librariis harum rerum prorsus imperitis factum est?

In C. A. Dukeri notis a Burmanno editis, quas nunc primum post impressas meas inspicio, video virum illum doctissimum censuisse etiam verba λῃρεῖς ἔχων. οὐ γάρ σ' ἀφήσω. non Baccho, sed Ancillæ tribuenda esse. At falli eum credo, quum ait sic in aliis esse edita. Quod ex ipsa sententia elicuit Scaliger, credidit ille ex alia quapiam editione esse petitum. In errore, quem corrigimus, consentiunt quas inspeximus omnes. In præcedente nota ad v. 508. putabat metrum laborare, quia non meminerat ω ου poëtas Atticós in unam syllabam contrahere solere, quod observavi ad Lys. 273. Vide Thesm. 717. Soph. Antig. 458. Œd. Tyr. 332. Œd. Col. 939.

ἐγὼ οὔτ' ἄνανδρον τήνδε τὴν πόλιν λέγων.

Exempla passim obvia. In nota ad v. 991. Μιλιτίδαι καθῆντο. Kustero et Bentleio obloquitur, copulam apud Comicum retinendam esse statuens, et apud Suidam reponendam: secundam enim in Μίλιτος corripi, quia derivatur hoc nomen a μέλι, cujus utraque syllaba brevis est. Sed nugas agit. πόλις utramque syllabam corripit: tamen in πολίτης media semper producitur, itidemque in πολιτεύομαι secunda. De quantitate nominis Μίλιτος constat exemplis: vide fragm. Gerytadæ ix. Quod autem censet Suidæ præferendam esse lectionem κάθηνται, id manifesta loci refellit sententia. τέως ibi significat πρὸ τοῦ, πρότερον, antea, et opponitur adverbio νῦν, quod est v. 980. Proinde, ut dixi, verbum non potest esse temporis præsentis.

514. μί' ἔνδον ἔσθ'. Codd. ut impressi, ἥδ' ἔνδον ἔσθ', quod absurdum est, adeo ut istud ἥδ', hæcce, omiserint in versione interpretes. Certissima, ni fallor, conjectura veram poëtæ manum restitui: αὐλητρὶς μία, καὶ ὀρχηστρίδες δύο ἢ τρεῖς.

522. οὔ τι που. Vulgo οὔτοι που pessumdato metro, quod nemo non emendare potuisset. Tamen juxta vulgatam scripturam hunc versum profert auctor Doctrinæ Particularum loco ad v. 462. laudato: sed non longe infra, p. 998, ubi de οὔ τι που agit, a Devario monitus vitium agnoscit. οὔ τοι που ne quidem græcum est. In interrogatione adhibentur plerumque istæ particulæ, quæ valent *num*. Lysistr. 354.

τί βδύλλεθ' ἡμᾶς; οὔ τι που πολλαὶ δοκοῦμεν εἶναι;

Conc. 329.

οὔ τι που
Κινησίας σου κατατετίληκέν ποθεν;

ibid. 372.

ὁτιή σε παίζων Ἡρακλέα γ' ἐσκεύασα;
οὐ μὴ φλυαρήσεις ἔχων, ὦ Ξανθία,
ἀλλ' ἀράμενός γ' οἴσεις πάλιν τὰ στρώματα.
Ξα. τί δ' ἔστιν; οὐ δήπου μ' ἀφελέσθαι διανοεῖ
ἃ 'δωκας αὐτός.
Δι. οὐ τάχ', ἀλλ' ἤδη ποιῶ.
κατάθου τὸ δέρμα.
Ξα. ταῦτ' ἐγὼ μαρτύρομαι
καὶ τοῖς θεοῖσιν ἐπιτρέπω.
Δι. ποίοις θεοῖς;
τὸ δὲ προσδοκῆσαί σ' οὐκ ἀνόητον καὶ κενὸν,
ὡς δοῦλος ὢν καὶ θνητὸς, Ἀλκμήνης ἔσει;
Ξα. ἀμέλει, καλῶς· ἔχ' αὔτ'. ἴσως γάρτοι ποτὲ
ἐμοῦ δεηθείης ἂν, εἰ θεὸς θέλοι.
Χο. ταῦτα μὲν πρὸς ἀνδρός ἐστι νοῦν ἔχοντος καὶ φρένας,
καὶ πολλὰ περιπεπλευκότος,
μετακυλινδεῖν αὑτὸν αἰεὶ
πρὸς τὸν εὖ πράττοντα μᾶλλον τοῖχον, ἢ γεγραμμένην

οὗτος, τί ποιεῖς; οὔ τι που χέζεις; Vide ad Nub. 1260. Hic in tribus codd. scriptum perspicue οὔ τι που, quod reperisset etiam Kusterus in editt. Aldi et Bernardi Juntæ, si eas consuluisset. Typothetæ, ut videtur, errore excusum in editione Phil. Juntæ οὔ τοι που, unde in ceteras transiit menda, cujus immunis non est meus codex, ex frequenti permutatione vocularum τι, τοι, τι, quæ observata fuit ad Thesm. 21. In Excerptis Scaligeri οὗτος, οὔτις που—operarum errore manifesto pro οὔ τι που.

524. οὐ μὴ φλυαρήσεις ἔχων. Sic bene vulgo legitur in impressis omnibus. Sic etiam scriptum in B. C. Perperam in A. D. φλυαρήσης.

525. ἀλλ' ἀράμενός γ' οἴσεις. In C. D. ἀράμενος οἴσεις, omissa particula, quæ ad sensum minime necessaria est, quaque tanquam fulcro metrum non indiget. Nam in ἀράμενος prima longa est. Eam sane abesse mallem.

531. Ἀλκμήνης ἔσει. Hic, ut modo supra, particulam γε insertam exhibent membranæ, Ἀλκμήνης γ' ἔσει: tam bene uno in loco, quam in altero.

533. εἰ θεὸς θέλοι. Male in C. θέλει. Vide not. ad Plut. 1037.

534. Qui sequuntur septem versus perperam vulgo in decem digesti sunt. Sunt in hac strophe, uti in antistrophe, quæ v. 590. incipit, omnes trochaici, excepto secundo, qui iambicus est.

536. In membran. μετακυλινδεῖν γ' αὐτόν. Inutilem particulam non agnoscunt ceteri.

537. τὸν εὖ πράττοντα μᾶλλον τοῖχον. Hoc ordine collocatæ voces in membr. Vulgo τοῖχον μᾶλλον. Adumbratum hoc, teste Scholiaste, ex Euripidis Alcmena:

εἰκόν' ἑστάναι, λαβόνθ' ἓν σχῆμα· τὸ δὲ μεταςρέφειν
πρὸς τὸ μαλθακώτερον,
δεξιοῦ πρὸς ἀνδρός ἐστι, καὶ φύσει Θηραμένους.
Δι. οὐ γὰρ ἂν γέλοιον ἦν, εἰ Ξανθίας μὲν δοῦλος ὢν,
ἐν στρώμασιν Μιλησίοις
ἀνατετραμμένος, φιλῶν ὀρ-
χηστρίδ', εἶτ' ᾔτησεν ἀμίδ', ἐγὼ δὲ πρὸς τοῦτον βλέπων

οὐ γάρ ποτ' εἴων Σθένελον εἰς τὸν εὐ-
τυχῆ
χωροῦντα τοῖχον, τῆς δίκης σ' ἀποστε-
ρεῖν.

Proverbium est πρὸς τὸν εὖ πράττοντα τοῖχον ῥέπειν, a navigantibus translatum, qui, siquando navis alterum latus fluctu deprimatur, in alterum transcurrunt quod altius eminet.

538. τὸ δὲ μεταστρέφειν. Sic bene A. C. In hoc glossa μεταστρέφεσθαι, quæ ab aliis librariis in textum invecta, occasionem dedit versuum divisioni, quæ vulgo recepta est, eademque pessima, ut ex antistrophe apparebit μεταστρέφειν neutraliter positum pro μεταστρέφειν ἑαυτὸν, elegans est.

540. Notissimus in illius temporis historia Theramenes, unus e xxx. Tyrannis qui Cothurnus appellatus fuit. De eo videndus Xenophon.

541. Aliud systema octo versuum, qui perperam vulgo in decem distributi sunt. Vulgo sic leguntur hic et versus 543.

οὐ γὰρ δὴ γέλοιον ἦν, εἰ Ξανθίας μὲν
δοῦλος ὢν,
— — — — —
ἀνατετραμμένος, κινῶν ὀρ—

Primus versus tetrameter est trochaicus, aut esse debet, ut pari suo congruat versui scilicet 597. sed primo pede turpiter claudicat. Præterea manifestum loci sensum non reddunt verba: *Annon ridiculum erat*... immo *annon ridiculum esset*, ut ex vi sententiæ vertimus. Deest itaque hic particula ἂν, quam linguæ indoles abesse non patitur. Jam videamus, quid sit in optimis vetustissimisque codicibus, quos rursus adii, postquam mihi in oculos incurrerunt istæ mendæ. In cod. liquido scriptum οὐ γὰρ ἂν γέλοιον ἦν; In membr. et in C. οὐ γὰρ γέλοιον ἦν, omisso illo δὴ, quod habent duo alii, sed ab imperito correctore insertum, qui versus syllabarum numero, non potestate metiebatur. A poëta est ἂν, quod jam sæpius librariis omissum observavimus. Tertius versus dimeter est, aut saltem esse debet, trochaicus: sed tertio pede claudicat, qui pro trochæo spondeus est. Quod vulgo legitur κινῶν, id affirmo, glossema esse olim superscriptum ad declarandam vim et notionem genuinæ vocis φιλῶν. Quum enim sciret Grammaticus φιλεῖν tria significare, *amare, osculari* et *futuere*, postrema significatione hic positum esse indicare voluit. Deinde, quod cum bona illorum venia dictum sit, qui, quomodo id fieri potuerit, non intelligunt, (vide not. ad 874.) glossa in genuinæ vocis locum se intrusit. Hoc, si quid est certi certissimum est. Ne quis autem arbitretur aliquid me novi huc adferre, Kusteri observationem subjungam iisdem quibus legitur verbis in copioso et utili indice verborum, quo editionem suam locupletavit: ΦΙΛΕΙΝ *honeste dicitur pro* CONCUMBERE: *pari ratione ac Gallis*, BAISER UNE FILLE. Cujus rei in exemplum citat versum Conc. 910.

τοῦ 'ρεβίνθου 'δραττόμην· οὗ-
τος δ', ἅτ' ὢν αὐτὸς πανοῦργος,
εἶδε, κᾆτ' ἐκ τῆς γνάθου
πὺξ πατάξας μου 'ξέκοψε τοὺς χοροὺς τοὺς προσθίους;

Πα. α'. Πλαθάνη, Πλαθάνη, δεῦρ' ἔλθ', ὁ πανοῦργος οὑτοσὶ,
ὃς, εἰς τὸ πανδοκεῖον εἰσελθών ποτε,
ἑκκαίδεκ' ἄρτους κατέφαγεν ἡμῶν.

Πα. β'. νὴ Δία,
ἐκεῖνος αὐτὸς δῆτα.

Ξα. κακὸν ἥκει τινί.

Πα. α'. καὶ κρέα γε πρὸς τούτοισιν ἀνάβραστ' εἴκοσιν
ἀν' ἡμιωβολιαῖα.

Ξα. δώσει τις δίκην.

Πα. α'. καὶ τὰ σκόροδα τὰ πολλά.

Δι. ληρεῖς, ὦ γύναι,
κοὐκ οἶσθ' ὅ τι λέγεις.

Πα. α'. οὐμενοῦν με προσεδόκας,
ὁτιὴ κοθόρνους εἶχες, ἀναγνῶναί σ' ἔτι;

Πα. β'. τί δαί; τὸ πολὺ τάριχος οὐχ εἴρηκά πω·
μὰ Δί', οὐδὲ τὸν τυρόν γε τὸν χλωρὸν, τάλαν,
ὃν αὐτὸς αὐτοῖς τοῖς ταλάροις κατήσθιε.

548. μου 'ξέκοψε. Sic in cod. meo scriptum per θλίψιν. In aliis, ut in impressis, crasis est μοὐξέκοψε, quod accipi etiam potuit pro μοι ἐξέκοψε. Vide ad Thesm. 158. In C. μ' ἐξέκοψε, alia constructione, nempe πατάξας με, ἐξέκοψε.

551. νὴ Δία. Persona vulgo est Πλαθάνη. In meo cod. ἑτέρα πανδοκεύτρια. Sic etiam B. C. In membr. hic Πλαθάνη. At v. 558. præfixum ἄλλη πανδοκεύτρια: et v. 556. ante οὐμενοῦν præfixum πανδοκεύτρια.

554. ἀν' ἡμιωβολιαῖα. Sic distincte in meo codice scriptum. Alii perperam conjunctim ἀνημιωβολιαῖα, librariorum imperitia. Glossa illis antiquior ad sinceram scripturam refertur in C. ἄξιον ἡμίσεος ὀβολοῦ ἓν ἕκαστον. Verum viderat Kusterus.

559. Alteri cauponæ versus hic tributus in cod. meo et in B. In membr. et in C. eidem continuatur cui superior adscriptus.

560. ὃν αὐτὸς αὐτοῖς τοῖς ταλάροις κατήσθιε. Elegans lectio, quam e membr. restitui, in quibus scriptum ὃν αὐτὸς αὐτοῖς ταλάροις—omisso articulo, quem ad metri et sermonis normam inserui. Correctionem istam tam certam quam facilem confirmavit postmodum Regius C. in quo perspicue scriptum, ὃν οὗτος

κᾆπειτ', ἐπειδὴ τἀργύριον ἐπραττόμην,
ἔβλεψεν εἰς ἐμὲ δριμὺ, κἀμυκᾶτό γε.
Ξα. τούτου πάνυ τοὔργον· οὗτος ὁ τρόπος πανταχοῦ.
Πα. β'. καὶ τὸ ξίφος γ' ἐσπᾶτο, μαίνεσθαι δοκῶν.
Πα. α'. νὴ Δία, τάλαινα.
Πα. β'. νὼ δὲ δείσασαί γέ πω
ἐπὶ τὴν κατήλιφ' εὐθὺς ἀνεπηδήσαμεν·
ὁ δ' ᾤχετ' ἐξᾴξας γε, τὰς ψιάθους λαβών.
Ξα. καὶ τοῦτο τούτου τοὔργον. ἀλλ' ἐχρῆν τι δρᾷν.
Πα. α'. ἴθι δὴ κάλεσον τὸν προστάτην Κλέωνά μοι.

αὐτοῖς τοῖς ταλάροις κατήσθιεν. Inter voces *οὗτος* et *αὐτοῖς* superscripta glossa *σύν*: voci *ταλάροις* superscripta glossa: *καλαθίσκοις. λέγει δὲ τὰ λεγόμενα ἰδιωτικῶς τυροβόλια.* Hæc scribens primum animadverto eandem lectionem e Vat. cod. a Kustero enotatam fuisse, quam non indicare tantum, sed recipere debuerat. Fuit etiam ea olim in codice e quo meus derivatus. In hoc scriptum pessumdato metro, *ὃν οὗτος σὺν τοῖς ταλάροις κατήσθιε.* Vides adverbium *σὺν* e glossa in textum transiisse, et genuinam vocem *αὐτοῖς* sede sua ejecisse. In B. *ὅνπερ σὺν αὐτοῖς τοῖς ταλάροις*, quæ lectio in novissimis editt. emendate repræsentata; nam in prioribus variis mendarum accessionibus deprevata est. Mirare vero cum librariorum stuporem, tum glossatorum ineptam diligentiam. His quid opus erat observare suppressionem adverbii *σὺν*, tanquam si rarius quid esset? Nihil apud quosvis scriptores hac ellipsi frequentius, cujus exempla congerere putidum esset.

Cod. *ὃν οὗτος αὐτοῖς ταλάροις κατήσθιε*, absorpto a præcedenti syllaba articulo.

562. *κἀμυκᾶτό γε.* Cod. *κἀπειμυκᾶτό γε.* Gl. ut in meo *ἐπιβριμήσατο.* Compositum illud an alibi occurrat, nescio: hic per metri legem locum non habet, quum prima in *μυκῶμαι* producatur.

565. *νὴ Δία, τάλαινα.* Verba hæc, quæ cauponæ vulgo continuantur, tres codd. e quibus textum constitui, Xanthiæ tribuunt, A. B. D. In iisdem quæ sequuntur *νὼ δὲ* cauponæ adscripta sunt. In C. ante *νὴ Δία* persona est Xanthiæ: sed eidem sequentia continuantur usque ad v. 568. cui præfixa persona Bacchi. Manifesta hujus distinctionis absurditas, quæ ostendit aliquid jam olim hic turbatum fuisse. Verba *νὴ Δία τάλαινα* non ejusdem personæ sunt, cujus præcedens versus. Confer supra v. 552. Sed in Xanthiæ partes minime transferri debuerunt: sunt alterius cauponæ, cui ea reddidi.

νὴ Δία, τάλαινα. Hæc etiam in cod. Xanthiæ tribuuntur: quæ sequuntur in eodem versu, cauponæ.

566. *κατήλιφα.* Glossa *κλίμακα.*

568. Integrum hunc versum Xanthiæ tribuunt iv. codd. cum vett. editt. recte. In recentioribus verba *ἀλλ' ἐχρῆν τι δρᾷν* *Plathanæ*, seu alteri cauponæ, adscripta sunt. Superscripta in codd. glossa sic phrasin supplet: *ἐχρῆν ὑμᾶς τι δρᾷν περὶ αὐτόν.* Sensus est: *Quid vero in pedes vos conjiciebatis? immo oportebat vos aliquid facere, quo pœnas ab eo sumeretis.*

569. Cleon et Hyperbolus e vivis excesserant, quando acta hæc fabula. Hos facete Comicus cauponarum patronos apud Inferos facit.

Πα. β'. σὺ δ' ἔμοιγ', ἐάνπερ ἐπιτύχῃς, Ὑπέρβολον,
ἵν' αὐτὸν ἐπιτρίψωμεν.
Πα. α'. ὦ μιαρὰ φάρυγξ,
ὡς ἡδέως ἄν σου λίθῳ τοὺς γομφίους
κόπτοιμ' ἄν, οἷς μου κατέφαγες τὰ φορτία.
Πα. β'. ἐγὼ δέ γ' ἐς τὸ βάραθρον ἐμβάλοιμί σε.
Πα. α'. ἐγὼ δὲ τὸν λάρυγγ' ἂν ἐκτέμοιμί σου,
δρέπανον λαβοῦσ', ᾧ τοὺς κόλικας κατέσπασας.
ἀλλ' εἶμ' ἐπὶ τὸν Κλέων', ὃς αὐτοῦ τήμερον
ἐκπηνιεῖται ταῦτα προσκαλούμενος.
Δι. κάκιστ' ἀπολοίμην, Ξανθίαν εἰ μὴ φιλῶ.
Ξα. οἶδ', οἶδα τὸν νοῦν· παῦε, παῦε τοῦ λόγου.
οὐκ ἂν γενοίμην Ἡρακλῆς ἄν.
Δι. μηδαμῶς,
ὦ Ξανθίδιον.
Ξα. καὶ πῶς ἂν Ἀλκμήνης ἐγὼ
υἱὸς γενοίμην, δοῦλος ἅμα καὶ θνητὸς ὤν;
Δι. οἶδ', οἶδ' ὅτι θυμοῖ, καὶ δικαίως αὐτὸ δρᾷς·

570. Manifestum est ex ipsis verbis hunc versum ab eadem persona proferri non debuisse, cujus est præcedens. Licet in tribus codd. A. B. D. priori personæ continuatus sit, ut in impressis, tamen alterius cauponæ personam præposui: ipsamque postmodum hanc distinctionem in C. observatam reperi. Prodierant in scenam cauponæ comitem unaquæque ancillam habens; utraque ancillam suam jubet patronum suum arcessere.

574. ἐς τὸ β. Vulgo εἰς. In B. D. ἐγὼ δ' ἐς τὸ, claudicante versu. In C. ἐγὼ δ' εἰς τὸ—Bene membr. ἐγὼ δέ γ' εἰς τὸ B. Sed Atticum ἐς præferri debebat. Βάραθρον sic dictus erat Athenis locus alte effossus, in quem facinorosos morti damnatos præcipitabant, qui et ὄρυγμα nuncupabatur. Vide Meursium Att. Lect. i. 25.

578. ἐκπηνιεῖται. Duplex hoc loco ferebatur olim lectio. Hanc solam exhibent codd. alterius meminere vett. critici. Scholion e cod. C. proponam. τὸ ἐκποινιεῖται ἢ διὰ τοῦ ο καὶ ι γράφεται ἀντὶ τοῦ μετὰ τιμωρίας ἀπαιτήσει. ἢ διὰ τοῦ η, ἵν' ᾖ ἀντὶ τοῦ ἐξάξει. ἐπειδὴ καὶ τὴν μέταξαν κατ' ἀρχὰς ἐκ τοῦ σκώληκος ἐξάγομεν κατὰ μικρόν. πήνη δὲ ἡ μέταξα. Glossa in meo ἐξελκύσει.

Cod. perspicue ἐκποινιεῖται. Diphthongo οι superscriptum η, alterius lectionis index. Glossa, μετὰ τιμωρίας λάβοι. Idem in marg. scholion, quod jam edidi.

584. ὅτι θυμοῖ. Sic ad linguæ normam scribi debuit, siquidem secunda persona est verbi θυμόομαι. Barbarum est vulgatum θυμεῖ, quod tamen, vel obliterata forma Attica θυμῇ, obtulerant mihi tres codd. Demum in C. recte scriptum reperi θυμοῖ. Quibus alterum debetur librarii ne conjugationum quidem canonas sciebant. Ex eadem grammaticæ legis ignoratione,

κἂν εἴ γε τύπτοις μ', οὐκ ἂν ἀντείποιμί σοι.
ἀλλ' ἤν σε τοῦ λοιποῦ ποτ' ἀφέλωμαι χρόνου,
πρόῤῥιζος αὐτὸς, ἡ γυνὴ, τὰ παιδία,
κάκιστ' ἀπολοίμην, κἀρχέδημος ὁ γλάμων.

Ξα. δέχομαι τὸν ὅρκον, κἀπὶ τούτοις λαμβάνω.

Χο. νῦν σὸν ἔργον ἔστ', ἐπειδὴ τὴν στολὴν εἴληφας, ἣν
εἶχες σύ γ' ἐξαρχῆς, πάλιν,
ἀνανεάζειν σαυτὸν αἰεὶ,
καὶ βλέπειν αὖθις τὸ δεινὸν, τοῦ θεοῦ μεμνημένον,
ᾧπερ εἰκάζεις ἑαυτόν· ἢν δὲ παραληρῶν ἁλῷς,
καὶ βάλῃς τι μαλθακὸν,
αὖθις αἴρεσθαί σ' ἀνάγκη τις πάλιν τὰ στρώματα.

Ξα. οὐ κακῶς, ὦνδρες, παραινεῖτ'· ἀλλὰ καὐτὸς τυγχάνω
ταῦτ' ἄρτι συννοούμενος.
ὅτι μὲν οὖν, ἢν χρηστὸν ᾖ τι,
ταῦτ' ἀφαιρεῖσθαι πάλιν πειράσεταί μ', εὖ οἶδ' ὅτι·

legitur in scholiis ad Plutum δηλῇ pro δηλοῖ. Vide Hemsterhusium p. 43. et Valckenarium Diatr. Eurip. p. 231.

584. Scriptum in textu θυμῇ. Superne vero a recentiori manu θυμοῖ.

585. κἂν εἴ γε τύπτοις μ'—Sic B. Vulgo κἂν εἴ με τύπτοις. Perperam in C. D. τύπτεις. Eodem errore qui supra notatus in v. 533.

Archedemi illius, cui cognomen fuit Γλάμων, sive ob oculorum vitium, sive alia de causa meminit Lysias in Oratione contra Juniorem Alcibiadem p. 536.

590. Respondent hi versus Strophæ quæ incipit v. 534. In membr. scriptum ἣν εἶχες; vulgo ἥνπερ εἶχες, e scioli interpolatione qui metra perperam digessit. Excidit quidem syllaba, quam suo loco reposui, σύ γ'—ἣν εἶχες σύ γ' ἐξαρχῆς. Sic metra congruunt.

594. ἢν δὲ παραληρῶν ἁλῷς, καὶ βάλῃς τι μαλθακὸν. Sic optime membr. observata sermonis et metri ratione. Solœce vulgo εἰ δὲ παραληρῶν ἁλώσει καὶ βαλῇς τι—Pejus in meo ἁλώσῃ—In C. salva saltem constructionis lege, ἁλώσει καὶ βαλεῖς. Nunquam εἰ cum subjunctivo construitur. Sed longe præstat membr. lectio, quæ alteri genuinæ plane congruit, quam suppeditant illæ etiam in v. 538.

596. αὖθις αἴρεσθαί σ' ἀνάγκη τις πάλιν τὰ στρώματα. Sic codd. B. D. cum vett. editt. In recentioribus versu ruente ἀνάγκη 'στὶ πάλιν. Metri vitium, quod nec Kustero, nec Berglero suboluit, sensit Dawesius, emendavitque ἀνάγκη 'σται πάλιν. Nos veterem lectionem revocamus, quæ bona est. Verbum substantivum eleganter supprimitur. αὖθις ἀνάγκη τις ἔσται αἴρεσθαί σε πάλιν τὰ στρώματα. In C. τις omissum: major lacuna in membr. αὖθις αἴρεσθαί σε πάλιν τὰ στρώματα.

ἀλλ' ὅμως ἐγὼ παρέξω
'μαυτὸν ἀνδρεῖον τὸ λῆμα,
καὶ βλέποντ' ὀρίγανον.
δεῖν δ' ἔοικεν, ὡς ἀκούω τῆς θύρας καὶ δὴ ψόφον.

Αι. ξυνδεῖτε ταχέως τουτονὶ τὸν κυνοκλόπον,
ἵνα δῷ δίκην· ἀνύετον.

Δι. ἥκει τῳ κακόν.

Ξα. οὐκ ἐς κόρακας; μὴ πρόσιτον.

Αι. εἶεν, καὶ μάχει;
ὁ Διτύλας, χὠ Σκεβλίας, χὠ Παρδόκας,
χωρεῖτε δευρὶ, καὶ μάχεσθε τουτῳί.

Δι. εἶτ' οὐχὶ δεινὰ ταῦτα; τύπτειν τουτονὶ,
κλέπτοντα πρὸς τἀλλότρια;

Ξα. μάλ' ὑπερφυᾶ.

Αι. σχέτλια μὲν οὖν καὶ δεινά.

Ξα. καὶ μὴν, νὴ Δία,
εἰ πώποτ' ἦλθον δεῦρ', ἐθέλω τεθνηκέναι,
ἢ 'κλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός.

602. In A. B. D. recte cum elisione scriptum *παρέξω 'μαυτὸν*, quod metri ratio flagitat.

607. *εἶεν, καὶ μάχει*; Sine interrogatione vett. grammatici hæc legerunt. Glossa in codd. *εἶεν ταῦτα ἃ λέγεις καὶ μάχῃ ἡμῖν*. Quibus in verbis nullum sensum video. *εἶεν* valet *ἄγε δή*. Quocirca præstat forte legere *εἶεν, καὶ μάχου*. Vel *εἶεν* accipiendo pro *esto*, quæ alia est hujus interjectionis significatio, *εἶέν γ'· εἰ μάχει, ὁ Διτ*—Postremum hoc magis mihi probatur. In Pace 663. *εἶέν γ', ἀκούω*.

611. *κλέπτοντα πρὸς τἀλλότρια*;—*πρὸς* hic valet *προσέτι, καὶ ταῦτα*. Ordo est: *τύπτειν τουτονὶ, καὶ ταῦτα κλέπτοντα τἀλλότρια*.

Claudicat hic versus in quarto pede, qui pyrrichio constat. Legi possit:

κλέπτοντα προσέτι τἀλλότρια;—μάλ' ὑπερφυᾶ.

Sed quia videmus nihil tam frequens esse apud Comicum, quam *καὶ μάλα*, illudque *καὶ* sæpe a librariis omissum fuisse, quod deprehendimus in v. 745. et 751. hic etiam a poëta scriptum fuisse opinor:

κλέπτοντα πρὸς τἀλλότρια; καὶ μάλ' ὑπερφυᾶ.

Minus est probabile librarium notissimum *προσέτι* in reconditius *πρὸς* mutasse. Futilia sunt, meritoque a nobis omissa, quæ Kusterus de emendatione hujus versus indici suo inseruit in voce *μάλα*.

612. *σχέτλια μὲν οὖν καὶ δεινά.* Ironice hoc dicit Æacus, cui verba hæc tribuunt juxta impressos duo codd. At Baccho adscripta sunt in B. D.

καί σοι ποιήσω πρᾶγμα γενναῖον πάνυ·
βασάνιζε γὰρ τὸν παῖδα τουτονὶ λαβὼν,
κἄν ποτέ μ' ἕλῃς ἀδικοῦντ', ἀπόκτεινόν μ' ἄγων.

Αι. καὶ πῶς βασανίζω;

Ξα. πάντα τρόπον, ἐν κλίμακι
δήσας, κρεμάσας, ὑστριχίδι μαστιγῶν, δέρων,
στρεβλῶν, ἔτι δ' εἰς τὰς ῥῖνας ὄξος ἐγχέων,
πλίνθους ἐπιτιθεὶς, πάντα τἄλλα, πλὴν πράσῳ
μὴ τύπτε τοῦτον, μηδὲ γητείῳ νέῳ.

Αι. δίκαιος ὁ λόγος· κἄν τι πηρώσω γέ σοι
τὸν παῖδα τύπτων, τἀργύριόν σοι κείσεται.

Ξα. μὴ δῆτ' ἔμοιγ'· οὕτω δὲ βασάνιζ' ἀπαγαγών.

Αι. αὐτοῦ μὲν οὖν, ἵνα σοι κατ' ὀφθαλμοὺς λέγῃ.
κατάθου σὺ τὰ σκεύη ταχέως, χὤπως ἐρεῖς
ἐνταῦθα μηδὲν ψεῦδος.

Δι. ἀγορεύω τινὶ
ἐμὲ μὴ βασανίζειν ὄντ' ἀθάνατον· εἰ δὲ μὴ,
αὐτὸς σὺ σαυτὸν αἰτιῶ.

Αι. λέγεις δὲ τί;

Δι. ἀθάνατος εἶναί φημι Διόνυσος Διὸς,

615. *καί σοι ποιήσω πρᾶγμα*—Potestatem pronominis *σοι* recte explicat glossa in C. *χάριν σου.* Vide notam ad Lys. 1277.

618. *καὶ πῶς βασανίζω;* In C. *βασανίσω.* Si futurum tempus adhibuisset, scripsisset *βασανιῶ*, quod perinde admittit metrum.

619. *ὑστριχίδι.* Gl. *ἐξ ὑείων τριχῶν μάστιγι.*

620. *ἔτι δ' εἰς τὰς ῥῖνας ὄξος ἐγχέων.* Sic recte Suidas in *βασανίζειν.* Codd. cum impressis *ἐπί τι τὰς ῥῖνας*—quam lectionem pravam esse ostendit Dawesius.

622. *γητείῳ.* Sic codd. et editt. vett. Perperam in recentioribus *γηθείῳ.* Sinceram scripturam exhibent in Equit. 677. Vesp. 496. 498. Hujus clausulæ sententiam sic exponit Scholiasta: *βασάνιζε πανταχῶς αὐτὸν, μὴ ἐν παιδιᾷ, μηδὲ ὡς τοὺς ἐλευθέρους παῖδας τῷ ἐκκαυλήματι τοῦ πράσου τύπτουσιν, ἢ τῷ γητείῳ.*

624. *τἀργύριόν σοι κείσεται.* Vide Petitum Leg. Att. p. 441.

629. Claudicabat hic versus, quem tamen sic scriptum exhibent libri omnes:

ἐμὲ μὴ βασανίζειν ἀθάνατον ὄντ'· εἰ δὲ
μὴ—

Primam in *ἀθάνατος* producunt ob metri necessitatem Epici poëtæ, quæ licentia ut in senariis inutilis est, ita scenicis nunquam concessa fuit.

τοῦτον δὲ δοῦλον.
Αι. ταῦτ' ἀκούεις;
Ξα. φήμ' ἐγώ·
καὶ πολύ γε μᾶλλόν ἐστι μαστιγωτέος.
εἴπερ θεὸς γάρ ἐστιν, οὐκ αἰσθήσεται.
Δι. τί δῆτ', ἐπειδὴ καὶ σὺ φῂς εἶναι θεὸς,
οὐ καὶ σὺ τύπτει τὰς ἴσας πληγὰς ἐμοί;
Ξα. δίκαιος ὁ λόγος· χὠπότερον ἂν νῷν ἴδῃς
κλαύσαντα πρότερον, ἢ προτιμήσαντά τι
τυπτόμενον, εἶναι τοῦτον ἡγοῦ μὴ θεόν.
Αι. οὐκ ἔσθ' ὅπως οὐκ εἶ σὺ γεννάδας ἀνήρ.
χωρεῖς γὰρ ἐς τὸ δίκαιον. ἀποδύεσθε δή.
Ξα. πῶς οὖν βασανιεῖς νὼ δικαίως;
Αι. ῥᾳδίως.
πληγὴν παρὰ πληγὴν ἑκάτερον.
Ξα. καλῶς λέγεις.
ἰδοὺ, σκόπει νῦν, ἤν μ' ὑποκινήσαντ' ἴδῃς.

638. προτιμήσαντα. Gl. φροντίσαντα, ἢ αἴσθησιν λαβόντα. *Rationem habentem verberum, aut dolentem quum cædetur, ita se moventem, ut sentire verberum dolorem videatur.* Sic enim Attici utuntur verbo προτιμῶ pro κήδομαι, ἐπιστρέφομαι, ἐντρέπομαι, ὑπόλογον ποιοῦμαι, ἐπιμελοῦμαι. Infra 655. quærenti Æaco ἔπειτα προτιμᾷς οὐδὲν; respondet Bacchus, οὐδέν μοι μέλει. Pl. 883. οὐδὲν προτιμῶ σου. Eodem modo cum genitivo apud Demosthenem occurrit p. 80. edit. Reiskii: βούλεται καὶ δαπάνας οὐ μικρὰς δαπανᾷν εἰς τοὺς κατὰ θάλατταν κινδύνους, ὧν οὐδὲν προτιμᾷ. Vide Budæi Commentaria p. 677. et 714. Acharn. 27. εἰρήνη δ' ὅπως ἔσται προτιμῶσ' οὐδέν.

641. χωρεῖς γὰρ ἐς τὸ—Sic duo codd. Vulgo χωρεῖς γὰρ εἰς, quod ingratum quid sonat.

645. ἰδοὺ, σκόπει νῦν, ἤν μ' ὑποκινήσαντ' ἴδῃς. Sic membr. optime, ut Suidas, et cod. Vat. Kustero teste. In B. ut vulgo, σκόπει γ' ἤν με παρακινήσαντ' ἴδῃς. Sic etiam meus, nisi quod particulam γε post σκόπει omittit. In C. Æaco tributum ἰδού. Xanthiæ, σκόπει νῦν ἤν με παρακινήσαντ' ἴδῃς. Eadem distinctio fuisse videtur in vetustissimo codice e quo descriptæ fuerunt membranæ Regiæ. Nam in eis post ἰδοὺ vacuum relictum spatium, quantum satis est personæ nomini, et ante ἰδοὺ est ξ, initium nominis Ξανθίας, quod non absolvit librarius, postquam scripta jam prima litera errorem suum deprehendit; Αἰακὸς scribere debuit. Profecto unice vera est illa distinctio, quam juvat actio scenæ, multo sic lepidior. ἰδοὺ dicit Æacus, elato brachio, et in plagam inflicturi statu.

Ad veram lectionem proxime accedit cod. a nobis in eo tantum discrepans, quod ἀποκινήσαντ' habet: glossa, ἐκτραπέντα τοῦ καθεστηκότος.

Αι. ἤδη 'πάταξά σ'.
Ξα. οὐ μὰ Δί'.
Αι. οὐδ' ἐμοὶ δοκεῖς.
ἀλλ' εἶμ' ἐπὶ τονδὶ καὶ πατάξω.
Δι. πηνίκα;
Αι. καὶ δὴ 'πάταξα.
Δι κᾆτα πῶς οὐκ ἔπταρον;
Αι. οὐκ οἶδα· τουδὶ δ' αὖθις ἀποπειράσομαι.
Ξα. οὔκουν ἀνύσεις; ἰατταταί.
Αι. τί δ' ἰατταταί;
μῶν ὠδυνήθης;
Ξα. οὐ μὰ Δί', ἀλλ' ἐφρόντισα,
ὁπόθ' Ἡράκλεια τὰ 'ν Διομείοις γίγνεται.
Αι. ἄνθρωπος ἱερός. δεῦρο πάλιν βαδιστέον.
Δι. ἰοὺ, ἰού.
Αι. τί ἐστιν;
Δι. ἱππέας ὁρῶ.
Αι. τί δῆτα κλάεις;
Δι. κρομμύων ὀσφραίνομαι.
Αι. ἔπειτα προτιμᾷς οὐδέν;
Δι. οὐδέν μοι μέλει.
Αι. βαδιστέον γ' ἄρ' ἐστὶν ἐπὶ τονδὶ πάλιν.

649. τί δ' ἰατταταί; Sic optime cod. meus. Perperam vulgo τί δὴ ταταί; Exclamaverat Xanthias ἰατταταί. Eundem σχετλιασμὸν repetere debet Æacus In C. ἰατταταί—τί ἰατταταί. Sic etiam in membr. sed sine personæ interpositione, correcto ad marginem errore per diversam lectionem, sic: Αἰακός. τί ἀτταταί.

651. Vide Meursium de Pop. Att. in Διόμεια.

653. ἱππέας ὁρῶ. Sic recte in membr. et in C. omissa inutili quæ vulgo inserta est particula. Mœris ἱππέας, μακρῶς, 'Αττικῶς· βραχέως, 'Ελληνικῶς. Ad quem locum videndus omnino Piersonus.

ἱππέας ὁρῶ. Sic etiam hic codex.

654. κλάεις. Sic recte membr. et B. non, ut vulgo, κλαίεις. Mœris: κλάειν καὶ κλαίειν μετὰ τοῦ α 'Αττικῶς. μετὰ τοῦ ι, 'Ελληνικῶς. Ubi vide Piersonum. Scripturam Atticam ubique apud Comicum reposui: quod semel monuisse satis sit.

655. προτιμᾷς οὐδέν; Sic recte B. D. In A. C. προτιμᾷς τοὐδέν. Vulgo προτιμᾷς γ' οὐδέν.

656. βαδιστέον γ' ἄρ'—Sic impressi. In B. D. βαδιστέον γάρ ἐστιν. In A. βα-

Ξα. οἴμοι.

Αι. τί ἐστι;

Ξα. τὴν ἄκανθαν ἔξελε.

Αι. τί τὸ πρᾶγμα τουτί; δεῦρο πάλιν βαδιστέον.

Δι. ΑΠΟΛΛΟΝ, 'ΟΣ ΠΟΥ ΔΗΛΟΝ Η ΠΥΘΩΝ' ΕΧΕΙΣ.

Ξα. ἤλγησεν. οὐκ ἤκουσας;

Δι. οὐκ ἔγωγ', ἐπεὶ ἴαμβον Ἱππώνακτος ἀνεμιμνησκόμην.

Ξα. οὐδὲν ποιεῖς γάρ, ἀλλὰ τὰς λαγόνας σπόδει.

Αι. μὰ τὸν Δί', ἀλλ' ἤδη πάρεχε τὴν γαστέρα.

Δι. ΠΟΣΕΙΔΟΝ - - -

Ξα. ἤλγησέ τις.

Δι. 'ΟΣ ΑΙΓΑΙΟΥ ΠΡΩΝΑΣ
Η ΓΛΑΥΚΑΣ ΜΕΔΕΙΣ
'ΑΛΟΣ ΕΝ ΒΕΝΘΕΣΙΝ.

Αι. οὔ τοι, μὰ τὴν Δήμητρα, δύναμαί πω μαθεῖν,
ὁπότερος ὑμῶν ἐστὶ θεός. ἀλλ' εἴσιτον.
ὁ δεσπότης γὰρ αὐτὸς ὑμᾶς γνώσεται,
χ' ἡ Περσέφατθ', ἅτ' ὄντε κἀκείνω θεώ.

Διόνυσος.

ὀρθῶς λέγεις· ἐβουλόμην δ' ἂν τοῦτό σε

διστέον ἄρ' ἐστίν: in C. *βαδιστέον ἄρ' ἐστὶν*—Male omnes. Scribendum erat *βαδιστέον τ' ἄρ' ἐστίν*.—*τ' ἄρ'* valet *τοι ἄρα*. Vide not. ad Lys. 798. et ad Eurip. Phœn. 724. In Conc. 711. edidi, ubi mendosa est impressorum lectio:

βαδιστέον τ' ἄρ' ἐστὶν εἰς ἀγορὰν ἐμοί.

Cod. *βαδιστέον ἄρ'*—

661. Non Hipponactis, sed Ananiæ, iambographi antiqui, de quo videndus Fabricius Bibl. Gr. tom. i. p. 547. senarium illum esse ait Scholiastes, quem Bacchus se contorquens et dolorem dissimulans, exclamavit. Animo perturbato convenit memoriæ lapsus, quo eum de industria errare facit Comicus. Duos Ananiæ iambos profert Scholiastes priori illi subjectos, quorum postremus mutilus et mendosus est.

665. *ὃς Αἰγαίου πρῶνας* Repetendum *ἔχεις* ex Hipponactis iambo, ut recte locum hunc exponit Berglerus. At Küsterus male et contra vett. librorum fidem *πρωνὸς* legendum censet, *ut respondeat genitivo sequenti γλαυκᾶς ἁλὸς*, qui tamen genitivus non pendet a verbo *μέδω*. Quis enim non videt ordinem verborum sic institui debere? *ἢ μέδεις* (id est *βασιλεύεις*) *ἐν βένθεσι γλαυκᾶς ἁλός*. Sunt autem, Scholiaste teste, desumti hi versiculi e Sophoclis Laocoonte.

πρότερον ποιῆσαι, πρίν με τὰς πληγὰς λαβεῖν.

Χορός.

Μοῦσα χορῶν ἱερῶν ἐπίβηθι, καὶ
ἔλθ' ἐπὶ τέρψιν ἀοιδᾶς ἐμᾶς,
τὸν πολὺν ὀψομένη λαῶν ὄχλον,
οὗ σοφίαι μυρίαι κάθηνται,
φιλοτιμότεραι Κλεοφῶντος, ἐφ' οὗ
δὴ χείλεσιν ἀμφιλάλοις
δεινὸν ἐπιβρέμεται
Θρῃκία χελιδὼν,
ἐπὶ βάρβαρον ἑζομένη πέταλον·
κελαδεῖ δ' ἐπίκλαυτον ἀηδόνιον
νόμον, ὡς ἀπολεῖται,
κἂν ἴσαι γένωνται.

Ἡμίχορος.

τὸν ἱερὸν χορὸν δίκαιόν ἐστι χρηστὰ τῇ πόλει
ξυμπαραινεῖν, καὶ διδάσκειν. πρῶτον οὖν ἡμῖν δοκεῖ
ἐξισῶσαι τοὺς πολίτας, κἀφελεῖν τὰ δείματα.
κεἴ τις ἥμαρτε σφαλείς τι Φρυνίχου παλαίσμασιν,
ἐγγενέσθαι φημὶ χρῆναι τοῖς ὀλισθοῦσιν τότε,
αἰτίαν ἐκθεῖσι, λῦσαι τὰς πρότερον ἁμαρτίας.
εἶτ' ἄτιμον φημὶ χρῆναι μηδέν' εἶναι 'ν τῇ πόλει.
καὶ γὰρ αἰσχρόν ἐστι, τοὺς μὲν ναυμαχήσαντας μίαν,
καὶ Πλαταιᾶς εὐθὺς εἶναι, κἀντὶ δούλων δεσπότας.
κοὐδὲ ταῦτ' ἔγωγ' ἔχοιμ' ἂν μὴ οὐ καλῶς φάσκειν ἔχειν,
ἀλλ' ἐπαινῶ· μόνα γὰρ αὐτὰ νοῦν ἔχοντ' ἐδράσατε.
πρὸς δὲ τούτοις εἰκὸς ὑμᾶς, οἳ μεθ' ὑμῶν πολλὰ δὴ,
χ' οἱ πατέρες ἐναυμάχησαν, καὶ προσήκουσιν γένει,

681. Θρῃκία. Perperam vulgo Θρῃϊκία.

692. μηδέν' εἶναι 'ν τῇ πόλει. Tres codd. exhibent, μηδέν' εἶν' ἐν τῇ πόλει. In membr. verbum εἶν' omissum. Vide ad Thesm. 916.

695. κοὐδὲ ταῦτ'. Sic membr. bene; quum sequatur μόνα γὰρ αὐτά. Vulgo ταῦτ'. μὴ οὐ in unam syllabam coalescunt, quod non Atticis solum, sed quibusvis poëtis usitatum. Vide Clarckium ad Homerum Ἰλ. ί. 349. Meleager Epigr. xliii. in pentametro:

> καὶ χαρίεις. ἵν' ἔχω μὴ οὐχὶ φιλεῖν πρόφασιν.

τὴν μίαν ταύτην παρεῖναι ξυμφορὰν, αἰτουμένοις.
ἀλλὰ τῆς ὀργῆς ἀνέντες, ὦ σοφώτατοι φύσει,
πάντας ἀνθρώπους ἑκόντες ξυγγενεῖς κτησώμεθα,
κἀπιτίμους, καὶ πολίτας, ὅστις ἂν ξυνναυμαχῇ.
εἰ δὲ τοῦτ' ὀγκωσόμεσθα, κἀποσεμνυνούμεθα
τὴν πόλιν, καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις,
ὑστέρῳ χρόνῳ ποτ' αὖθις εὖ φρονεῖν οὐ δόξομεν.

Χορός.

εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος,
ἢ τρόπον, ὅστις ἔτ' οἰμώξεται,
οὐ πολὺν, οὐδ' ὁ πίθηκός γ' οὗτος, ὁ
νῦν ἐνοχλῶν, Κλειγένης ὁ μικρὸς,
ὁ πονηρότατος βαλανεὺς, ὁπόσοι
κρατοῦσι κυκησιτέφρου,
ψευδονίτρου κονίας,
καὶ Κιμωλίας γῆς,
χρόνον ἐνδιατρίψει· εἰδὼς δὲ τάδ', οὐκ
εἰρηνικὸς ἔσθ', ἵνα μή ποτε κἀ-
ποδυθῇ μεθύων, ἄ-
νευ ξύλου βαδίζων.

703. εἰ δὲ τοῦτ' ὀγκωσόμεσθα. Sic meus. In B. τοῦθ' : in C. ταῦθ' : vulgo ταῦτ'—

704. τὴν πόλιν, καὶ ταῦτ' ἔχοντες— Sic bene distinctum in meo codice. πόλιν pendet a præcedente verbo ἀποσεμνυνούμεθα: et ἔχοντες neutraliter adhibetur, ut infra v. 793. ἔξειν κατὰ χώραν.

705. ποτ' αὖθις. Sic meus. In B. ποθ' αὖθις. Vulgo τότ'—

708. οὐδ' ὁ πίθηκός γ' οὗτος ὁ—Vulgo in alienum locum translata cum metri labe particula, ὁ πίθηκος οὗτός γ', ὁ— Male illa in A. C. omissa est.

712. ψευδονίτρου κονίας. Vulgo inserta copula τε reclamante metro: eam non agnoscunt codd. B. D. Præterea scribi debuit ψευδολίτρου. Sic enim olim fuisse in Comici codicibus Grammaticorum testimonio constat. Eustathius p. 483. l. 8. Ἀθηναῖοι γὰρ ἀντὶ τοῦ ν, ἔσ τιν ὅτε λ τιθέασιν. ὁποῖον καὶ τὸ νίτρον, καὶ ὁ πνεύμων, ἃ ἐκεῖνοι λίτρον φασὶ καὶ πλεύμονα, ὡς δηλοῖ καὶ ὁ Κωμικὸς ἐν τῷ ψευδολίτρου κονίας, καὶ ἐν τῷ πλευμόνων ἀνθάψεται. Pollux vii. 39. Ἀριστοφάνης δὲ τῶν πλυντικῶν καὶ τὴν κονίαν, καὶ τὴν κιμωλίαν εἶναί φησιν ἐν Βατράχοις, εἰπὼν, ψευδολίτρου τε κονίας καὶ κιμωλίας γῆς. Mœris: λίτρον, Ἀττικῶς. νίτρον, Ἑλληνικῶς. Apud Suidam in κυκησιτέφρου vulgaris scriptura per ν recepta. In Thesm. ii. fragm. viii. v. 1. pro νίτρον reponendum etiam λίτρον e MS. cod. in quo perperam λίτραν.

716. ἄνευ ξύλου βαδίζων. In B. D. κἄνευ ξύλου. Melius abest copula. Glossæ: εἰδὼς δὲ τάδε] ἃ πείσεται, οὐκ ἄσπλος

Ἡμίχορος.

πολλάκις γ' ἡμῖν ἔδοξεν ἡ πόλις πεπονθέναι
ταυτὸν, ἔς τε τῶν πολιτῶν τοὺς καλούς τε κἀγαθοὺς,
ἔς τε τἀρχαῖον νόμισμα, καὶ τὸ καινὸν χρυσίον.
οὔτε γὰρ τούτοισιν οὖσιν οὐ κεκιβδηλευμένοις,
ἀλλὰ καλλίστοις ἁπάντων, ὡς δοκεῖ, νομισμάτων,
καὶ μόνοις ὀρθῶς κοπεῖσι, καὶ κεκωδωνισμένοις
ἔν τε τοῖς Ἕλλησι καὶ τοῖς βαρβάροις ἁπανταχοῦ,
χρώμεθ' οὐδὲν, ἀλλὰ τούτοις τοῖς πονηροῖς χαλκίοις
χθές τε καὶ πρώην κοπεῖσι τῷ κακίστῳ κόμματι.
τῶν πολιτῶν θ' οὓς μὲν ἴσμεν εὐγενεῖς καὶ σώφρονας
ἄνδρας ὄντας καὶ δικαίους, καὶ καλούς τε κἀγαθοὺς,
καὶ τραφέντας ἐν παλαίστραις, καὶ χοροῖς, καὶ μουσικῇ,
προσέλοῦμεν· τοῖς δὲ χαλκοῖς, καὶ ξένοις, καὶ πυῤῥίαις,
καὶ πονηροῖς, κἀκ πονηρῶν, εἰς ἅπαντα χρώμεθα,
ὑστάτοις ἀφιγμένοισιν, οἷσιν ἡ πόλις προτοῦ
οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν.

διάγει, ἀλλ' ἐν χειρὶ ξύλον ἀεὶ φέρει, μήποτε καὶ ἀποδυθῇ. πολλοὶ γὰρ αὐτῷ ἀπειλοῦσι. In exemplari quod habeo editionis Bernardi Juntæ emendavit olim nescio quis ἀπολυθῇ pro ἀποδυθῇ. Sed fefellit eum ratio.

718. In C. particula γε prorsus omissa, ut ultima in πολλάκις producatur ob sequentem aspirationem, eadem ratione qua infra in προσέλοῦμεν.

720. ἔς τε τἀρχαῖον—Sic tres codd. cum primariis editionibus. Aliæ cum cod. C. εἴς τε τἀρχαῖον. Kusteriana εἰς τε τάρχεῖον, quam mendam servavit novissima Batava.

724. τοῖς βαρβάροις ἁπανταχοῦ. Sic meus. In C. βαρβάροις πανταχοῦ claudicante metro: alii, ut vulgo, βαρβάροισι πανταχοῦ.

730. προσέλοῦμεν. Gl. ὑβρίζομεν, ἀτιμάζομεν. Prima producitur vi aspirationis. Vide not. ad Æschyli Prom. 438. et ad Lys. 551. Mendose in novissima Batava προσηλοῦμεν. Versum 727. et decem sequentes excerpsit Stobæus titulo περὶ πολιτείας, apud quem προσέλοῦμεν etiam legitur, perperam a Grotio Floril. p. 169. mutatum in προὐξελῶμεν.

Scholion MS. προσελεῖν, τὸ ὑβρίζειν Ἀττικοὶ φασίν.

733. φαρμακοῖσιν. Gl. καθάρμασιν. Scholion in C. φαρμακοῖσι, καθάρμασι. τοὺς γὰρ φαύλους, καὶ παρὰ τῆς φύσεως ἐπιβουλευομένους, εἰς ἀπαλλαγὴν αὐχμοῦ, ἢ λιμοῦ, ἤ τινος τῶν τοιούτων ἔθυον, οὓς ἐκάλουν καθάρματα. Vide Meursium Gr. Fer. in Θαργήλια. Imitatus est Comicus noster Eupolidem, cujus fragmenta duo opportune advocavit Berglerus. Prius est apud Athenæum p. 425. e Fabula cui titulus Πόλεις.

οὓς δ' οὐκ ἂν εἵλεσθ' οὐδ' ἂν οἰνόπτας
πρὸ τοῦ,
νυνὶ στρατηγοὺς λεύσσομεν. ὦ πόλις, πόλις,
ὡς εὐτυχὴς εἶ μᾶλλον, ἢ καλῶς φρονεῖς.

ἀλλὰ καὶ νῦν, ὦ 'νόητοι, μεταβαλόντες τοὺς τρόπους,
χρῆσθε τοῖς χρηστοῖσιν αὖθις· καὶ κατορθώσασι γὰρ
εὔλογον· κἄν τι σφαλῆτ', ἐξ ἀξίου γοῦν του ξύλου,
ἤν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε.

ΑΙΑΚΟΣ, ΞΑΝΘΙΑΣ, ΧΟΡΟΣ ΜΥΣΤΩΝ.

Αι. ΝΗ τὸν Δία τὸν Σωτῆρα, γεννάδας ἀνὴρ
ὁ δεσπότης σου.
Ξα. πῶς γὰρ οὐχὶ γεννάδας,
ὅστις γε πίνειν οἶδε καὶ βίνειν μόνον;

Alterum est apud Stobæum Floril. Grotii p. 163.

καὶ μὴν ἐγώ, πολλῶν παρόντων, οὐκ ἔχω τί λέξω·
οὕτω σφόδρ' ἀλγῶ, τὴν πολιτείαν ὁρῶν παρ' ἡμῖν.
ἡμεῖς γὰρ οὐχ οὕτω τέως ᾠκοῦμεν οἱ γέροντες,
ἀλλ' ἦσαν ἡμῖν τῇ πόλει πρῶτον μὲν οἱ στρατηγοὶ
ἐκ τῶν μεγίστων οἰκιῶν, πλούτῳ γένει τε πρῶτοι,
οἷς ὡσπερεὶ θεοῖσιν ηὐχόμεσθα· καὶ γὰρ ἦσαν.
ὥστ' ἀσφαλῶς ἐπράττομεν. νυνὶ δ' ὅποι τύχοιμεν,
στρατευόμεσθ' αἱρούμενοι ΚΑΘΑΡΜΑΤΑ στρατηγούς.

καθάρματα Eupolidi idem est quod Comico nostro φαρμακοί. Est autem illud Eupolidis fragmentum pars parabasis, in qua loquebatur ad spectatores conversus Chorus e senibus constans, unde v. 3. pro vulgato ὦ γέροντες, lego ἡμεῖς—οἱ γέροντες. Grotii versionem subjiciam.

Ex multis quæ dicenda sunt non video unde incipissam.
Adeo hanc videre civitatem nequeo sine dolore.
Nos, ô senes, rempublicam non talem habuimus olim:
sed imperatores erant ducesque civitati
de gentibus primoribus, deque eminente censu,
quos venerabamur ut deos: et erant dei profecto.
Ita res secura tum stetit. Nunc, sicubi militandum est,
præficimus bello et copiis homines piaculares.

736. ἐξ ἀξίου γοῦν του ξύλου. Perperam vulgo τοῦ. Hic posita illa vocula pro indefinito τινος. Allusio est ad proverbium, ἀπὸ καλοῦ ξύλου κἂν ἀπάγξασθαι. Id est, *si pereundum est, saltem decore perire oportet.* Hoc est, quod ait Nicias Equitum initio:

κράτιστον οὖν νῷν ἀποθανεῖν. ἀλλὰ σκόπει,
ὅπως ἂν ἀποθάνοιμεν ἀνδρικώτατα.

738. Æacus in scenam redit cum Xanthia, quorum e colloquio percipiunt spectatores, quid in ædibus Plutonis actum fuerit, et præparatur nova dramatis constitutio. Cadd. aliquot pro persona *Æaci* habent *Famulum.* Inde est quod in recensione Fabulæ personarum conspicitur vulgo Οἰκέτης, qui cum Æaco unus et idem est. In B. D. recte ubique adscripta est persona Αἰακός: in C. primo loco οἰκέτης Αἰακοῦ, postea semper οἰκέτης: in membr. modo Αἰακὸς, modo οἰκέτης, et perturbatæ admodum personæ.

Αι. τὸ δὲ μὴ πατάξαι σ' ἐξελεγχθέντ' ἄντικρυς,
ὅτι, δοῦλος ὤν, ἔφασκες εἶναι δεσπότης ---

Ξα. οἴμωξε μέντ' ἄν.

Αι. τοῦτο μέντοι δουλικὸν
εὐθὺς πεποίηκας, ὅπερ ἐγὼ χαίρω ποιῶν.

Ξα. χαίρεις, ἱκετεύω;

Αι. μάλα γ' ἐποπτεύειν δοκῶ,
ὅταν καταράσωμαι λάθρα τῷ δεσπότῃ.

Ξα. τί δὲ, τονθορύζων, ἡνίκ' ἂν, πληγὰς λαβὼν
πολλὰς, ἀπίῃς θύραζε;

Αι. καὶ τόθ' ἥδομαι.

Ξα. τί δὲ πολλὰ πράττων;

Αι. ὡς μὰ Δί' οὐδὲν οἶδ' ἐγώ.

Ξα. Ὁμόγνιε Ζεῦ· καὶ παρακούων δεσποτῶν
ἅττ' ἂν λαλῶσι;

Αι. καὶ μάλα πλεῖν, ἢ μαίνομαι.

Ξα. τί δὲ, τοῖς θύραζε ταῦτα καταλαλῶν;

Αι. ἐγώ;

741. ἐξελεγχθέντ'. Sic membr. Vulgo ἐξελέγξαντ'.

743. ᾤμωξε μέντ' ἄν. Perperam vulgo οἴμωζε, omisso augmento, nec observata temporum ratione. ᾤμωζε ἂν valet *plo-raret*: ᾤμωξε ἄν, *plorasset*, quod sententia hic flagitat.

745. μάλα γ' ἐποπτεύειν δοκῶ. Sic quidem in duobus codd. scriptum esse video; sed perperam, et e librarii conjectura. In membr. et in cod. cui nunc conferendo operam do, scriptum est μάλ' ἐποπτεύειν δοκῶ. Omissum hic fuit καὶ, ut mox v. 751. ubi repositum fuit e membr. Quomodo hæc exhibeat cod. C. non recordor: penes me jamdudum desiit esse.

748. ἀπίῃς θύραζε. Sic bene Kusterus in notis. Vulgo ἀπῇς. Vide ad Thesm. 944.

749. πολλὰ πράττων. Male glossa in cod. meo πάσχων. πολλὰ πράττειν, πολυπραγμονεῖν, *male curiosum esse*, de eo dicitur qui se negotiis immiscet quæ ad eum non spectant, Pace 1058. πολλὰ πράττεις, ὅστις εἶ, *magnus es ardelio, quisquis es.*

751. ἅττ' ἂν λαλῶσι. Sic recte A. C. Vulgo ὅταν λαλῶσι. Membr. καὶ μάλα πλεῖν. Vulgo μάλα γε πλεῖν. In C. utraque particula omissa, et καὶ et γε.

Perperam cod. hunc versum exhibet: ὅταν λαλῶσι;—μάλα πλεῖν ἢ μαίνομαι. Vides καὶ hic etiam male omissum fuise, ut in C. Sinceram optimamque lectionem dederunt membranæ, ad quem modum similes aliis in locis librariorum errores corrigendi sunt.

752. τοῖς θύραζε. Gl. τοῖς ἐκτός. Subauditur οὖσι. Vides θύραζε hic *foris* significare, nec verbo jungi motum ad locum significanti. Confer not. ad Thesm. 69.

μὰ Δί', ἀλλ' ὅταν δρῶ τοῦτο, κἀκμιαίνομαι.
Ξα. ὦ Φοῖβ' Ἄπολλον, ἔμβαλέ μοι τὴν δεξιὰν,
καὶ δὸς κύσαι, καὐτὸς κύσον, κἀμοὶ φράσον,
πρὸς Διὸς, ὃς ἡμῖν ἐστιν ὁμομαστιγίας,
τίς οὗτος οὔνδον ἐστὶ θόρυβος, χ' ἡ βοὴ,
χῳ λοιδορησμός;
Αι. Αἰσχύλου κεὐριπίδου.
Ξα. ἆ.
Αι. πρᾶγμα, πρᾶγμα γὰρ κεκίνηται μέγα
ἐν τοῖς νεκροῖσι, καὶ στάσις πολλὴ πάνυ.
Ξα. ἐκ τοῦ;
Αι. νόμος τις ἐνθάδ' ἐστὶ κείμενος
ἀπὸ τῶν τεχνῶν, ὁπόσαι μεγάλαι καὶ δεξιαὶ,
τὸν ἄριστον ὄντα τῶν ἑαυτοῦ ξυντέχνων,

753. κἀκμιαίνομαι. Glossa ἀποσπερματίζω. ἀγνισμὸν λογίζομαι.

755. κἀμοί. Vulgo καί μοι. Illud magis ex usu Atticorum Poëtarum.

756. ὁμομαστιγίας. Verbero verberonem obsecrat per Jovem converberonem, ut frater fratrem per Jovem ὁμόγνιον, sodalis sodalem per ἑταιρεῖον. BERGLER.

757. οὔνδον. Sic cum primariis editt. B. D. in C. οὖνδον. Perperam Kusterus ὁ ἔνδον. In membr. ὁ ἔνδον.

758. λοιδορησμός. Sic tres codd. cum primariis editt. Perperam Kusterus λοιδορισμὸς, quæ prava est etiam cod. mei scriptura, et Thomæ M. cujus observationem hic ipse locus refellit. In hujus formæ verbalibus sæpe peccarunt librarii pro η scribendo ι. Vide quæ notavi ad Æschyli S. Th. 563.

759. In Kusteri editione sic legitur hic versus:

ἆ.—πρᾶγμα γὰρ κεκίνηται μέγα.

toto deficiente pede. Quod librariis sæpe contigisse jam plus semel observavi, ut vocem bis ab auctore positam semel tantum scriberent, eandem hic admiserunt culpam operæ in officina Wecheli, ubi primum sic excusus hic versus. Inde in Frobenii editionem et aliquot deinceps alias transiit menda. In minoribus tamen Batavis, ut in quinque primariis, recte excusum fuit:

ἆ.—πρᾶγμα, πρᾶγμα γὰρ κεκίνηται μέγα.

Sunt igitur editiones ad minimum septem, e quibus Kusterus hunc versum restituere poterat: nec conjecturis opus erat, nec Vaticano codice. Consentit codex meus vett. editionibus. Alii varias contraxerunt labes. In membr.

αἶ:—πρᾶγμα πρᾶγμα μέγα κεκίνηται πάνυ.

In C. totus versus Xanthiæ tributus sic legitur:

ὦ πρᾶγμα πρᾶγμα σφόδρα κεκίνηται μέγα.

In B. male distinctis personis et mutilo versu:

ἆ πρᾶγμα πρᾶγμα.—κεκίνηται μέγα.

762. ὁπόσαι μεγάλαι. Sic membr. Vulgo ὅσαι μεγάλαι.

763. ξυντέχνων, quod nulla auctoritate reposueram, exhibet postremus hic cod. Attica litera.

σίτησιν αὐτὸν ἐν Πρυτανείῳ λαμβάνειν,
θρόνον τε, τοῦ Πλούτωνος ἑξῆς - - -
Ξα. μανθάνω.
Αι. ἕως ἀφίκοιτο τὴν τέχνην σοφώτερος
ἕτερός τις αὐτοῦ· τότε δὲ παραχωρεῖν ἔδει.
Ξα. τί δῆτα τουτὶ τεθορύβηκεν Αἰσχύλον;
Αι. ἐκεῖνος εἶχε τὸν τραγῳδικὸν θρόνον,
ὡς ὢν κράτιστος τὴν τέχνην.
Ξα. νυνὶ δὲ τίς;
Αι. ὅτε δὴ κατῆλθ᾽ Εὐριπίδης, ἐπεδείκνυτο
τοῖς λωποδύταις, καὶ τοῖσι βαλαντιητόμοις,
καὶ τοῖσι πατραλοίαισι, καὶ τοιχωρύχοις,
ὅπερ ἔστ᾽ ἐν Ἅδου πλῆθος· οἱ δ᾽ ἀκροώμενοι
τῶν ἀντιλογιῶν, καὶ λυγισμῶν, καὶ στροφῶν,
ὑπερεμάνησαν, κἀνόμισαν σοφώτατον.
κἄπειτ᾽ ἐπαρθεὶς ἀντελάβετο τοῦ θρόνου,
ἵν᾽ Αἰσχύλος καθῆστο.
Ξα. κοὐκ ἐβάλλετο;
Αι. μὰ Δί᾽, ἀλλ᾽ ὁ δῆμος ἀνεβόα κρίσιν ποιεῖν,
ὁπότερος εἴη τὴν τέχνην σοφώτερος.
Ξα. ὁ τῶν πανούργων;
Αι. νὴ Δί᾽, οὐράνιόν γ᾽ ὅσον.
Ξα. μετ᾽ Αἰσχύλου δ᾽ οὐκ ἦσαν ἕτεροι ξύμμαχοι;
Αι. ὀλίγον τὸ χρηστόν ἐστιν, ὥσπερ ἐνθάδε.
Ξα. τί δῆθ᾽ ὁ Πλούτων δρᾷν παρασκευάζεται;
Αι. ἀγῶνα ποιεῖν αὐτίκα μάλα, καὶ κρίσιν,

771. ὅτε δὴ κατῆλθ᾽ Εὐριπίδης. Sic bene membr. et C. Vulgo κατῆλθεν, redundante syllaba: quod editores non animadverterunt: scilicet quia versum metiebantur syllabarum numero, non potestate.

ὅτε δὴ | κατῆλ | θεν Εὐ | ριπίδης | ἐπε-
δείκ | νυτο.

sed in Εὐριπίδης secunda semper et ubique producitur.

ὅτε δὴ κατῆλθ᾽ Εὐριπίδης. Sic etiam hic cod.

772. τοῖσι βάλαντ—Sic membr. Vulgo τοῖς, minus numeroso versu.

783. ὥσπερ ἐνθάδε. Ad Theatrum se convertit hæc dicens Æacus, gestuque spectatorum turbam ostendit. Vide supra ad v. 276.

κἄλεγχον αὐτῶν τῆς τέχνης.
Ξα. κἄπειτα, πῶς
οὐ καὶ Σοφοκλέης ἀντελάβετο τοῦ θρόνου;
Αι. μὰ Δί' οὐκ ἐκεῖνος, ἀλλ' ἔκυσε μὲν Αἰσχύλον,
ὅτε δὴ κατῆλθε, κἀνέβαλε τὴν δεξιὰν,
κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου.
νυνὶ δ' ἔμελλεν, ὡς ἔφη Κλειδημίδης,
ἔφεδρος καθεδεῖσθαι· κἂν μὲν Αἰσχύλος κρατῇ,
ἕξειν κατὰ χώραν· εἰ δὲ μὴ, περὶ τῆς τέχνης
διαγωνιεῖσθαι 'φασκε πρός γ' Εὐριπίδην.
Ξα. τί χρῆμ' ἄρ' ἔσται;
Αι. νὴ Δί', ὀλίγον ὕστερον
κἀνταῦθα δὴ τὰ δεινὰ κινηθήσεται.
καὶ γὰρ ταλάντῳ μουσικὴ σταθμήσεται.
Ξα. τί δέ; μειαγωγήσουσι τὴν τραγῳδίαν;
Αι. καὶ κανόνας ἐξοίσουσ ι καὶ πήχεις ἐπῶν,
καὶ πλαίσια ξύμπτυκτα πλινθεύσουσί γε,
καὶ διαμέτρους, καὶ σφῆνας. ὁ γὰρ Εὐριπίδης
κατ' ἔπος βασανιεῖν φησὶ τὰς τραγῳδίας.
Ξα. ἦπου βαρέως οἶμαι τὸν Αἰσχύλον φέρειν.
Αι. ἔβλεψε γοῦν ταυρηδὸν ἐγκύψας κάτω.
Ξα. κρινεῖ δὲ τὴ τίς ταῦτα;
Αι. τοῦτ' ἦν δύσκολον·
σοφῶν γὰρ ἀνδρῶν ἀπορίαν εὑρισκέτην.

792. ἔφεδρος. Glossa perperam κριτής. Scholion Ms. ἔφεδρος, ὁ μαχομένων τινῶν παρακαθήμενος, καὶ μέλλων τῷ νενικηκότι μαχήσασθαι. Tertiarius. Æschylus Choëph. 866.

τοιάνδε πάλην μόνος ὢν ἔφεδρος
δισσοῖς μέλλει θεῖος Ὀρέστης
ἅψειν.

797. σταθμήσεται. Auctor Etymol. M. p. 744. l. 20. hunc versum sic profert:

ἀλλ' ἢ ταλάντῳ μουσικὴ κριθήσεται.

798. μειαγωγήσουσι. Gl. ζυγοστατήσουσι. De potestate et usu hujus verbi apud Atticos videndus Meursius Gr. Fer. in Ἀπατούρια.

800. Vulgo ξύμπηκτα. C. D. ξύμπτυκτα. Gl. ἡνωμένα. Veram lectionem Poll. x. 148. reposui.

804. ἔβλεψε γοῦν. Sic iv. codd. Vulgo ἔβλεψεν οὖν.

οὔτε γὰρ Ἀθηναίοις ξυνέβαινεν Αἰσχύλος---
Ξα. πολλοὺς ἴσως ἐνόμιζε τοὺς τοιχωρύχους.
Αι. λῆρόν τε τἄλλ' ἡγεῖτο, τοῦ γνῶναι πέρι
φύσεις ποιητῶν. εἶτα τῷ σῷ δεσπότῃ
ἐπέτρεψαν, ὁτιὴ τῆς τέχνης ἔμπειρος ἦν.
ἀλλ' εἰσίωμεν· ὡς ὅταν γ' οἱ δεσπόται
ἐσπουδάκωσι, κλαύμαθ' ἡμῖν γίγνεται.
Χο. ἦπου δεινὸν ἐριβρεμέτας χόλον ἔνδοθεν ἕξει,
ἡνίκ' ἂν ὀξύλαλόν περ ἴδῃ θήγοντος ὀδόντας
ἀντιτέχνου· τότε δὴ μανίας ὑπὸ δεινῆς
ὄμματα στροβήσεται.
ἔσται δ' ὑψιλόφων τε λόγων κορυθαίολα νείκη,
σχινδαλμῶν τε παραξόνια, σμιλεύματά τ' ἔργων,

807. *οὔτε γὰρ Ἀθηναίοις ξυνέβαινεν Αἰσχύλος.* Sic optime B. ita etiam in meo, nisi quod *συνεβ.* habet neglecta litera Attica. Vulgo redundante syllaba *Ἀθηναίοισι συνέβαινεν.* In A. C. *Ἀθηναίοισι συνέβαιν' Αἰσχύλος.* Musicas aures non haberet, qui hanc præferret lectionem. Glossa ad *ξυνέβαινεν, ἔχαιρεν, ἀπεδέχετο αὐτούς.*

Cod. *Ἀθηναίοισι ξυνέβαινεν Αἰσχύλος.*

809. *λῆρόν τε τἄλλ' ἡγεῖτο, τοῦ γνῶναι πέρι φύσεις ποιητῶν.* Adverbii vice hic est *τὰ ἄλλα*, et valet *præterea. λῆρον ἡγεῖτο αὐτοὺς*, nempe *τοὺς Ἀθηναίους, περὶ τοῦ γνῶναι*—Non satis accurata est versio, quæ sic corrigenda: *præterea nihil nisi meras nugas eos censebat in dignoscendis poëtarum ingeniis.* Salse Atheniensibus exprobrat prava judicia, quibus sæpe optimæ exigebantur fabulæ, concessa deterioribus palma, quod et ipse cum alias expertus est, tum maxime quando *Nubes* docuit.

814. *ἐριβρεμέτας. ὁ μεγαλόφωνος Αἰσχύλος.*

815. *ἡνίκ' ἂν ὀξύλαλόν περ ἴδῃ θήγοντος ὀδόντας ἀντιτέχνου.* Sic bene recentiores editt. quibus adstipulantur præter Scholiastam codd. C. D. Ingratus est hiatus in *ὀδόντα ἀντιτέχνου*, quam lectionem e prioribus editt. stulte revocavit Berglerus. In membr. *ὀδόντ' ἀντιτέχνου* cum elisione, quam metrum aversatur. Versus digessi, uti in membranis distincti sunt, quam rationem agnoscit etiam Scholiastes. In proposita lectione *ὀξυλάλον* substantive accipiendum est pro *τὸ ὀξυλάλον, garrulitas:* tametsi hac in formula vereor ut sine offensione articulus omitti possit. Verbum *ἰδεῖν* ad alium sensum translatum, more poëtis familiari, qui sensuum verba commutant. Sic Æschyl. S. Th. 103. *κτύπον δέδορκα.* In C. perspicue scriptum est *ὀξυλάλου*, quod adjective acciperetur, sicque vitaretur incommodum omissi articuli: *ἡνίκ' ἂν περ ἴδῃ ὀξυλάλου ἀντιτέχνου θήγοντος ὀδόντας.* Hac in phrasi neminem morari debet verbum *ἰδεῖν* cum patrio casu constructum. Verba sensuum duplicem adsciscunt casum, secundum et quartum. *ἴδῃ* positum hic pro *αἴσθηται*, et eandem sequitur constructionem. Meliorem hanc lectionem puto.

818. *ὑψιλόφων.* A. C. D. *ἱππολόφων.*

819. *σχινδαλμῶν.* Gl. *λεπτολογιῶν.* Mœris: *σχινδαλμὸς, ἐν τῷ χ, Ἀττικῶς.*

φωτὸς ἀμυνομένου φρενοτέκτονος ἀνδρὸς
ῥήμαθ' ἱπποβάμονα.
φρίξας δ' αὐτοκόμου λοφιᾶς λασιαύχενα χαῖταν,
δεινὸν ἐπισκύνιον ξυνάγων, βρυχώμενος ἥσει
ῥήματα γομφοπαγῆ, πινακηδὸν ἀποσπῶν
γηγενεῖ φυσήματι.
ἔνθεν δὴ στοματουργὸς ἐπῶν βασανίστρια, λίσπη
γλῶσσ' ἀνελισσομένη φθονεροὺς κινοῦσα χαλινοὺς,
ῥήματα δαιομένη, καταλεπτολογήσει
πνευμόνων πολὺν πόνον.

ΕΥΡΙΠΙΔΗΣ, ΔΙΟΝΥΣΟΣ, ΑΙΣΧΥΛΟΣ, ΧΟΡΟΣ ΜΥΣΤΩΝ, ΠΛΟΥΤΩΝ.

Ευ. Οὐκ ἂν μεθείμην τοῦ θρόνου, μὴ νουθέτει.
κρείττων γάρ εἶναί φημι τούτου τὴν τέχνην.
Δι. Αἰσχύλε, τί σιγᾷς; αἰσθάνει γὰρ τοῦ λόγου.
Ευ. ἀποσεμνυνεῖται πρῶτον, ἅπερ ἑκάστοτε
ἐν ταῖς τραγῳδίαισιν ἐτερατεύετο.

σκινδαλμὸς, Ἕλληνες. Ubi vide Piersonum. In A. C. scriptum ut vulgo σκινδαλμῶν: in B. D. σκινδαλάμων. Forma quadrisyllaba occurrit Nub. 130.

λόγων ἀκριβῶν σχινδαλάμους μαθήσομαι.

823. ἐπισκύνιον ξυνάγων. Gl. in C. συστέλλων. In B. D. textus exhibet ἐπισκύνιον ξυνέχων. Glossa in D. συνάγων, ὥσπερ οἱ θυμούμενοι θῆρες. Genuina lectio sæpe in glossa latet, quod alibi observavi. In codicis B. contextus serie scriptum βρυχώμενος ἥσει πέμψει. Sic etiam in C. nisi quod πέμπει habet. Glossam pro voce textus acceperunt boni librarii, quod non raro contigit. Hic manifestus est error. Sed aliæ sunt interpolationes, quæ facile fallant, nisi quis callidiori sensu præditus sit. Exemplo sit versus in Lys. 1299.

827. γλῶσσ' ἀνελισσομένη, et versu abhinc secundo πνευμόνων, formæ ut veteres, Ionicæ, eædemque antiquæ Atticæ dialecti, quam in plerisque sequuntur Tragici. Eas in chorico cantico, ubi Tragicorum μελοποιΐαν imitatur Comicus, cum recentioris Atticismi formis γλῶττ' ἀνελιττομένη, et πλευμόνων mutare nefas fuisset. Priores agnoscunt iv. codd. Aldus πλευμόνων edidit: melius Bern. Junta πνευμόνων.

830. οὐκ ἂν μεθείμην τοῦ θρόνου. Sic recte A. C. Glossa παραχωρήσαιμι. Vulgo μεθείην, quam scripturam mendosam esse jam ostenderat Dawesius pag. 238. Verbum activum μεθίημι cum accusativo semper, cum genitivo nunquam construitur. Forma passiva μεθίεμαι utrumque casum adsciscit. Vide not. ad Vesp. 416.

μεθείμην. Sic etiam hic cod.

833. ἀποσεμνυνεῖται. Gl. σεμνῶς ἑαυτὸν σχηματίσει.

Δι. ὦ δαιμόνι' ἀνδρῶν, μὴ μεγάλα λίαν λέγε.
Ευ. ἐγῷδα τοῦτον, καὶ διέσκεμμαι πάλαι,
ἄνθρωπον ἀγριοποιὸν, αὐθαδόστομον,
ἔχοντ' ἀχάλινον, ἀκρατὲς, ἀπύλωτον στόμα,
ἀπεριλάλητον, κομποφακελοῤῥήμονα.
Αι. ἄληθες, ὦ παῖ τῆς ἀρουραίας θεοῦ;
σὺ δή με ταῦτ', ὦ στωμυλιοσυλλεκτάδη,
καὶ πτωχοποιὲ, καὶ ῥακιοσυῤῥαπτάδη;
ἀλλ' οὔ τι χαίρων αὔτ' ἐρεῖς.
Δι. παῦσ' Αἰσχύλε,
καὶ μὴ πρὸς ὀργὴν σπλάγχνα θερμήνῃς κότῳ.
Αι. οὐ δῆτα, πρίν γ' ἂν τοῦτον ἀποφήνω σαφῶς
τὸν χωλοποιὸν, οἷος ὢν θρασύνεται.
Δι. ἄρν', ἄρνα μέλαιναν, παῖδες, ἐξενέγκατε·

836. ἐγῷδα. Sic codd. perperam vulgo divisum ἐγ' ᾧδα. Vide ad Thesm. 502. Sic ubique excudi volui, quod semel dictum sufficiat, nec librorum hanc varietatem amplius observabo.

839. κομποφακελοῤῥήμονα. Gl. σκληρὰ καὶ συνδεδεμένα ἔπη λέγοντα.

840. ἄληθες. *Itane?* Plerumque hoc adverbium ironicæ interrogationi servit. Suidas: ἄληθες. ἀντὶ τοῦ ὄντως. ἀξιοῦσι δὲ ὀξύνειν τὴν πρώτην, ὅταν τοῦτο δηλοῖ τὸ ἐν ἐπερωτήσει λεγόμενον ὄντως, ἀληθῶς, οἷον· Ἄληθες, ὦ παῖ—Thomas M. ἄληθες παρὰ ποιηταῖς, τὸ κατ' εἰρωνείαν ἀντὶ τοῦ ὄντως λαμβανόμενον, ὡς τὸ παρ' Ἀριστοφάνει ἐν Πλούτῳ (123.) ἄληθες, ὦ δειλότατε πάντων δαιμόνων. Sic Lys. 433. ἄληθες, ὦ μιαρὰ σύ. Eadem significatione occurrit apud Sophoclem Œd. T. 350. Antig. 758. quibus in locis adverbii hujus potestas interpretem latuit. Est autem hic parodia versus Euripidis, quem Musgravius in Telepho fuisse putat:

ἄληθες, ὦ παῖ τῆς θαλασσίας θεοῦ;

Nomini θαλασσίας Thetidem apud Tragicum significanti, ἀρουραίας facete substituit, Euripidi olera objiciens agrestia quibus innutritus fuerat. Vide Thesm. 456. et 910.

841. στωμυλιοσυλλεκτάδη. Gl. πολυλογίας συλλέγων.

842. Hunc versum interpretabitur colloquium inter Dicæopolin et Euripidem in Acharnensibus.

843. αὔτ' ἐρεῖς. Sic membr. Vulgo ταῦτ'—Infra v. 952. libri omnes: δημοκρατικὸν γὰρ αὔτ' ἔδρων.

844. πρὸς ὀργὴν, *iracunde.* Sic infra 856. 998. Sophocles El. 369. μηδὲν πρὸς ὀργὴν, πρὸς θεῶν.

847. Schol. Ms. ἄρν', ἄρνα μέλαιναν] τοιαῦτα γὰρ ἔθυον τῷ Τυφῶνι, ὁπότε στροβιλώδης ἐκινήθη ἄνεμος. τῶν γὰρ τοιούτων οὗτός ἐστιν ἔφορος. εἰκότως δὲ μέλαιναν, καὶ οὐ λευκὴν, ἐπειδὴ καὶ ὁ Τυφὼς μέλας. Virgil. Æn. iii. 118.

Sic fatus, meritos aris mactavit honores,
taurum Neptuno, taurum tibi, pulcher Apollo;
NIGRAM HIEMI PECUDEM, Zephyris felicibus albam.

τυφὼς γὰρ ἐκβαίνειν παρασκευάζεται.
Αι. ὦ Κρητικὰς μὲν ξυλλέγων μονῳδίας,
γάμους δ᾽ ἀνοσίους ἐσφέρων ἐς τὴν τέχνην.
Δι. ἐπίσχες οὗτος, ὦ πολυτίμητ᾽ Αἰσχύλε.
ἀπὸ τῶν χαλαζῶν, ὦ πόνηρ᾽ Εὐριπίδη,
ἄπαγε σεαυτὸν ἐκποδὼν, εἰ σωφρονεῖς,
ἵνα μὴ κεφαλαίῳ τὸν κρόταφόν σου ῥήματι

851. Observes in his Bacchi verbis manifestam imitationem loci Homerici. Æschylum primo alloquitur, postea Euripidem, denique ad Æschylum deliniendum rursus se confert. Huic dicere poterat, ἐν σοὶ μὲν λήξω, σέο δ᾽ ἄρξομαι. Sic Nestor Iliad. α'. 275. Atridæ et Pelidæ jurgium sedans, ab eo qui dignitate præstantior erat incipit. Agamemnonemque primum hortatur, deinde Achillem, demum Agamemnoni iteratas admovet preces, in eoque desinit.

μήτε σὺ τόνδ᾽, ἀγαθός περ ἐὼν, ἀποαίρεο κούρην,
ἀλλ᾽ ἔα, ὥς οἱ πρῶτα δόσαν γέρας υἷες Ἀχαιῶν·
μήτε σὺ, Πηλείδη, ᾽θέλ᾽ ἐριζέμεναι βασιλῆϊ
ἀντιβίην· ἐπεὶ οὔποθ᾽ ὁμοίης ἔμμορε τιμῆς
σκηπτοῦχος βασιλεὺς, ᾧ τε Ζεὺς κῦδος ἔδωκεν·
εἰ δὲ σὺ καρτερός ἐσσι, θεὰ δέ σε γείνατο μήτηρ,
ἀλλ᾽ ὅγε φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει.
Ἀτρείδη, σὺ δὲ παῦε τεὸν μένος· αὐτὰρ ἔγωγε
λίσσομ᾽ Ἀχιλλῆϊ μεθέμεν χόλον, ὃς μέγα πᾶσιν
ἕρκος Ἀχαιοῖσι πέλεται πολέμοιο κακοῖο.

Pessime et summa cum imperitia latinus interpres penultimi versus græca sic reddidit: *Verum ego precabor Achillem deponere iram.* Tanquam si λίσσομαι tempus esset futurum: tanquam si græce dictum unquam a quoquam fuisset λίσσομαί τινι pro *precor aliquem.* Dativus Ἀχιλλῆϊ non pendet a λίσσομαι, quicum subauditur pronomen σε, sed a μεθέμεν. Constructio est: λίσσομαί σε μεθεῖναι Ἀχιλλεῖ τὸν χόλον, id est, παύσασθαι τοῦ χόλου τῷ Ἀχιλλεῖ, παύσασθαι τοῦ χολοῦσθαι τῷ Ἀχιλλεῖ. Vel Ἀχιλλῆϊ valet Ἀχιλλῆος χάριν. (Vide Valckenarium laudatum ad Lys. 1277.) Ad eundem fere modum Horatius Carm. iii. 3.

Protinus et graves
iras et invisum nepotem,
Troïa quem peperit Sacerdos
Marti redonabo.

Anna Fabri ad latinæ versionis sensum homerica reddidit: utrumque ducem secutus est totus novorum Gallicorum interpretum grex. At vir longe doctissimus, qui græca ex ipsis græcis vertere solebat, Joannes Boivin in Actis Regiæ Parisiensis Academiæ tom. ii. p. 24. Nestoris sensum vere et eleganter expressit: *Et vous, fils d' Atrée, calmez la violence de vos transports, oubliez votre colere. C'est moi* QUI VOUS PRIE DE VOUS RELACHER EN FAVEUR D'ACHILLE, *dont le bras etc.*

854. κεφαλαίῳ. Gl. καθολικῷ καὶ μεγάλῳ. Schol. ἁδρῷ. Nub. 981.

οὐδ᾽ ἂν ἐλίσθαι διαπνοῦντ᾽ ἐξῆν κεφάλαιον
τῆς ῥαφανίδος.

κεφάλαιον, κεφαλὶς et κεφαλὴ *apud Dioscoridem et alios pro* capitulo *plantarum, ossium, immo quarumvis fere summitatum capitatarum occurrit, ut et Lat.* caput. *Et quia* caput *est pars crassior ac durior, inde Comicus* κεφαλαίῳ ῥήματι τὸν κρόταφον θένειν *dixit,* duriori verbo caput fe-

θένων ὑπ' ὀργῆς, ἐκχέῃ τὸν Τήλεφον·
σὺ δὲ μὴ πρὸς ὀργὴν, Αἰσχύλ', ἀλλὰ πραόνως
ἔλεγχ', ἐλέγχου. λοιδορεῖσθαι δ' οὐ πρέπει
ἄνδρας ποιητὰς, ὥσπερ ἀρτοπώλιδας.
σὺ δ' εὐθὺς, ὥσπερ πρῖνος ἐμπρησθεὶς, βοᾷς.
Ευ. ἕτοιμός εἰμ' ἔγωγε, κοὐκ ἀναδύομαι,
δάκνειν, δάκνεσθαι πρότερος, εἰ τούτῳ δοκεῖ,
τἄπη, τὰ μέλη, τὰ νεῦρα τῆς τραγῳδίας,
καὶ, νὴ Δία, τὸν Πηλέα τε, καὶ τὸν Αἴολον,
καὶ τὸν Μελέαγρον, κἄτι μάλα τὸν Τήλεφον.
Δι. σὺ δὲ δὴ τί βουλεύει ποιεῖν; λέγ' Αἰσχύλε.
Αι. ἐβουλόμην μὲν ἂν οὐκ ἐρίζειν ἐνθάδε.
οὐκ ἐξ ἴσου γάρ ἐστιν ὠ'γὼν νῷν.

rire; *ubi κεφαλαίῳ adjective sumitur pro* grandi et duro, ἀδρῷ, crasso, *ut Schol.* Jo. Alberti Observatt. Philol. in N. T. p. 179.

857. ἔλεγχ', ἐλέγχου. Sic codd. omnes. Glossa in C. D. ἔλεγχ' αὐτὸν, ἐλέγχου παρ' αὐτοῦ. Pars glossæ in contextus seriem illata in B. ἔλεγχ' ἐλέγχου παρ' αὐτοῦ. Nostram lectionem habent vett. editt. unde illam bene revocavit Berglerus. Nescio unde in recentiorum quasdam venerit ἔλεγχ' ἐλέγχους. Ad hæc ἔλεγχ' ἐλέγχου referuntur mox sequentia Euripidis: ἕτοιμός εἰμι δάκνειν, δάκνεσθαι.

λοιδορεῖσθαι δ' οὐ πρέπει. Cod. οὐ θέμις.

861. εἰ τούτῳ δοκεῖ. Perperam in B. τοῦτο. Vide ad Thesm. 428.

863. Πηλέα disyllabum est. Vide supra ad v. 76.

866. Vulgo legitur: ἐβουλόμην μὲν οὐκ ἐρίζειν ἐνθάδε: verbis manifestum poëtæ sensum non referentibus. Particulam ἂν omisit librariorum socordia, quod iis solemne fuisse novimus. Eam desiderari vidit quidem Dawesius; sed pro μὲν reponendo ἂν poëtæ manum non restituit. Utraque retinenda particula. En fidejussorem meæ emendationis ipsum Comicum. Conc. 151.

ἐβουλόμην μὲν ἕτερον ἄν τῶν ἠθάδων
λέγειν τὰ βέλτισθ', ἵν' ἐκαθήμην ἥσυχος.

Ad eundem modum hic legendum:

ἐβουλόμην μὲν ἂν οὐκ ἐρίζειν ἐνθάδε.

Nullo partium studio ductus optimus Burgessius, quo cordatiorem novi neminem, ad tuendam contra Dawesium vulgatam lectionem duo Sophoclis advocat loca, quorum alter alieno sensu acceptus est, alter in mendo cubat, quod olim ostendam.

867. Vulgo sic legitur hic versus:

οὐκ ἐξ ἴσου γάρ ἐστιν ἀγὼν νῷιν.—τιή;

duplici menda. Primo νῷιν, σφῷιν disyllaba poëtis Atticis prorsus sunt inusitata, quod post alios observavi ad Æschyli Prom. 12. In membr. scriptum ἀγὼν νῷν, claudicante metro. Nam in ἀγὼν prima semper corripitur, quæ etiamsi anceps esset, quod falso crediderunt viri quidam docti, non tamen hic salva linguæ indole sine articulo stare hoc nomen posset, quum de certo et definito certamine sermo sit. Nihil verius est Dawesii emendatione:

οὐκ ἐξ ἴσου γάρ ἐστιν ὠ'γὼν νῷν.

Δι. τί δαί;
Αι. ὅτι ἡ ποίησις οὐχὶ συντέθνηκέ μοι·
τούτῳ δὲ συντέθνηκεν, ὥσθ' ἕξει λέγειν.
ὅμως δ', ἐπειδή σοι δοκεῖ, δρᾷν ταῦτα χρή.
Δι. ἴθι νυν λιβανωτὸν δεῦρό τις καὶ πῦρ δότω,
ὅπως ἂν εὔξωμαι πρὸ τῶν σοφισμάτων,
ἀγῶνα κρῖναι τόνδε μουσικώτατα·
ὑμεῖς δὲ ταῖς Μούσαις τι μέλος ὑπᾴσατε.
Χο. ὦ Διὸς ἐννέα παρθένοι ἁγναὶ

Sæpissime librarii ὠ'γὼν in ἀγὼν mutarunt, quod ad Euripidis Or. 857. observavimus. In ejusd. poëtæ Heracl. 724. scribendum:

ὡς ἐγγὺς ὠ'γὼν, καὶ μάλιστ' Ἄρης στυγεῖ—

Pro τιὴ in membr. scriptum τί δαί; Hesychius: τί δαί. διατὶ δή. Ejusdem significationis est τιή.

868. ὅτι ἡ ποίησις. Sic distincte scriptum in A. C. Perperam vulgo ὁτιὴ ποίησις. Glossa in meo ad ὁτιὴ, διότι: ad ποίησις, ἡ. Scilicet indicare voluit glossator articulum subintelligi, quem abesse non patitur sermonis ingenium. Hoc sensit quidem Dawesius: sed perperam emendavit ὅθ' ἡ ποίησις. Observavi ad Lys. 611. ultimam in ὅτι nunquam elidi. Vide infra ad 922. 1386.

870. ὅμως δ', ἐπειδὴ—Sic bene A. C. Perperam vulgo particula δὲ omissa, quæ alteri μὲν respondet v. 866.

873. κρῖναι τόνδε. In B. τοῦτον. Sæpe commutarunt librarii ista pronomina.

874. τι μέλος ὑπᾴσατε. Sic tres Regii, ut perite Kusterus legendum esse censuit. Meus ἐπάσατε, eodem errore, qui supra notatus ad v. 366. Vulgo προσᾴσατε. Etymol. M. auctor p. 782. l. 4. ὑπόγραμμος, πρόγραμμός τις ὤν. ἡ γὰρ ΥΠΟ ἀντὶ τῆς ΠΡΟ, ὡς καὶ ἐν Βατράχοις Ἀριστοφάνης·

ὑμεῖς δὲ ταῖς Μούσαις τι μέλος ὑπᾴσατε, ἀντὶ τοῦ προᾴσατε. Ex hac observatione supplendum et emendandum esse Scholiastem Comici recte monuit Kusterus.

Olim glossa erat προᾴσατε, quæ in textum primo invecta, postmodum depravata fuit et mutata in προσᾴσατε. *Neque hic tantum factum ut Scholium vocis authenticæ locum in textu occupaverit: sed et alibi non semel labes hæc Comicum nostrum invasit, ut suis locis lectorem monemus.* Sic ait Kusterus in nota ad hunc locum, scite et prudenter, ut plerisque videbatur: sed videbatur tantum; res autem aliter se habet. Nempe nondum excogitatum fuerat invictum illud argumentum, cujus disertissimo Eruditorum Diarii scriptori habeant gratiam referantque vulgatorum textuum propugnatores. Non enim unica est hujus generis interpolatio, quam non tueantur, sic cavillantes, vel, ut ait Noster, στρεβλοῖσι παλαίσμασιν ἀντιλογοῦντες: *Nous ne concevons pas bien comment ces gloses ont pu influer sur l'erreur dont il s'agit; mais il est fort aisé de comprendre qu' à l'aide d'une resource de cette nature on ne doit jamais se trouver dans l'embarras.* Journal des Sçavans, Nov. 1780. p. 719.

ὑπᾴσατε. Perperam cod. sed vero proprius ἐπᾴσατε, ut est in meo. ὑπὸ in compositione sæpe tantumdem valet ac πρό. Vide primarii viri notas et animadv. ad Ammonium in ὑπάγειν. Sic Reiskius ὑπολαβὼν accipit in Æschinis Or. c. Timarchum p. 51.

875. ὦ Διὸς—Sic tres Regii. Vulgo omissum ὦ.

Μοῦσαι, λεπτολόγους ξυνετὰς φρένας αἳ καθορᾶτε
ἀνδρῶν γνωμοτύπων, ὅταν εἰς ἔριν ὀξυμερίμνοις
ἔλθωσι στρεβλοῖσι παλαίσμασιν ἀντιλογοῦντες,
ἔλθετ' ἐποψόμεναι δύναμιν
δεινοτάτοιν στομάτοιν·
πορίσασθε ῥήματα,
καὶ παραπρίσματ' ἐπῶν.
νῦν γὰρ ἀγὼν σοφίας
ὅδε μέγας χωρεῖ πρὸς ἔργον ἤδη.
Δι. εὔχεσθε δὴ καὶ σφώ τι, πρὶν τἄπη λέγειν.
Αι. Δήμητερ, ἡ θρέψασα τὴν ἐμὴν φρένα,
εἶναί με τῶν σῶν ἄξιον μυστηρίων.
Δι. ἐπίθες λαβὼν δὴ καὶ σὺ λιβανωτόν.
Ευ. καλῶς.
ἕτεροι γάρ εἰσιν, οἷσιν εὔχομαι, θεοί.
Δι. ἴδιοί τινές σοι, κόμμα καινόν;
Ευ. καὶ μάλα.
Δι. ἴθι νυν προσεύχου τοῖσιν ἰδιώταις θεοῖς.
Ευ. αἰθὴρ, ἐμὸν βόσκημα, καὶ γλώσσης στρόφιγξ,
ξύνεσίς τε, καὶ μυκτῆρες ὀσφραντήριοι,
ὀρθῶς μ' ἐλέγχειν, ὧν ἂν ἅπτωμαι λόγων.
Χο. καὶ μὴν ἡμεῖς ἐπιθυμοῦμεν
παρὰ σοφοῖν ἀνδροῖν ἀκοῦσαι τινὰ λόγων

878. *στρεβλοῖσι παλαίσμασιν.* Vulgo inserta copula τε, quæ nulla ratione locum hic habere potest. Eam non agnoscunt A. C. additamentum est scioli, qui pessimum ad modum versus digessit, ut eos impressi exhibent.

882. *καὶ παραπρίσματ' ἐπῶν.* Quam opportune hic iv. codd. exhibent copulam, eam impressi perperam omittunt.

883. *ἀγὼν σοφίας ὅδε μέγας.* Optima hæc est vocum collocatio in iv. codd. Vulgo *ἀγὼν ὅδε σοφίας*, metrici rursus interpolatione. Primus hujus commatis versus dimeter est anapæsticus: qui sequuntur omnes dactylici sunt, præter ultimum qui est trochaicus.

886. Æschylus Eleusinius erat: quapropter Cererem invocat.

888. *καλῶς.* Id est, *μηδαμῶς.* Adverbium est negandi cum *εὐφημισμῷ*, ut Latinis *recte*, quo sæpissime utuntur Comici hac significatione, vel pro *nihil.* Vide supra ad v. 508.

889. *εἰσιν εὔχομαι, θεοί.* Sic membr. Vulgo *οἷσιν εὔχομαι θεοῖς.*

890. Confer not. ad Thesm. 451.

893. *ξύνεσίς τε, καὶ μυκτῆρες.* Vulgo, ruente metro, *καὶ ξύνεσις καὶ μυκτῆρες.* Dawesius emendat *καὶ ξύνεσι καὶ*—Nostra lectio modulatior est.

ἐμμέλειαν, ἐπί τε δαΐαν ὁδόν.
γλῶσσα μὲν γὰρ ἠγρίωται·
λῆμα δ' οὐκ ἄτολμον ἀμφοῖν, οὐδ' ἀκίνητοι φρένες.
προσδοκᾶν οὖν εἰκός ἐστι
τὸν μὲν ἀστεῖόν τι λέξειν καὶ κατεῤῥινημένον·
τὸν δ' ἀνασπῶντ' αὐτοπρέμνοις
τοῖς λόγοισιν ἐμπεσόντα
συσκεδᾶν πολλὰς ἀλινδήθρας ἐπῶν.
Δι. ἀλλ' ὡς τάχιστα χρὴ λέγειν· οὕτω δ', ὅπως ἐρεῖτον
ἀστεῖα, καὶ μήτ' εἰκόνας, μήθ' οἷ' ἂν ἄλλος εἴποι.
Ευ. καὶ μὴν ἐμαυτὸν μέν γε, τὴν ποίησιν οἷός εἰμι,
ἐν τοῖσιν ὑστάτοις φράσω· τοῦτον δὲ πρῶτ' ἐλέγξω,
ὡς ἦν ἀλαζὼν καὶ φέναξ, οἵοις τε τοὺς θεατὰς
ἐξηπάτα, μωροὺς λαβὼν παρὰ Φρυνίχῳ τραφέντας.
πρώτιστα μὲν γὰρ δῆθ' ἕνα τιν' ἐκάθισεν ἐγκαλύψας,
Ἀχιλλέα τιν', ἢ Νιόβην, τὸ πρόσωπον οὐχὶ δεικνὺς,
πρόσχημα τῆς τραγῳδίας, γρύζοντας οὐδὲ τουτί.
Δι. μὰ τὸν Δί', οὐ δῆθ'.
Ευ. ὁ δὲ χορός γ' ἤρειδεν ὁρμαθοὺς ἂν
μελῶν ἐφεξῆς τέτταρας ξυνεχῶς ἄν· οἱ δ' ἐσίγων.
Δι. ἐγὼ δ' ἔχαιρον τῇ σιωπῇ, καί με τοῦτ' ἔτερπεν
οὐχ ἧττον, ἢ νῦν οἱ λαλοῦντες.
Ευ. ἠλίθιος γὰρ ἦσθα,
σάφ' ἴσθι.
Δι. κἀμαυτῷ δοκῶ. τί δὲ ταῦτ' ἔδρασ' ὁ δεῖνα;
Ευ. ὑπ' ἀλαζονείας, ἵν' ὁ θεατὴς προσδοκῶν καθοῖτο,

897. *ἐπί τε δαΐαν ὁδόν.* Subauditur verbum ἐλθεῖν vel simile. In meo codice scriptum ἔπιτε, cum glossa ἐπέλθετε, quæ etiam est in C. licet ibi scriptum sit ἐπί τε.

911. In A. C. *πρώτιστα μὲν γὰρ ἕνα τινα κάθισεν.* In meo *πρώτιστα μὲν γὰρ δή γ' ἕνα τινα κάθισεν.* Melius in B. *γὰρ δῆτα ἕνα*—unde veram lectionem reconcinnavi:

πρώτιστα μὲν γὰρ δῆθ' ἕνα τιν' ἐκάθισεν.

Nauci non est vulgatum δή γ' ἕνα.

919. *ἵν' ὁ θεατὴς προσδοκῶν καθοῖτο.* Sic tres Regii. Meus, ut vulgo, καθῆτο. Bona est utraque lectio. ἵνα, ὡς, ὅπως cum indicativo legitime construi observavi post alios multos ad Æschyli Prom. 155. Euripidis Phœn. 214. Apollonium i. 281. Vide Pacis v. 136. Menandri fragm. e Nauclero apud Athenæum p.

ὁπόθ' ἡ Νιόβη φθέγξαιτο δή· τὸ δρᾶμα δ' ἂν διῄει.
Δι. ὦ παμπόνηρος, οἷ' ἄρ' ἐφενακιζόμην ὑπ' αὐτοῦ.
τί σκορδινᾷ καὶ δυσφορεῖς;
Ευ. ὅτι αὐτὸν ἐξελέγχω.
κᾄπειτ', ἐπειδὴ ταῦτα ληρήσειε, καὶ τὸ δρᾶμα
ἤδη μεσοίη, ῥήματ' ἂν βόεια δώδεκ' εἶπεν,
ὀφρῦς ἔχοντα καὶ λόφους, δεῖν' ἄττα μορμορωπὰ,
ἀγνῶτα τοῖς θεωμένοις.
Αι. οἴμοι τάλας.
Δι. σιώπα.
Ευ. σαφὲς δ' ἂν εἶπεν οὐδὲ ἕν.
Δι. μὴ πρῖε τοὺς ὀδόντας.
Ευ. ἀλλ' ἢ Σκαμάνδρους, ἢ τάφρους, ἢ 'π' ἀσπίδων ἐπόντας
γρυπαιέτους χαλκηλάτους, καὶ ῥήμαθ' ἱππόκρημνα,
ἃ ξυμβαλεῖν οὐ ῥᾴδιον ἦν.
Δι. νὴ τοὺς θεοὺς, ἔγωγ' οὖν
ἤδη ποτ' ἐν μακρῷ χρόνῳ νυκτὸς διηγρύπνησα,
τὸν ξουθὸν ἱππαλεκτρυόνα ζητῶν, τίς ἐστιν ὄρνις.
Αι. σημεῖον, ὂν ταῖς ναυσὶν, ὦ 'μαθέστατ', ἐνεγέγραπτο.
Δι. ἐγὼ δὲ τὸν Φιλοξένου γ' ᾤμην Ἔρυξιν εἶναι.
Ευ. εἶτ' ἐν τραγῳδίαις ἐχρῆν κᾀλεκτρυόνα ποιῆσαι;
Αι. σὺ δ', ὦ θεοῖσιν ἐχθρὲ, ποῖά γ' ἐστὶν, ἅττ' ἐποίεις;

166. Euripidis fragm. ex Inone vii. ubi lapsus est latinus interpres: ne plura excitem loca. Alteram ob consensum Reg. Codd. prætuli. Vide ad Lys. 149.

922. ὅτι αὐτόν. Vulgo ὅτ' αὐτόν. In iv. codd. scriptum ὅτι: mendose in C. ὅτι ἑαυτόν. Vide ad Lys. 611. et supra 868.

925. δεῖν' ἄττα. Sic bene novissima Batava. Priores perperam δεῖν' αττα. In membr. δεινάττα conjunctim et una voce, quod Dawesii suspicionem confirmare possit de voce ἄττα p. 302.

931. Parodia est versuum Euripidis in Hippolyto 378.

ἤδη ποτ' ἄλλως νυκτὸς ἐν μακρῷ χρόνῳ
θνητῶν ἐφρόντισ' ᾗ διέφθαρται βίος.

Confer Equit. 1290. ubi Euripidea illa loquendi forma rursus deridetur.

933. σημεῖον, ὂν ταῖς ναυσὶν ἐνεγέγραπτο. Vulgo σημεῖον ἐν ταῖς—Marklandi emendationem recepi, quem vide ad Eurip. Suppl. 109.

934. De Philoxeno Eryxidis filio, qui filium ipse habuit patri suo, ut Græi erat mos, cognominem, videndus Perizonius ad Æliani V. H. x. 9.

936. ποῖά γ' ἐστὶν, ἅττ' ἐποίεις; Sic membr. Vulgo inconcinne ποῖ' ἅττ' ἐστὶν ἅττ' ἐποίεις;

Ευ. οὐχ ἱππαλεκτρυόνας μὰ Δί', οὐδὲ τραγελάφους, ἅπερ σύ,
ἃ 'ν τοῖσι παραπετάσμασιν τοῖς Μηδικοῖς γράφουσιν.
ἀλλ' ὡς παρέλαβον τὴν τέχνην παρὰ σοῦ τοπρῶτον εὐθὺς
οἰδοῦσαν ὑπὸ κομπασμάτων, καὶ ῥημάτων ἐπαχθῶν,
ἴσχνανα μὲν πρώτιστον αὐτὴν, καὶ τὸ βάρος ἀφεῖλον,
ἐπυλλίοις, καὶ περιπάτοις, μικροῖς τε τευτλίοισι,
χυλὸν διδοὺς στωμυλμάτων, ἀπὸ βιβλίων ἀπηθῶν·
εἶτ' ἀνέτρεφον μονῳδίαις, Κηφισοφῶντα μιγνύς·
εἶτ' οὐκ ἐλήρουν ὅ τι τύχοιμ', οὐδ' ἐμπεσὼν ἔφυρον·
ἀλλ' οὐξιὼν πρώτιστα μέν μοι τὸ γένος εἶπεν εὐθὺς
τοῦ δράματος.
Δι. κρεῖττον γάρ ἦν σοι, νὴ Δί', ἢ τὸ σαυτοῦ.
Ευ. ἔπειτ' ἀπὸ τῶν πρώτων ἐπῶν, οὐδὲν παρῆκ' ἂν ἀργόν·
ἀλλ' ἔλεγεν ἡ γυνή τ' ἐμοὶ, χὠ δοῦλος οὐδὲν ἧττον,
χὠ δεσπότης, χ' ἡ παρθένος, χ' ἡ γραῦς ἄν.
Αι. εἶτα δῆτα
οὐκ ἀποθανεῖν σε ταῦτ' ἐχρῆν τολμῶντα;
Ευ. μὰ τὸν Ἀπόλλω·
δημοκρατικὸν γὰρ αὔτ' ἔδρων.
Δι. τοῦτο μὲν ἔασον, ὦ 'τάν.
οὐ σοι γάρ ἐστι περίπατος κάλλιστα περί γε τούτου.

938. παραπετάσμασιν. Sic scribendum erat, ne versus claudicaret. Vulgo ν in fine omissum.

939. τοπρῶτον εὐθύς. Vulgo τοπρῶτον μὲν εὐθὺς, syllaba ultra numerum excurrente. Spurium est μὲν, quod ne syntaxis quidem hic admittit. In A. et C. παρὰ σοῦ πρῶτον εὐθύς. In meo παρὰ σοῦ πρῶτον μὲν εὐθύς. Pejus omnium B. τὴν τέχνην πρῶτον μὲν εὐθύς. A vero aberrare non sinebat lex metri.

942. μικροῖς τε τευτλίοισι. Aurium solum judicium secutus vocum ordinem inverti: vulgo καὶ τευτλίοισι μικροῖς.

943. ἀπὸ βιβλίων ἀπηθῶν. Sic C. D. In Aldina ἀπήθων, quod nihil aliud est quam vulgatum in sequentibus omnibus editt. ἀπ' ἠθῶν. Nostram lectionem agnoscit etiam Scholiastes, et auctor Etymol. M. in ἠθμὸς, p. 422. l. 37.

946. πρώτιστα μέν μοι. Perperam B. D. μέντοι.

947. κρεῖττον γάρ. Hæc vulgo Æschylo tributa, melius, meo judicio, in B. adscripta sunt Baccho, quem in tota hac scena scurriliter jocantem, Euripidemque amariori sale defricantem inducit Comicus.

951. ταῦτ' ἐχρῆν. Sic bene meus. Vulgo ταῦτα χρῆν. In A. C. οὐκ ἀποθανεῖν σε δεῖ ταῦτα τολμῶντα. Immo in A. τοιαῦτα. In B. οὐκ ἀποθανεῖν σε χρῆν ταῦτα τολμῶντα.

952. τοῦτο μὲν ἔασον. Vulgo τουτὶ— Illud præferunt tres codd. In C. τοῦτο μὲν οὖν ἔασον.

Ευ. ἔπειτα τουτουσὶ λαλεῖν ἐδίδαξα.
Δι. φημὶ κᾀγώ.
ὡς πρὶν διδάξαι γ', ὤφελες μέσος διαῤῥαγῆναι.
Ευ. λεπτῶν τε κανόνων ἐσβολὰς, ἐπῶν τε γωνιασμοὺς,
νοεῖν, ὁρᾷν, ξυνιέναι, στρέφειν, ἐρᾷν, τεχνάζειν,
κάχ' ὑποτοπεῖσθαι, περινοεῖν ἅπαντα.
Δι. φημὶ κᾀγώ.
Ευ. οἰκεῖα πράγματ' εἰσάγων, οἷς χρώμεθ', οἷς ξύνεσμεν,
ἐξ ὧν γ' ἂν ἐξηλεγχόμην· ξυνειδότες γὰρ οὗτοι,
ἤλεγχον ἄν μου τὴν τέχνην. ἀλλ' οὐκ ἐκομπολάκουν,
ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας, οὐδ' ἐξέπληττον αὐτοὺς,
Κύκνους ποιῶν καὶ Μέμνονας κωδωνοφαλαροπώλους.
γνώσει δὲ τοὺς τούτε τε κᾀμοῦ γ' ἑκατέρου μαθητάς.
τούτου μὲν οὖν Φορμίσιος, Μεγαίνετός θ' ὁ Μάνης,
σαλπιγγολογχυπηνάδαι, σαρκασμοπιτυοκάμπται·
οἱ 'μοὶ δὲ, Κλειτοφῶν τε, καὶ Θηραμένης ὁ κομψός.
Δι. Θηραμένης; σοφός γ' ἀνὴρ καὶ δεινὸς ἐς τὰ πάντα,
ὃς, ἢν κακοῖς που περιπέσῃ, καὶ πλησίον παραστῇ,
πέπτωκεν ἔξω τῶν κακῶν, οὐ Χῖος, ἀλλὰ Κῖος.

958. κάχ' ὑποτοπεῖσθαι. Sic divisim scriptum in B. D. In hoc glossa priori voci superscripta κακά. In A. C. κᾆθ' ὑποτοπεῖσθαι. Vulgo conjunctim καχυποτοπεῖσθαι, quod æque bonum esse possit. καχύποπτος ex Aristophane, καχυπονόητος e Platone enotavit Pollux ii. 57. Vulgatum agnoscere videtur Suidas. Sed veriorem lectionem esse reor eam, cujus vestigia servant codd. A. C. quamque tuetur auctor Etymol. M. p. 762. l. 15. τοπάζειν, τοχάζεσθαι, ὑπονοεῖν—καὶ καθυποτοπεῖσθαι, τὸ ἐπὶ (male vulgo ὑπὸ) τὸ χεῖρον ὑπονοεῖν. Sæpissime κᾆτα et κατὰ commutarunt librarii, quod suis locis observamus.

κάχ' ὑποτοπεῖσθαι. Sic divisim etiam hic cod. Gl. ὑπονοεῖν, ἐάν τις εἰς αὐτοὺς τεχνάσηται, quæ expositio iisdem verbis in vulgatis scholiis legitur.

964. ἑκατέρους μαθητάς. Sic tres Regii. Vulgo ἑκατέρου.

965. In A. C. τούτου μὲν Φορμίσιος. In B. D. τούτου μὲν ὁ Φ. utrique male. Nominis Φορμίσιος antepenultima producitur, ut constat e Conc. v. 97.—Μεγαίνετός θ' ὁ Μάνης. In membr. ὁ Μάγνης, quod verum est. Taxantur homines isti tanquam barbari. Glossa: ἀμφότεροι βάρβαροι. Μάνης autem est nomen servile, et apud Comicum nihil aliud quam *servum, famulum* notat.

967. οἱ 'μοὶ—Perperam Kusterus edidit οἱ ἐμοὶ—Priores editiones habent οὑμοὶ, ut et tres codd. In C. omisso male articulo ἐμοί. Vide ad v. 461.

970. οὐ Χῖος, ἀλλὰ Κῖος. Sic legendum, non, ut apud Eustathium ter ad minimum habetur, ἀλλὰ Κῷος, vel Κεῖος. Nulla hic allusio ad talorum jactum.

Ευ. τοιαῦτα μέντοι 'γω φρονεῖν
τούτοισιν εἰσηγησάμην,
λογισμὸν ἐνθεὶς τῇ τέχνῃ
καὶ σκέψιν, ὥστ' ἤδη νοεῖν
ἅπαντα, καὶ διειδέναι
τά τ' ἄλλα, καὶ τὰς οἰκίας
οἰκεῖν ἄμεινον ἢ προτοῦ,
κἀνασκοπεῖν· Πῶς τοῦτ' ἔχει;
Ποῦ μοι τοδί; Τίς τοῦτ' ἔλαβε;

Δι. νὴ τοὺς θεούς, νῦν γοῦν 'Αθη-
ναίων ἅπας τις εἰσιὼν
κέκραγε πρὸς τοὺς οἰκέτας,
ζητεῖ τε· Ποῦ 'στιν ἡ χύτρα;
Τίς τὴν κεφαλὴν ἀπεδήδοκεν
τῆς μαινίδος; Τὸ τρυβλίον
τὸ περυσινὸν τέθνηκ' ἐμοί·
Ποῦ τὸ σκόροδόν μοι τὸ χθεσινόν;
Τίς τῆς ἐλάας παρέτραγεν;
τέως δ' ἀβελτερώτεροι
κεχηνότες Μαμμάκυθοι,
Μελιτίδαι καθῆντο.

Proverbialis est locutio in versatilis ingenii hominem, qui rebus se accommodat et tempori servit, qui tanquam vespertilio in fabulis, modo mus est, modo volucris, prout illi usus venit, quique ad potiorem partem semper se convertit, ut est supra v. 538.

984. ἀπεδήδοκεν. Male vulgo ν finale omissum. In dimetris tam iambicis, quam trochaicis et anapæsticis ultima syllaba non est indifferens.

987. ποῦ τὸ σκόροδόν μοι τὸ χθεσινόν. Vulgo cum metri labe omissum est pronomen μοι, quod exhibent B. D.

988. ἐλάας. Sic bene, servato dialecti idiotismo, A. D. παρέτραγεν exhibent tres codd. Vulgo in hac voce peccatum, ut supra in ἀπεδήδοκε.

989. Hos versiculos sic exhibet codex.
τέως δ' ἀβελτερώτατοι
κεχηνότες Μαμμάκουθοι
Μελιτίδαι καθῆντο.

Estque hæc lectio maximam partem optima. Tribus in locis, ubi eosdem versus citat Suidas ἀβελτερώτατοι præfert. Superlativo, præter alia, favet aurium judicium.

991. Μελιτίδαι κάθηντο. Sic vulgo legitur hic versus:
καὶ Μελιτίδαι κάθηντο.

Importunum καί, male habent, ut vulgo, B. D. In Μέλιτος, Μελιτίδαι secunda syllaba producitur, quod in v. 1302. fuit observatum. Vide Suidam

Χο. τάδε μὲν λεύσσεις, φαίδιμ' Ἀχιλλεῦ·
σὺ δὴ τί, φέρε, πρὸς ταῦτα λέξεις; μόνον ὅπως
μή σ' ὁ θυμὸς ἁρπάσας
ἐκτὸς οἴσει τῶν ἐλαῶν·
δεινὰ γὰρ κατηγόρηκεν.
ἀλλ' ὅπως, ὦ γεννάδα,
μὴ πρὸς ὀργὴν ἀντιλέξεις,
ἀλλὰ συστείλας, ἄκροισι
χρώμενος τοῖς ἱστίοισιν,
εἶτα μᾶλλον, μᾶλλον ἄξεις,
καὶ φυλάξεις, ἡνίκ' ἂν τὸ
πνεῦμα λεῖον καὶ καθεστηκὸς λάβῃς.
ἀλλ', ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνὰ,
καὶ κοσμήσας τραγικὸν λῆρον, θαῤῥῶν τὸν κρουνὸν ἀφίει.

Αἰσχύλος.

θυμοῦμαι μὲν τῇ ξυντυχίᾳ, καί μου τὰ σπλάγχν' ἀγανακτεῖ,

in ἀβελτερώτατος, Βουταλίων, Μαμμάκουθος, ubi hi prolati versiculi, quorum ultimus omisso καὶ sic legitur, Μελιτίδαι κάθηνται. Et sic plane scriptum est in A. C. sed tempus imperfectum sententia postulabat.

992. τάδε μὲν—Sic scriptum est in libris omnibus. iv. codd. habent τάδε μὲν λεύσεις, male, siquidem verbum est in tempore præsenti. Frequens hic est librariorum error, de quo egi ad Apollonium i. 1307. Ex Æschyli Myrmidonibus sumtus hic versus, quem cum duobus aliis profert Harpocratio in προπεπωκότες, ἀντὶ τοῦ προδεδωκότες—ἐν ἀρχῇ δὲ τῶν Μυρμιδόνων Αἰσχύλος·

> τάδε μὲν λεύσσεις, φαίδιμ' Ἀχιλλεῦ,
> δοριλυμάντους Δαναῶν μόχθους,
> οὓς προπίνωκας κλισίας εἴσω—

λεύσσεις cod. perspicue.

Hic cod. etiam ἐλαῶν. Licet hic οἴσει recte exhibeat cum ὅπως μὴ constructum, paulo infra, quæ imperitorum librariorum est inconstantia, habet ἀντιλέξῃς, plane solœce.

995. ἐλαῶν. Sic A. C. et Thomas M. qui locum hunc profert in ἐλάα. Putabat Kusterus illam lectionem metro adversari: nempe ignorabat Atticorum α pro communi αι longum esse, ut in κλάειν, κλαίειν, qua de re videndus Piersonus ad Mœrin p. 231. Observes velim particulas ὅπως μὴ ad rectam loquendi normam hic cum futuro indicativi construi: tamen apud Scholiastam videbis ἐκτὸς οἴσῃ. De ratione quam sequuti sunt veteres satis constat: quis imperitos Græculos et librarios morabitur?

1001. μᾶλλον, μᾶλλον—Semel tantum in C. scriptum hoc adverbium.

1004. Ex hoc loco profecit Antipater Thessal. Epigr. lvii. quod, quia breve est, integrum adponam:

> Ὁ τραγικὸν φώνημα καὶ ὀφρυόεσσαν ἀοιδὴν
> πυργώσας στιβαρῇ πρῶτος ἐν εὐεπίῃ,
> Αἰσχύλος Εὐφορίωνος, Ἐλευσινίης ἑκὰς αἴης
> κεῖται, κυδαίνων σήματι Τρινακρίην.

εἰ πρὸς τοῦτον δεῖ μ' ἀντιλέγειν· ἵνα μὴ φάσκῃ δ' ἀμορεῖν με,
ἀπόκριναί μοι, τίνος οὕνεκα χρὴ θαυμάζειν ἄνδρα ποιητήν;

Εὐριπίδης.

δεξιότητος, καὶ νουθεσίας, ὅτι βελτίους τε ποιοῦμεν
τοὺς ἀνθρώπους ἐν ταῖς πόλεσιν.

Αἰσχύλος.

τοῦτ' οὖν εἰ μὴ πεποίηκας,
ἀλλ' ἐκ χρηστῶν καὶ γενναίων μοχθηροτάτους ἀπέδειξας,
τί παθεῖν φήσεις ἄξιος εἶναι;

Διόνυσος.

τεθνάναι. μὴ τοῦτον ἐρώτα.

Αἰσχύλος.

σκέψαι τοίνυν οἵους αὐτοὺς παρ' ἐμοῦ παρεδέξατο πρῶτον,
εἰ γενναίους, καὶ τετραπήχεις, καὶ μὴ διαδρασιπολίτας,
μήτ' ἀγοραίους, μήτε κοβάλους, ὥσπερ νῦν, μηδὲ πανούργους·
ἀλλὰ πνέοντας δόρυ, καὶ λόγχας, καὶ λευκολόφους τρυφαλείας,
καὶ πήληκας, καὶ κνημῖδας, καὶ θυμοὺς ἑπταβοείους.

Διόνυσος.

καὶ δὴ χωρεῖ τουτὶ τὸ κακόν· κρανοποιῶν αὖ μ' ἐπιτρίψει.

Εὐριπίδης.

σὺ τί δὴ δράσας αὐτοὺς οὕτως γενναίους ἐξεδίδαξας;

1008. Pro χρὴ cod. habet δεῖ, quæ verba sæpissime commutantur.

1009. νουθεσίας. Vocem hanc, tanquam minus Atticam, damnat Thomas M. Sed frustra est.

1013. τοίνυν οἵους. Sic tres codd. Insertam vulgo particulam solus agnoscit B. Vide supra ad 321.

1018. Primam hujus versus partem Euripidi, alteram Baccho tribuunt impressi, cui totum melius adscribunt membr.

Hic versus totus cum sequente Euripidi tributus est in cod. alter autem sic scriptus est, ut in Oxon. et Vatic.

καὶ σὺ τί δράσας οὕτως αὐτοὺς γενναίους ἐξεδίδαξας;

1019. Vulgo sic legitur hic versus, consentientibus tribus e meis codicibus.

καὶ σὺ τί δὴ δράσας, αὐτοὺς οὕτως ἀνδρείους ἐδίδαξας;

Quæ scriptura in legem commatum anapæsticorum offendit, quam si bis aut ter ad summum apud Comicum violatam reperias, aut ex ineluctabili necessitate id factum, aut labem contraxerunt a librariis hi versus, quos suis singulos locis examinabimus. In Vat cod. cujus collocationem habuit Kusterus, et in Oxoniensi cujus meminit Bentleius Epist. ad Millium p. 21. legitur:

καὶ σὺ τί δράσας οὕτως αὐτοὺς γενναίους ἐξεδίδαξας;

Διόνυσος.

Αἰσχύλε λέξον, μηδ' αὐθαδῶς σεμνυνόμενος χαλέπαινε.

Αἰσχύλος.

δρᾶμα ποίησας Ἄρεος μεστόν.

Διόνυσος.

ποῖον;

Αἰσχύλος.

τοὺς ΕΠΤ' ΕΠΙ ΘΗΒΑΣ.

ὃ θεασάμενος πᾶς ἄν τις ἀνὴρ ἠράσθη δάϊος εἶναι.

Διόνυσος.

τουτὶ μέν σοι κακὸν εἴργασται· Θηβαίους γὰρ πεποίηκας
ἀνδρειοτέρους εἰς τὸν πόλεμον· καὶ τούτου γ' οὕνεκα τύπτου.

Αἰσχύλος.

ἀλλ' ὑμῖν αὔτ' ἐξῆν ἀσκεῖν· ἀλλ' οὐκ ἐπὶ τοῦτ' ἐτράπεσθε.
εἶτα διδάξας τοὺς ΠΕΡΣΑΣ, κατὰ ταῦτ' ἐπιθυμεῖν ἐδίδαξα
νικᾷν αἰεὶ τοὺς ἀντιπάλους, κοσμήσας ἔργον ἄριστον.

Διόνυσος.

ἐχάρην γοῦν ἡνίκ' ἀπηγγέλθη ἂν περὶ Δαρείου τεθνεῶτος·

Eandem lectionem exhibet C. nisi quod pro *γενναίους* ibi est *ἀνδρείους*, quod e glossemate ortum videtur. *καὶ* et *δὴ* simul in versu stare non possunt: altrutra particula ejicienda erat: tametsi primam tuentur tres memorati codd. alteram, ut magis aptam, præfero. *καὶ* e præcedente versu male repetitum fuisse videtur. Animadvertendum est frequens librariorum peccatum in omittendis præpositionibus verborum compositorum, cujus plurima jam exempla ostenderunt hæ notæ. Vide ad Lys. 408.

1021. *ποῖον*; Interrogationem hanc Baccho tribuunt B. C. D. Euripidi vulgo adscripta est.

1023. *Θηβαίους πεποίηκας ἀνδρειοτέρους εἰς τὸν πόλεμον.* Glossa: *τῶν Ἀργείων, ὧν πολὺ κατὰ πόλεμον κλέος.* Æschylum vituperat Bacchus, quod in *Septem ad Thebas* dramate Thebanos fortiores Argivis exhibuerit, qui tamen bellica laude Thebanis sint multo clariores; sed alio sensu verba ista accipit Æschylus, inde occasionem sumens Athenienses carpere, ob neglectum bellicarum artium studium.

1025. *αὔτ'*—Glossa *τὰ πολεμικά.*

1026. *εἶτα διδάξας τοὺς Πέρσας μετὰ τοῦτ', ἐπιθυμεῖν ἐδίδαξα.* In hac quæ vulgo obtinet lectione observes velim *εἶτα* et *μετὰ τοῦτ'* esse quod mox Æschylo exprobrabitur *δὶς ταυτὸν εἰπεῖν.* In duobus codd. reperi *μετὰ ταῦτ'.* Notum est sæpe commutari *μετὰ* et *κατά*: inde ad meliorem et veram lectionem conjectura ductus fui:

εἶτα διδάξας τοὺς Πέρσας, κατὰ ταῦτ'
ἐπιθυμεῖν ἐδίδαξα.

1027. *νικᾷν αἰεί.* Sic membr. Reliqui *ἀεί.*

1028. Vulgo legitur, sine ulla metri forma:

ὁ χορὸς δ' εὐθὺς τὼ χεῖρ' ὡδὶ ξυγκρούσας εἶπεν, Ἰαυοῖ.

Αἰσχύλος.

ταῦτά γ' ἄρ' ἄνδρας χρὴ ποιητὰς ἀσκεῖν. σκέψαι γὰρ ἀπ' ἀρχῆς
ὡς ὠφέλιμοι τῶν ποιητῶν οἱ γενναῖοι γεγένηνται.
Ὀρφεὺς μὲν γὰρ τελετάς θ' ἡμῖν κατέδειξε, φόνων τ' ἀπέχεσθαι·
Μουσαῖος δ' ἐξακέσεις τε νόσων, καὶ χρησμούς· Ἡσίοδος δὲ
γῆς ἐργασίας, καρπῶν ὥρας, ἀρότους· ὁ δὲ θεῖος Ὅμηρος
ἀπὸ τοῦ τιμὴν καὶ κλέος ἔσχεν, πλὴν τοῦθ' ὅτι χρήσ' ἐδίδαξε,
τάξεις, ἀρετὰς, ὁπλίσεις ἀνδρῶν;

Διόνυσος.

καὶ μὴν οὐ Παντακλέα γε
ἐδίδαξεν ὅμως τὸν σκαιότατον· πρώην γοῦν, ἡνίκ' ἔπεμπεν,
τὸ κράνος πρῶτον περιδησάμενος, τὸν λόφον ἤμελλ' ἐπιδήσειν.

Αἰσχύλος.

ἀλλ' ἄλλους τοι πολλοὺς ἀγαθοὺς, ὧν ἦν καὶ Λάμαχος ἥρως·
ὅθεν ἡ 'μὴ φρὴν ἀπομαξαμένη πολλὰς ἀρετὰς ἐποίησεν
Πατρόκλων, Τεύκρων, Θυμολεόντων, ἵν' ἐπαίροιμ' ἄνδρα πολίτην

ἐχάρην γοῦν ἡνίκ' ἤκουσα περὶ Δαρείου τοῦ τεθνεῶτος.

Nihil differunt tres codd. e quibus fabulam hanc emendavi, nisi quod articulum *τοῦ* omittunt, et recte quidem. E conjectura reposueram:

ἐχάρην γοῦν ἡνίκ' ἐπήκουσ' ἂν περὶ Δαρείου τεθνεῶτος.

qua scriptura anapæsto saltem consultum erat. Sed nunc e cod. C. genuinam, quæ sua se simplicitate commendat, aptioremque multo lectionem profero.

Cod. *ἡνίκ' ἤκουσα περὶ Δαρείου τεθνεῶτος.* Optimam lectionem *ἡνίκ' ἀπηγγέλθη*, unicus dedit codex.

1030. *ταῦτά γ' ἄρ.* Vulgo *γὰρ*—

1035. *κλέος ἔσχεν.* Perperam vulgo *ἔσχε*, eadem menda, quæ in v. 362. Male inversus vocum ordo in iv. codd. *τιμὴν ἔσχε καὶ κλέος.* Sunt ejusmodi trajectiones in codd. frequentissimæ, quas ubi observarunt primi editores, voces ad metri legem collocarunt. Sed superarant hujus generis labes adhuc permultæ, quarum aliquot diligentiam meam fugerunt. Quum hisce forte diebus Vespas legerem, obstupui conspecto hoc versu, qui est illius fabulæ 247.

μή που λαθών τις ἡμᾶς ἐμποδὼν κακόν τι δράσῃ.

Veritus fui ne in me aliquid commeruissem mali: illico libros scriptos, impressos adii, in quibus omnibus voces eodem ordine collocatas deprehendi. Sed alias res agebam, dum illa describebam. In sensum enim incurrit legendum esse:

μή που λαθὼν ἡμᾶς τις ἐμποδὼν κακόν τι δράσῃ.

Recte voces in hoc cod. collocatæ: *ἀπὸ τοῦ τιμὴν καὶ κλέος ἔσχε.* Sed *ν* paragogicum metri lex requirit.

ἀντεκτείνειν αὐτὸν τούτοις, ὁπόταν σάλπιγγος ἀκούσῃ.
ἀλλ', οὐ μὰ Δί', οὐ Φαίδρας ἐποίουν πόρνας, οὐδὲ Σθενεβοίας·
οὐδ' οἶδ' εἰς ἥν τιν' ἐρῶσαν ἐγὼ πώποτ' ἐποίησα γυναῖκα.

Εὐριπίδης.

μὰ Δί', οὐ γὰρ ἐπῆν τῆς Ἀφροδίτης οὐδέν σοι.

Αἰσχύλος.

μηδέ γ' ἐπείη·
ἀλλ' ἐπὶ σοί τοι καὶ τοῖς σοῖσιν πολλὴ πολλοῦ 'πικαθοῖτο.
ὥστε γε καὐτόν σε κατ' οὖν ἔβαλεν.

Διόνυσος.

νὴ τὸν Δία τοῦτό γέ τοι δή.
ἃ γὰρ ἐς τὰς ἀλλοτρίας ἐποίεις, αὐτὸς τούτοισιν ἐπλήγης.

Εὐριπίδης.

καὶ τί βλάπτουσ', ὦ σχέτλι' ἀνδρῶν, τὴν πόλιν αἱ 'μαὶ Σθενέβοιαι;

Αἰσχύλος.

ὅτι γενναίας καὶ γενναίων ἀνδρῶν ἀλόχους ἀνέπεισας

1042. *ὁπόταν σάλπιγγος ἀκούσῃ.* Revocant ista mihi verba in memoriam locum Æschyli in S. Th. qui ad hunc diem menda inquinatus fuit. Est ubi de Tydeo Nuntius ad Regem refert, v. 394.

μάχης δ' ἐρῶν,
ἵππος χαλινῶν ὣς κατασθμαίνων, μένει,
ὅστις βοὴν σάλπιγγος ὁρμαίνει μένων.

Quis *μένει*, *μένων* duorum continuorum in senariorum fine a poëta esse credat? Scripserat ille procul dubio:

ὅστις βοὴν σάλπιγγος ὁρμαίνει κλύων.

Virgil. Georg. iii. 83.

Tum, si qua sonum procul arma dedere,
stare loco nescit—

1044. *οὐδ' οἶδ' εἰς ἥν τιν' ἐρῶσαν ἐγὼ πώποτ' ἐποίησα γυναῖκα.* Sic optime A. C. ut Vat. cod. Kustero adhibitus. Perperam vulgo *ἥν τιν' ἂν ἐρῶσαν πώποτ'*, tribrachy pro pede quatuor temporum posito.

1047. *ὥστε γε καὐτόν σε κατ' οὖν ἔβαλεν.* Sic membr. ut Vatic. cod. Tmesis est: *ὥστε γ' οὖν καὶ αὐτόν σε κατέβαλεν.* Vulgo *κάτω 'νέβαλεν*, quod levi manu Valckenarius emendat ad Hippol. 934. *κάτω γ' ἔβαλεν.* Sed codicum lectionem præfero. In C. *κατουνέβαλεν.* Glossa *μεμοίχευσαι γὰρ τὴν γυναῖκα.*

Conjunctim scriptum in cod. *κατουνέβαλε.*

1050. *ὅτι γενναίας καὶ γενναίων ἀνδρῶν ἀλόχους.* Sic bene iv. codd. quibus accedit Vatic. Perperam primariæ editt. *γενναίους καὶ γενναίων.* Pejus Phil. Junta, unde reliqui sumserunt *γενναίους καὶ γενναίας.* In proclivi tamen erat errorem Aldinæ editionis corrigere.

Eadem codicis hujus scriptura est, quæ ceterorum, quam in textu repræ-

κώνεια πιεῖν, αἰσχυνθείσας διὰ τοὺς σοὺς Βελλεροφόντας.

Εὐριπίδης.

πότερον δ' οὐκ ὄντα λόγον τοῦτον περὶ τῆς Φαίδρας ξυνέθηκα;

Αἰσχύλος.

μὰ Δί', ἀλλ' ὄντ'. ἀλλ' ἀποκρύπτειν χρὴ τὸ πονηρὸν τόν γε ποιητὴν,
καὶ μὴ παράγειν, μηδὲ διδάσκειν. τοῖς μὲν γὰρ παιδαρίοισιν
ἔστι διδάσκαλος, ὅστις φράζει· τοῖς δ' ἡβῶσίν γε ποιηταί.
πάνυ δὴ δεῖ χρηστὰ λέγειν ἡμᾶς.

Εὐριπίδης.

ἢν οὖν σὺ λέγῃς Λυκαβηττοὺς,
καὶ Παρνασῶν ἡμῖν μεγέθη, τοῦτ' ἐστὶ τὸ χρηστὰ διδάσκειν,
ὃν χρὴ φράζειν ἀνθρωπείως;

Αἰσχύλος.

ἀλλ', ὦ κακόδαιμον, ἀνάγκη
μεγάλων γνωμῶν καὶ διανοιῶν ἴσα καὶ τὰ ῥήματα τίκτειν.
κἄλλως εἰκὸς τοὺς ἡμιθέους τοῖς ῥήμασι μείζοσι χρῆσθαι.
καὶ γὰρ τοῖς ἱματίοις ἡμῶν χρῶνται πολὺ σεμνοτέροισιν.
ἁ'μοῦ χρηστῶς καταδείξαντος διελυμήνω σύ.

Εὐριπίδης.

τί δράσας;

Αἰσχύλος.

πρῶτον μὲν τοὺς βασιλεύοντας ῥάκι' ἀμπίσχων, ἵν' ἐλεινοὶ

sentavimus. Seq. v. male habet πίνειν.

1051. κώνεια πιεῖν. Sic recte membr. ut Vat. cod. Vulgo πίνειν cum versus labe. Prima in πίνειν producitur. Sed quis hoc ignorat? quis ut tales eluat mendas codicum exspectet adsensum. Quis unquam credat Berglerum, virum non indoctum, si ipse edendi Aristophanis curam suscepisset, has sordes in textu relicturum fuisse, postquam genuinæ lectiones e veteri bonoque codice in Kusteri notis prolatæ fuerant?

1057. Παρνασῶν, unico σ. Sic iv. codd. et primariæ editt. recte. Sic etiam in Poëtarum Latinorum accuratis editionibus semper legitur. Virgil. Ecl. x. 11.

Nam neque Parnasi vobis juga, nam
neque Pindi—

1062. ἁ'μοῦ, ἃ ἐμοῦ. Duæ vocales per crasin in unam coalescunt, ut produci possit, metro ita flagitante. Per-

τοῖς ἀνθρώποις φαίνοιντ' εἶναι.

Εὐριπίδης.

τοῦτ' οὖν ἔβλαψα; τί δράσας;

Αἰσχύλος.

οὐκ οὖν ἐθέλει γε τριηραρχεῖν πλουτῶν οὐδεὶς διὰ ταῦτα,
ἀλλ' ἐν ῥακίοις περιειλόμενος κλάει, καὶ φησὶ πένεσθαι.

Διόνυσος.

νὴ τὴν Δήμητρα, χιτῶνά γ' ἔχων οὔλων ἐρίων ὑπένερθε·
κἂν ταῦτα λέγων ἐξαπατήσῃ, παρὰ τοὺς ἰχθῦς ἀνέκυψεν.

peram in vett. editt. excusum ἃ 'μοῦ: pejus in Kusteriana ἃ ἐμοῦ.

1063. *ῥάκι' ἀμπίσχων, ἵν' ἐλεινοὶ*— Vulgo legitur ἐλεεινοὶ, syllaba ultra numerum excurrente, ita ut octonarius sit acatalecticus, quo metro Aristophanem nunquam usum fuisse, nec ullum poëtam constat. Jam typis descripta erat hæc fabula, versu sic emendato, quum harum, quibus otium nostrum impendimus, literarum decus et columen DAVID RUHNKENIUS donum mihi misit pretiosissimum, Homericum in Cererem Hymnum, quem præter omnem exspectationem e tenebris Moscuæ erutum ab erudito Germano, egregio illustratum commentario, plaudentibus Musis, in lucem edidit vir præstantissimus. Ibi eandem formam, eodem quo usus sum jure, *licentiam* dixerit Flos Criticorum nostrorum, restituit in hoc versu :

τοῦ δὲ κασίγνηται φωνὴν ἐσάκουσαν ἐλεινήν,

ubi, ut hic codd. apud Comicum exhibent ἐλεεινοὶ, Moscuensis cod. habet ἐλεεινήν. Versus est integræ editionis 283. ad quem formam hanc adstructam videas. In heroico illo versu, sicut in Comici anapæsto, quin ea reponeretur, nulla erat causa : in Sophoclis allegato senario, Philoct. 870.

τλῆναί σ' ἐλεινῶς ὧδε τἀμὰ πήματα.

aliisque ubi occurrit, non ita manifesta causa est, quod alibi expendemus.

1064. *φαίνοιντ' εἶναι.* In A. B. φαίνονται εἶναι. In C. φαίνωνται εἶναι. Vulgo φαίνωντ' εἶναι. Sermonis indoles optativum flagitat, quo pacto vitatur etiam diphthongi elisio. In meo cod. hic versus et præcedens omissi sunt. Scripto v. 1062. librarius deflexit oculos ad alterum τί δράσας in fine v. 1064. et intermedia omisit; quod sæpissime contigit.—τοῦτ' οὖν ἔβλαψα; τί δράσας; Aliter locum hunc accipit Reiskius, sublato interrogandi signo post ἔβλαψα, hac constructione, τοῦτο οὖν δράσας τί ἔβλαψα; meo judicio, melius. Præstaret adhuc τοῦτ' οὖν ἔβλαψά τι δράσας; *Numquid ergo hoc facto damni dedi?*

1065. *τριηραρχία* munus erat publicum, civibus pro facultatum censu impositum. Qui illud declinare volebant, pauperes se esse causabantur. Vide in hanc rem Petitum de Leg. Att. p. 355. seqq.

1068. *παρὰ τοὺς ἰχθῦς.* Vide ad Lys. 557. Perspicue in iv. meis codd. παρὰ, scriptum, non περί. Illud agnoscit etiam Scholiastes, siquidem in vocum textus expositione sic habet : παρὰ τοὺς ἰχθῦς ἀνέκυψε.] παρὰ τὰ ἰχθυοπώλια. Quod autem Kusterus ait in Vat. cod. esse περὶ τοὺς ἰχθῦς, id fide illius nititur, qui in ejus usum varietates illius codicis excerpsit. Probabile est eum deceptum fuisse nota compendiaria librariis adhiberi solita pro πα-

Αἰσχύλος.

εἶτ' αὖ λαλιὰν ἐπιτηδεῦσαι, καὶ στωμυλίαν ἐδίδαξας,
ἣ 'ξεκένωσεν τάς τε παλαίστρας, καὶ τὰς πυγὰς ἐνέτριψε
τῶν μειρακίων στωμυλλομένων, καὶ τοὺς παράλους ἀνέπεισεν
ἀνταγορεύειν τοῖς ἄρχουσιν. καίτοι τότε γ', ἡνίκ' ἐγὼ 'ζων,
οὐκ ἠπίσταντ' ἄλλ', ἢ μᾶζαν καλέσαι, καὶ Ῥυππαπαὶ εἰπεῖν.

Διόνυσος.

νὴ τὸν Ἀπόλλω, καὶ προσπαρδεῖν γ' ἐς τὸ στόμα τῷ θαλάμακι,
καὶ μινθῶσαι τὸν ξύσσιτον, κἀκβὰς τινὰ λωποδυτῆσαι·
νῦν δ' ἀντιλέγει, κοὐκέτ' ἐλαύνει,
καὶ πλεῖ δευρὶ, καὖθις ἐκεῖσ' αὖ.

Αι. ποίων δὲ κακῶν οὐκ αἴτιος ἔστ';
οὐ προαγωγοὺς κατέδειξ' οὗτος,
καὶ τικτούσας ἐν τοῖς ἱεροῖς,
καὶ μιγνυμένας τοῖσιν ἀδελφοῖς,
καὶ φασκούσας οὐ ζῆν τὸ ζῆν;
κᾆτ' ἐκ τούτων ἡ πόλις ἡμῶν
ὑπὸ γραμματέων ἀνεμεστώθη,

ρὰ, tenuissimo discrimine ab ea differente, qua περὶ pingebant, quod observavi ad Eurip. Phœn. 893. παρὰ cum accusativo tam in motus significatione, quam absque ea construitur. Vide quæ notavi ad Apollonium ii. 496. p. 76. et 222. Eurip. Phœn. 243.

χορὸς γενοίμαν ἄφοβος
παρὰ μεσόμφαλα γύαλα Φοίβου.

Thesm. 489. ἠρειδόμην παρὰ τὸν ἀγυιᾶ.

1070. τὰς πυγὰς ἐνέτριψε. Qui rhetoricæ, poëticæ, aliisque hujus generis artibus operam dabant, impudicitiæ crimine notantur a Comico, tanquam ætatis flore magistris minerval solventes. Idcirco Praxagora Conc. 112. disertissimos juvenum esse ait, ὅσοι πλεῖστα σποδοῦνται. Hinc facetissimus jocus est in Equit. v. 428.

1073. ῥυππαπαί. Gl. ἐπιφώνημα ναυτικόν.

1075. τὸν ξύσσιτον. Operarum errore in Kusteri editione τῶν, quam mendam religiose servavit editor Batavus novissimus.

1076. Cod. tria verba in infinitivo exhibet, ἀντιλέγειν, ἐλαύνειν, πλεῖν, superscripta primo glossa ἀνέπεισεν αὐτούς. Sincera est ista lectio: sed e proximo repetendum, νῦν δ' οὐκ ἐπίστανται ἄλλο, ἢ ἀντιλέγειν—Inficeta est hoc loco transitio a plurium numero ad singularem. *Nunc autem nihil nisi obloqui, remosque non amplius agere, et huc illuc navigare temere.*

1077. καὖθις ἐκεῖσ' αὖ. Sic ad anapæstici metri legem scribi debuit. Perperam vulgo καὖθις ἐκεῖσε. Comico, ut poëtis quibusvis frequentatum αὖθις αὖ. Thesm. 552. 862. Acharn. 854. Supra 304. mox 1234. et multis aliis in locis.

καὶ βωμολόχων δημοπιθήκων,
ἐξαπατώντων τὸν δῆμον ἀεί·
λαμπάδα δ' οὐδεὶς οἷός τε φέρειν
ὑπ' ἀγυμνασίας ἔτι νυνί.

Δι. μὰ Δί' οὐ δῆθ', ὥστ' ἐπαφαυάνθην
Παναθηναίοισι γελῶν, ὅτε δὴ
βραδύς ἄνθρωπός τις ἔθει κύψας
λευκὸς, πίων, ὑπολειπόμενος,
καὶ δεινὰ ποιῶν· κᾆθ' οἱ Κεραμῆς
ἐν ταῖσι πύλαις παίουσ' αὐτοῦ
γαστέρα, πλευρὰς, λαγόνας, πυγήν·
ὁ δὲ τυπτόμενος ταῖσι πλατείαις,
ὑποπερδόμενος
φυσῶν τὴν λαμπάδ', ἔφευγε.

Χο. μέγα τὸ πρᾶγμα, πολὺ τὸ νεῖκος, ἁδρὸς ὁ πόλεμος ἔρχεται.

1089. ἐπαφαυάνθην. Sic bene Suidas, quod non adserere solum, sed etiam recipere debebat Kusterus. Librariorum errore vulgo legitur ἀπιφαυάνθην, quod verbi monstrum tuetur quidem Bisetus; sed frustra. Simplex est αὔω, compositum ἀφαύω, bicompositum ἐπαφαύω, ἐπὶ relationem ad causam notante: ἀφαυάνθην γελῶν ἐπὶ τούτῳ, ὅτι.—φαύω, φαυαίνω ne græca quidem sunt. Est boni commatis verbum φαύζω, sed ejus significatio tam a loco Rhesi quem Bisetus profert, quam ab hoc Comici aliena est. Fucum Biseto fecit prava quæ apud Euripidem obtinebat scriptura ante desideratissimi Musgravii editionem, in qua legitur Rhesi v. 322.

ἡνίκ' ἐξώστης Ἄρης
ἔθραυσε λαίφη τῆσδε γῆς μέγας πνέων.

Operarum errore in Kusteri editione excusum οὐ δῆτ' ὥστ'. Rursusque v. 1112. οὐκ ἔτ' οὕτω. Neutram mendam corrigere sustinuit Batavus editor.

1093. κεραμῆς. Perperam A. C. κεραμεῖς. Sic etiam in B. Sed altera lectio superscripta. Meus perspicue Atticam formam sæpe in codd. obliteratam repræsentat, κεραμῆς. Vide ad Nub. 210.

1099. Multum se torquet Dukerus in declaratione metrorum hujus strophæ et antistrophæ, deceptus a Scholiasta, qui hic plane delirat. Septimus strophæ dimeter est trochaicus acatalectus:

ὅ τι περ | ων ι | χετον ι | ριζων.

Sic etiam qui illi opponitur in antistrophe:

αἱ φυ | σεις τ' αλ | λως κρα | τισται.

Qui, malum, prior haberi potuit pro anapæstico, cujus primus pes trium temporum est, quales metrum anapæsticum nullos admittit, sed pedes tantum quatuor temporum: quocirca proceleusmaticum non aversatur, qui tamen infrequens est? Octavus in stropha et in antistropha, quos declaravi, non magis, quam præcedentes, formam anapæstorum habent. Fuit Dukerus vir sane quam doctus, præclaraque, quam in Thucydide præstitit, opera magnam ab eruditis omnibus iniit gratiam: sed metrorum doctrina non satis erat instru-

χαλεπὸν οὖν ἔργον διαιρεῖν,
ὅταν ὁ μὲν τείνῃ βιαίως,
ὁ δ' ἐπαναστρέφειν δύνηται, κἀπερείδεσθαι τορῶς.
ἀλλὰ μὴ 'ν ταυτῷ κάθησθον.
ἐσβολαὶ γάρ εἰσι πολλαὶ χ' ἅτεραι σοφισμάτων.
ὅ τι περ οὖν ἔχετον ἐρίζειν
λέγετον, ἔπιτον, ἀναδέρεσθον,
τά τε παλαιὰ καὶ τὰ καινὰ,
κἀποκινδυνεύετον λεπτόν τι καὶ σοφὸν λέγειν.
εἰ δὲ τοῦτο καταφοβεῖσθον, μή τις ἀμαθία προσῇ
τοῖς θεωμένοισιν, ὡς τὰ
λεπτὰ μὴ γνῶναι λεγόντοιν,
μηδὲν ὀῤῥωδεῖτε τοῦθ'· ὡς οὐκ ἔθ' οὕτω ταῦτ' ἔχει.
ἐστρατευμένοι γάρ εἰσι·

ctus, ut poëtas eodem successu quo historicos tractare posset.

1100. Hic et sequens versus perperam vulgo in unum coaluerunt, ita ut strophe novem tantum sit versuum, tametsi in Kusteri editione præfixus est ei titulus cubitalibus literis ΣΤΡΟΦΗ ΚΩΛΩΝ ί.

1106. *λέγετον, ἔπιτον, ἀναδέρεσθον.* Est hic versus dimeter trochaicus, ut octavus antistrophæ, seu 1116.

νῶν δὲ καὶ παρηκόνηνται.

Vulgo autem legitur metro jugulato :

λέγετον, ἔπιτον, ἀναδαίρετον.

ubi pes tertius dactylus est, quartus iambus, quorum hic nullo loco recipitur, ille vero paribus locis tantum. Præterea *ἀναδαίρετον* est plane vox nihili. Quod Comici interpretum nulli suboluerat, id Dawesius intellexit. Sed diu ante eum idem monuerat H. Stephanus Thes. Ind. col. 410. *'Αναδαίρετον, explicatè, denudatè, et apertè. Ita v. l. ex Aristophane,* SED NON SINE MANIFESTO MENDO. Veteris lexici auctor vocis sensum e glossa aliquatenus assecutus est, sed bis lapsus est, tum quia scripturæ mendam non animadvertit, tum quia verbum modi imperativi pro adverbio habuit. Loci hujus corrigendi frustra conatum cepit Dawesius, eo tantum nomine laudandus, quod vulgatum *ἀναδαίρετον* ineptum et barbarum esse declaraverit. Codd. iv. habent *λέγετον, ἔπιτον, ἀναδέρετον.* In B et D. additum in contextus serie, tanquam auctoris verbum, *προφέρετε,* quod pars est veteris glossæ. In C. et D. verbo *ἀναδέρετον* superscripta glossa *ἀνακαλύπτετε.* Jam vides unde venerit illud *ἀναδαίρετον.* Qui vel unum Græcum codicem versavit, novit nihil librariis solemnius fuisse permutatione elementorum *αι* et *ε*, quæ illi eodem efferebant sono. Sed et illud ipsum *ἀναδέρετον,* quod sententiæ aptum est, metro non congruit, cui examussim conveniet, si correcto librariorum errore, pro activa mediam formam reposueris, *ἀναδέρεσθον.* Et hæc est vera poëtæ manus.

ἀναδέρεσθον. Cod. ad verum proxime, ut ceteri, *ἀναδέρετον.* Sed librario bene sit quod integram descripserit glossam, e qua suspicatus fueram verbum *προ-*

βιβλίον τ' ἔχων ἕκαστος μανθάνει τὰ δεξιά·
αἱ φύσεις τ' ἄλλως κράτισται·
νῦν δὲ καὶ παρηκόνηνται.
μηδὲν οὖν δείσητον, ἀλλὰ
πάντ' ἐπέξιτον, θεατῶν γ' οὕνεχ', ὡς ὄντων σοφῶν.

Ευ. καὶ μὴν ἐπ' αὐτοὺς τοὺς προλόγους σοι τρέψομαι,
ὅπως τὸ πρῶτον τῆς τραγῳδίας μέρος
πρώτιστον αὐτοῦ βασανιῶ τοῦ δεξιοῦ.
ἀσαφὴς γὰρ ἦν ἐν τῇ φράσει τῶν πραγμάτων.

Δι. καὶ ποῖον αὐτοῦ βασανιεῖς;

Ευ. πολλοὺς πάνυ.
πρῶτον δ' ἐμοὶ τὸν ἐξ 'Ορεστείας λέγε.

Δι. ἄγε δὴ σιώπα πᾶς ἀνήρ. λέγ' Αἰσχύλε.

Αι. ΕΡΜΗ ΧΘΟΝΙΕ, ΠΑΤΡΩ' ΕΠΟΠΤΕΥΩΝ ΚΡΑΤΗ,
ΣΩΤΗΡ ΓΕΝΟΥ ΜΟΙ, ΞΥΜΜΑΧΟΣ Τ' ΑΙΤΟΥΜΕΝΩ.
ΗΚΩ ΓΑΡ ΕΣ ΓΗΝ ΤΗΝΔΕ, ΚΑΙ ΚΑΤΕΡΧΟΜΑΙ.

φέρετε in duorum codd. textum irrepsisse. Sic illa se habet: *ἀνακαλύπτετε, καὶ εἰς τὸ μέσον προφέρετε.*

1115. *αἱ φύσεις τ' ἄλλως.* Sic iv. codd. Perperam vulgo pro *τε* est *δέ*.

1119. *καὶ μὴν ἐπ' αὐτοὺς τοὺς προλόγους σοι τρέψομαι.* Sic optime membr. In B. D. omisso plane pronomine, *προλόγους τρέψομαι.* Demum in C. vulgata lectio est *προλόγους σου*, quæ est absurdissima. Euripides Bacchum alloquitur, ut e versu abhinc secundo, atque etiam tertio liquet; et Bacchus ei respondet. *σοι* hic eleganter abundat, ut Conc. 136. *ἰδού γέ σοι πίνουσι.* Sophocles Phil. 261.

ὅδ' εἰμ' ἐγώ σοι κεῖνος, ὃν κλύεις ἴσως—

Similem mendam elui sine librorum ope in Lys. 202. ubi vide not. et ad 1074. Sic locum hunc verterat Bergle-rus: *Igitur ad prologos tuos me convertam, ut primam tragœdiæ partem primo examinem, quid habeat boni: erat enim obscurus in rebus enunciandis.* Quis non sentit hæc male cohærere? Nam si Euripides Æschylo dicit, *ad prologos tuos me convertam*, addere debet *eras enim obscurus*: non vero *erat.* Tum *αὐτοῦ τοῦ δεξιοῦ* non significat *quid habeat boni:* sed *sciti illius poëtæ.*

1124. *'Ορεστείας.* Sic tres codd. Solus C. ut vulgo *'Ορεστίας.* In Thesm. 135. eadem forma est *Λυκουργείας.* Ex Æschyli Lycurgo versum profert Longinus Sect. xv. p. 102. editionis Lipsiensis:

ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη.

1128. *ἐς γῆν.* Sic iv. codd. hic et infra, ubi eadem repetuntur verba. Impressi minus bene *εἰς*. Ex hoc Comici

Δι. τούτων ἔχεις ψέγειν τι;
Ευ. πλεῖν ἢ δώδεκα.
Δι. ἀλλ' οὐδὲ πάντα ταῦτά γ' ἔστ' ἀλλ', ἢ τρία.
Ευ. ἔχει δ' ἕκαστον εἴκοσίν γ' ἁμαρτίας.
Δι. Αἰσχύλε, παραινῶ σοι σιωπᾶν· εἰ δὲ μὴ,
πρὸς τρισὶν ἰαμβείοισι προσοφείλων φανεῖ.
Αι. ἐγὼ σιωπῶ τῷδ';
Δι. ἐὰν πείθῃ γ' ἐμοί.
Ευ. εὐθὺς γὰρ ἡμάρτηκεν οὐράνιόν γ' ὅσον.
ὁρᾷς ὅτι ληρεῖς.
Δι. ἀλλ' ὀλίγον γ' ἐμοὶ μέλει.
Αι. πῶς φής μ' ἁμαρτεῖν;
Ευ. αὖθις ἐξ ἀρχῆς λέγε.
Αι. 'ΕΡΜΗ ΧΘΟΝΙΕ, ΠΑΤΡΩ' ΕΠΟΠΤΕΥΩΝ ΚΡΑΤΗ.
Ευ. οὔκουν 'Ορέστης τοῦτ' ἐπὶ τῷ τύμβῳ λέγει
τῷ τοῦ πατρὸς τεθνεῶτος;
Αι. οὐκ ἄλλως λέγω.
Ευ. πότερ' οὖν τὸν 'Ερμῆν, ὡς ὁ πατὴρ ἀπώλετο
αὐτοῦ λαθραίοις, ἀλλὰ τὸν 'Εριούνιον
δόλοις λαθραίοις, ταῦτ' ἐποπτεύειν ἔφη;
Αι. οὐ δῆτ' ἐκεῖνον, ἀλλὰ τὸν 'Εριούνιον
'Ερμῆν, Χθόνιον προσεῖπε, κἀδήλου λέγων,
ὁτιὴ πατρῷον τοῦτο κέκτηται γέρας.
Ευ. ἔτι μεῖζον ἐξήμαρτες, ἢ 'γὼ 'βουλόμην·

loco Stanleius initium Choëphorarum Æschyli, quod desideratur, partim restituit.

1134. ἐγὼ σιωπῶ τῷδ';—ἐὰν πείθῃ γ' ἐμοί. Sic distincte in membr. et optime, quem ad modum vulgo etiam recte expressum v. 1229.

ἐγὼ πρίωμαι τῷδ';—ἐὰν πείθῃ γ' ἐμοί. In B. D. scriptum hic ut vulgo legitur ἐγὼ σιωπῶ τῷδέ γ';—ἂν—In C. non interposita Bacchi persona, τῷδε ἂν πείθῃ—Lys. 530. σοί γ', ὦ κατάρατε, σιωπῶ 'γώ;

1136. ὁρᾷς ὅτι ληρεῖς. Absurde vulgo hæc verba Æschylo tribuuntur, qui nondum scit quid in suis versibus carpere velit Euripides; ideo mox ab eo percontatur quid in eis peccaverit. Sunt ista Euripidis ad Bacchum, ad quæ hic etiam respondet: ἀλλ' ὀλίγον γ' ἐμοὶ μέλει. Accedit codd. auctoritas. Sunt ista verba in B. D. Euripidi continuata.

εἰ γὰρ πατρῷον τὸ χθόνιον ἔχει γέρας - - -
Δι. οὕτω γ' ἂν εἴη πρὸς πατρὸς τυμβωρύχος.
Αι. Διόνυσε, πίνεις οἶνον οὐκ ἀνθοσμίαν.
Δι. λέγ' ἕτερον αὐτῷ· σὺ δ' ἐπιτήρει τὸ βλάβος.
Αι. ΣΩΤΗΡ ΓΕΝΟΥ ΜΟΙ ΞΥΜΜΑΧΟΣ Τ' ΑΙΤΟΥΜΕΝῼ.
ΗΚΩ ΓΑΡ ΕΣ ΓΗΝ ΤΗΝΔΕ, ΚΑΙ ΚΑΤΕΡΧΟΜΑΙ.
Ευ. δὶς ταυτὸν ἡμῖν εἶπεν ὁ σοφὸς Αἰσχύλος.
Δι. πῶς δίς;
Ευ. σκόπει τὸ ῥῆμ'· ἐγὼ δέ σοι φράσω.
ΗΚΩ ΓΑΡ ΕΣ ΓΗΝ, φησὶ, ΚΑΙ ΚΑΤΕΡΧΟΜΑΙ.
ΗΚΩ δὲ ταυτόν ἐστι τῷ ΚΑΤΕΡΧΟΜΑΙ.
Δι. νὴ τὸν Δί,' ὥσπερ εἴ τις εἴποι γείτονι,
ΧΡΗΣΟΝ ΣΥ ΜΑΚΤΡΑΝ, ΕΙ ΔΕ ΒΟΥΛΕΙ, ΚΑΡΔΟΠΟΝ.
Αι. οὐ δῆτα τοῦτό γ', ὦ κατεστωμυλμένε

1150. Erotianus in Expositione vocum Hippocratis: οἶνος ἀνθοσμίας, ὁ εὐώδης καὶ ἡδύς. ὡς Ἀριστοφάνης ἐν Βατράχοις καὶ ἐν Θεσμοφοριαζούσαις. Posteriores Thesmophoriazusas intelligit: nam in prioribus, quæ exstant, nomen illud non reperitur.

1155. πῶς δίς; Hoc bene in C. D. Baccho, ut vulgo, tributum: in duobus aliis Æschylo.

1157. ἥκω δὲ—Perperam vulgo ἥκειν, manifesto errore. In meo, bona syntaxi, seu pessundato metro, scriptum est: ἥκειν δὲ ταυτόν ἐστι τῷ κατέρχεσθαι. Haud imperite judicavit librarius utrumque verbum ejusdem modi esse debere: sed ipsa Æschyli verba repetenda erant. In C. hic versus omissus est.

Scripturam hujus et seq. versus dudum sic emendaveram non inspecto Gellii loco quem protulit Kusterus, sed quod in eo præcipuum erat omittens. Dum has notas scribo forte fortuna recordor bonæ operæ quam præstitit idem mihi Gellius ad Thesm. 456. et negligentiæ cujus ibi reum Kusterum egi, et versus hujus fabulæ 356. e Gellio etiam emendati. Illum itaque adeo, experiri cupiens an eum mihi consentientem sim habiturus. Sic autem apud eum l. xiii. cap. 24. Comici versus leguntur:

δὶς ταυτὸν ἡμῖν εἶπεν ὁ σοφὸς Αἰσχύλος.
ἥκω γὰρ εἰς γῆν φησὶ καὶ κατέρχομαι.
ἥκω δὲ ταυτόν ἐστι τῷ κατέρχομαι·
νὴ τὸν Δί', ὥσπερ εἴ τις εἴποι γείτονι,
χρῆσον σὺ μάκτραν; εἰ δὲ βούλει κάρδοπον.

Comico non fecisset injuriam Kusterus, si quæ sunt in his bonæ lectiones, eas illi restituisset.

1158. ὥσπερ εἰ—Vulgo γε inserunt: immo in membr. geminatur: ὥσπερ γ' εἴ τίς γ' εἴποι. Tam a poëta est unum quam alterum.

ἄνθρωπε, ταῦτ' ἔστ', ἀλλ' ἄριστ' ἐπῶν ἔχον.
Δι. πῶς δή; δίδαξον γάρ με καθ' ὅ τι δὴ λέγεις.
Αι. ἐλθεῖν μὲν ἐς γῆν ἔσθ', ὅτῳ μετῇ πάτρας·
χωρὶς γὰρ ἄλλης ξυμφορᾶς ἐλήλυθε.
φεύγων δ' ἀνὴρ ἥκει τε καὶ κατέρχεται.
Δι. εὖ, νὴ τὸν Ἀπόλλω. τί σὺ λέγεις, Εὐριπίδη;
Ευ. οὔ φημι τὸν Ὀρέστην κατελθεῖν οἴκαδε·
λάθρα γὰρ ἦλθεν, οὐ πιθὼν τοὺς κυρίους.
Δι. εὖ, νὴ τὸν Ἑρμῆν· ὅ τι λέγεις δ' οὐ μανθάνω.
Ευ. πέραινε τοίνυν ἕτερον.
Δι. ἴθι πέραινε σύ,
Αἰσχύλ', ἀνύσας· σὺ δ' ἐς τὸ κακὸν ἀπόβλεπε.
Αι. ΤΥΜΒΟΥ Δ' ΕΠ' ΟΧΘΩ ΤΑΔΕ ΓΕ ΚΗΡΥΣ-
ΣΩ ΠΑΤΡΙ
ΚΛΥΕΙΝ, ΑΚΟΥΣΑΙ.
Ευ. τοῦθ' ἕτερον αὖθις λέγει,
ΚΛΥΕΙΝ, ΑΚΟΥΣΑΙ, ταυτὸν ὂν σαφέστατα.
Δι. τεθνηκόσιν γὰρ ἔλεγεν, ὦ μόχθηρε σύ,
οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα.

1161. Vulgo sic legitur hic versus toto pede defectus:

ἄνθρωπε, ταύτῃ 'στ', ἀλλ' ἑτέρως ἔχον.

Meliorem lectionem Kustero suppeditaverat Vat. cod. collatio:

ἄνθρωπε, ταῦτα 'στ', ἀλλ' ἄριστ' ἐπῶν ἔχει.

At vero optima est et sincera, quam dedi e meis:

ἄνθρωπε, ταῦτ' ἐστ', ἀλλ' ἄριστ' ἐπῶν ἔχον.

Tres habent ἔχον; solus B. ἔχει. Tres ταῦτ' bene: solus C. ταῦτ' cum glossa οὕτως. Euripidis criminationi ἥκω ταυτόν ἐστι τῷ κατέρχομαι, et δὶς ταυτὸν ἡμῖν εἶπεν, respondet Æschylus: οὐ δῆτα τοῦτο τὸ αὐτό ἐστιν, ἀλλ' ἔστιν ἄριστα ἔχον τῶν ἐπῶν.—ἐστιν ἔχον valet ἔχει, eleganter in altero membro participio ἔχον posito, ab ἐστιν prioris membri pendente. Sic Pl. 371.

τὸ δ' ἔστιν οὐ τοιοῦτον, ἀλλ' ἑτέρως ἔχον.

minus bene ibi legeretur ἔχει. Scripta jam hac nota animadverto eandem plane quam dedi lectionem esse in editione Bernardi Juntæ, unde enotata fuit in Excerptis Scaligeri. In minoribus Batavis integer saltem senarius legitur:

ἄνθρωπε, ταύτῃ γ' ἐστὶν, ἀλλ' ἑτέρως ἔχον.

Sed hæc lectio ab interpolatore concinnata fuit.

Scriptus in cod. hic versus, ut eum exhibet textus noster.

1173. τοῦθ' ἕτερον. Sic quidem codd. sed, ut opinor, mendose. Scribendum ταῦθ' ἕτερον—id est, ἕτερον τὸ αὐτὸ αὖθις λέγει, quod in versione expressi.

1175. τεθνηκόσιν. Perperam vulgo ν finale omissum, cum versus labe: emendata in membranis est scriptura, et in C. quod quum observo, vereor ne stulte diligens videar.

Δι. σὺ δὲ πῶς ἐποίεις τοὺς προλόγους;
Ευ. ἐγὼ φράσω·
κἂν που δὶς εἴπω ταυτὸν, ἢ στοιβὴν ἴδῃς
ἐνοῦσαν ἔξω τοῦ λόγου, κατάπτυσον.
Δι. ἴθι δὴ, λέγ'· οὐ γάρ μου 'στίν. ἀλλ' ἀκουστέα
τῶν σῶν προλόγων τῆς ὀρθότητος τῶν ἐπῶν.
Ευ. ΗΝ ΟΙΔΙΠΟΥΣ ΤΟΠΡΩΤΟΝ ΕΥΔΑΙΜΩΝ ΑΝΗΡ—
Δι. μὰ τὸν Δί', οὐ δῆτ'· ἀλλὰ κακοδαίμων φύσει,
ὅντινά γε, πρὶν φῦναι μὲν, ὡπόλλων ἔφη
ἀποκτενεῖν τὸν πατέρα, πρὶν καὶ γεγονέναι.
πῶς οὗτος ΗΝ ΤΟΠΡΩΤΟΝ ΕΥΔΙΑΜΩΝ ΑΝΗΡ;
Ευ. ΕΙΤ' ΕΓΕΝΕΤ' ΑΥΘΙΣ ΑΘΛΙΩΤΑΤΟΣ ΒΡΟΤΩΝ.
Δι. μὰ τὸν Δί' οὐ δῆτ', οὐμενοῦν ἐπαύσατο.
πῶς γάρ; ὅτε δὴ πρῶτον μὲν αὐτὸν γενόμενον,
χειμῶνος ὄντος, ἐξέθεσαν ἐν ὀστράκῳ,

1178. στοιβήν. Gl. περιττὴν λέξιν ἐνοῦσαν ἔξω τοῦ πρέποντος, παρὰ τὸ πρέπον.

1180. οὐ γάρ μου 'στίν. Sensum sic supplet glossa γνῶναι πρὸ τοῦ ἀκοῦσαι, quod paulo longius arcessitum videtur. Quidni? οὐ γάρ μου 'στὶ λέγειν. Rem transegit Berglerus, hæc verba in versione omittendo, qua ratione nihil profecto tutius vel facilius est.

λέγ'· οὐ γάρ μου 'στίν ἀλλ' ἀκουστέα. Perperam in cod. ἀκουστέον, neglecto eleganti Atticismo. Subobscurus est hic locus, in quo plenum ad sensum aliquid deficit. Salebram transiluit Berglerus. Ego quod maxime probabile videbatur in versione expressi. Sed aliter sententiam supplet glossa codicis: οὐ γάρ μού ἐστι πρὶν ἀκοῦσαι γνῶναι. *Non enim mihi fas est judicare prius quam audierim.* μούστὶ accepto pro μοι ἐστί.

1182. εὐδαίμων. Sic optime Vat. cod. quod absque eo etiam reponi poterat ex Æschyli responso: *Non hercle* εὐδαίμων, *sed* κακοδαίμων. Hoc illud sibi opponi flagitat: loci gratiam corrupit, qui e glossa interpolavit vulgatum εὐτυχής. Idem Euripidei prologi vocabulum repetit etiam Bacchus v. 1195. ubi εὐτυχὴς metrum admittere non gravabatur.

1184. ὅντινά γε, πρὶν φῦναι μὲν, ὡπόλλων ἔφη. Sic e membr. edidi, in quibus tamen mendose 'Απόλλων, versu, ob articuli defectum, claudicante. Eadem plane est scriptura in C. Duo alii, ut vulgo, perversissime:

ὅντινά γε, πρὶν ἢ φῦναι, 'Απόλλων ἔφη.

ὡπόλλων est in Vat. cod. cujus scripturam ad eundem modum jam emendaverat Valckenarius ad Eurip. Phœn. p. 539.

Plane eadem cod. scriptura, quam e membr. enotavimus.

ἵνα μὴ 'κτραφεὶς γένοιτο τοῦ πατρὸς φονεύς·
εἶθ' ὡς Πόλυβον ἤῤῥησεν οἰδῶν τω πόδε·
ἔπειτα γραῦν ἔγημεν, αὐτὸς ὢν νέος,
καὶ πρός γε τούτοις, τὴν ἑαυτοῦ μητέρα.
εἶτ' ἐξετύφλωσεν αὑτόν.

Δι. εὐδαίμων ἂν ἦν,
εἰ κἀστρατήγησέν γε μετ' Ἐρασινίδου.

Ευ. ληρεῖς· ἐγὼ δὲ τοὺς προλόγους καλῶς ποιῶ.

Αι. καὶ μὴν, μὰ τὸν Δί', οὐ κατ' ἔπος γέ σου κνίσω
τὸ ῥῆμ' ἕκαστον, ἀλλὰ σὺν τοῖσιν θεοῖς
ἀπὸ ληκυθίου σοι τοὺς προλόγους διαφθερῶ.

Ευ. ἀπὸ ληκυθίου σὺ τοὺς ἐμούς;

Αι. ἑνὸς μόνου.
ποιεῖς γὰρ οὕτως, ὥστ' ἐναρμόττειν ἅπαν,
καὶ κωδάριον, καὶ ληκύθιον, καὶ θυλάκιον,
ἐν τοῖς ἰαμβείοισι. δείξω δ' αὐτίκα.

Ευ. ἰδοὺ, σὺ δείξεις;

Αι. φημί.

Δι. καὶ δὴ χρὴ λέγειν.

Ευ. ΑΙΓΥΠΤΟΣ, ὩΣ Ὁ ΠΛΕΙΣΤΟΣ ΕΣΠΑΡΤΑΙ ΛΟΓΟΣ,
ΞΥΝ ΠΑΙΣΙ ΠΕΝΤΗΚΟΝΤΑ ΝΑΥΤΙΛῼ ΠΛΑΤῌ
ΑΡΓΟΣ ΚΑΤΑΣΧΩΝ.

1192. ἤῤῥησεν. Gl. μετὰ φθορᾶς ἦλθεν. Est ab ἔῤῥω, cujus verbi vis et significatio in glossis Hesychii satis explicatæ. Futurum Attici a forma contracta derivant: ἐῤῥήσω, ut συπτήσω. Vide ad Lys. 459. In eadem fabula v. 1240. οὐκ ἐῤῥήσετ', ὦ μαστιγίαι; Ab hoc futuro derivantur cognata tempora ut aoristus hic, et præteritum, Thesm. 1075. ὀχληρά γ' εἰσήῤῥηκας.

1195. εὐδαίμων ἂν ἦν, εἰ—Perperam vulgo et solœce εὐδαίμων ἄρ' ἦν—Nostra lectio perspicue scripta est in B. Vide not. ad Lys. 149. et supra 866.

1197. καλῶς ποιῶ. Superscriptum in C. καλοὺς pro varia lectione.

1200. ἀπὸ ληκυθίου σοι τοὺς—Sic eleganter membr. Inde depravata est vulgata lectio, quam repræsentant C. D. ἀπὸ ληκυθίου σου. Meliorem exhibet B. sed nostræ non præferendam: ἀπὸ ληκυθίου τοὺς σοὺς προλόγους διαφθερῶ.

1206. Initium Archelai Euripidis.

Αι. ληκύθιον ἀπώλεσεν.
Ευ. τουτὶ τί ἦν τὸ ληκύθιον; οὐ κλαύσεται;
Δι. λέγ' ἕτερον αὐτῷ πρόλογον, ἵνα καὶ γνῷ πάλιν.
Ευ. ΔΙΟΝΥΣΟΣ, ΟΣ ΘΥΡΣΟΙΣΙ ΚΑΙ ΝΕΒΡΩΝ ΔΟΡΑΙΣ
ΚΑΘΑΠΤΟΣ ΕΝ ΠΕΥΚῌΣΙ ΠΑΡΝΑΣΟΝ ΚΑΤΑ
ΠΗΔᾼ ΧΟΡΕΥΩΝ.
Αι. ληκύθιον ἀπώλεσεν.
Δι. οἴμοι πεπλήγμεθ' αὖθις ὑπὸ τῆς ληκύθου.
Ευ. ἀλλ' οὐδὲν ἔσται πρᾶγμα· πρὸς γὰρ τουτονὶ
τὸν πρόλογον οὐχ ἕξει προσάψαι λήκυθον.
ΟΥΚ ΕΣΤΙΝ ΟΣΤΙΣ ΠΑΝΤ' ΑΝΗΡ ΕΥΔΑΙΜΟΝΕΙ·
Η ΓΑΡ ΠΕΦΥΚΩΣ ΕΣΘΛΟΣ, ΟΥΚ ΕΧΕΙ ΒΙΟΝ,
Η ΔΥΣΓΕΝΗΣ ΩΝ.
Αι. ληκύθιον ἀπώλεσεν.
Δι. Εὐριπίδη—
Ευ. τί ἐστιν;
Δι. ὑφέσθαι μοι δοκεῖς.
τὸ ληκύθιον γὰρ τοῦτο πνευσεῖται πολύ.
Ευ. οὐδ' ἂν, μὰ τὴν Δήμητρα, φροντίσαιμί γε·

1209. Hunc versum Euripidi, sequentem Baccho tribuunt tres codd. Soli cod. et C. juxta impressos utrumque Baccho adscribunt.

1211. Initium Hypsipyles Euripidis: tertii versus clausulam profert Scholiastes, παρθένοις ξὺν Δελφίσι. Genuinam formam servarunt membr. πεύκησι, de qua vide Valckenario ad Eurip. Phœn. p. 23. et nobis ad Medeam 482. notata. In Lys. 330. vulgo etiam legitur δούλησιν ἀστιζομένην. Παρνασὸν est in iv. codd. ut supra 1057.

1217. Initium Sthenebœæ Euripidis. Tertii versus finem habet Scholiastes πλουσίαν ἀροῖ πλάκα.

1221. τοῦτο πνευσεῖται. Insertam vulgo particulam γε omittunt tres Regii. πνευσεῖται forma est Dorica Atticis poëtis in futuris mediis frequentata. Vide quæ notavi ad Eurip. Hippol. 1104. Pl. 496. Menander apud Stobæum p. 59. Floril. Grotii:

εἰ τοὺς ἀδικηθέντας, πάτερ, φευξούμεθα.

νυνὶ γὰρ αὐτοῦ τοῦτό γ' ἐκκεκόψεται.
Δι. ἴθι δὴ λέγ' ἕτερον, κἀπέχου τῆς ληκύθου.
Ευ. ΣΙΔΩΝΙΟΝ ΠΟΤ' ΑΣΤΥ ΚΑΔΜΟΣ ΕΚΛΙΠΩΝ
ΑΓΗΝΟΡΟΣ ΠΑΙΣ.
Αι. ληκύθιον ἀπώλεσεν.
Δι. ὦ δαιμόνι' ἀνδρῶν, ἀποπρίω τὴν λήκυθον,
ἵνα μὴ διακναίσῃ τοὺς προλόγους ἡμῶν.
Ευ. τὸ τί;
ἐγὼ πρίωμαι τῷδ';
Δι. ἐὰν πείθῃ γ' ἐμοί.
Ευ. οὐ δῆτ', ἐπεὶ πολλοὺς προλόγους ἕξω λέγειν,
ἵν' οὗτος οὐχ ἕξει προσάψαι λήκυθον.
ΠΕΛΟΨ 'Ο ΤΑΝΤΑΛΕΙΟΣ ΕΙΣ ΠΙΣΑΝ ΜΟΛΩΝ
ΘΟΑΙΣΙΝ ΙΠΠΟΙΣ.
Αι. ληκύθιον ἀπώλεσεν.
Δι. ὁρᾷς, προσῆψεν αὖθις αὖ τὴν λήκυθον.
ἀλλ', ὦ 'γάθ', ἔτι καὶ νῦν ἀπόδου πάσῃ τέχνῃ·
λήψει γὰρ ὀβολοῦ πάνυ καλήν τε κἀγαθήν.
Ευ. μὰ τὸν Δί' οὔπω γ'· ἔτι γὰρ εἰσί μοι συχνοί.
ΟΙΝΕΥΣ ΠΟΤ' ΕΚ ΓΗΣ.
Αι. ληκύθιον ἀπώλεσεν.

1224. Hunc versum Baccho recte tribuunt iv. codd. Manifesto in impressis errore Æschylo adscriptus est.

1225. Initium est Euripidis Phryxi. Suppressam alterius versus partem habet Scholiastes, ἵκετ' ἐς Θήβης πέδον.

1227. ἀποπρίω τὴν λήκυθον. Hoc Bacchus Euripidi dicit, suadens ei ut pestiferum illum lecythum emat: mox v. 1235. Æschylo suadet, ut eum vendat. Manifestus sensus est: et si forte in verbi significatione hæsitabat Berglerus, quidni Stephani Thesaurum consulebat? non inepte vertisset: *Vende Lecythum.—Quid ita? egone huic vendam?*

1232. Initium est Iphigeniæ in Tauris. εἰς Πίσαν. Sic bene A. C. Fœdissima menda vulgo Πίσσαν.

1235. ἀπόδου, *vende*. Sic perspicue in membr. ut perite emendavit Dawesius. Vulgata lectio ἀπόδος alienam bujus loci significationem habet, *redde, restitue*.

1236. καλήν τε κἀγαθήν. Hoc ex usu loquendi, et formula qua nihil tritius, reponere quivis potuisset. Sic in iv. codd. Vulgo καλήν γε κἀγαθήν.

1238. Est ex prologo Meleagri, cu-

Ευ. ἔασον εἰπεῖν πῶρθ' ὅλον με τὸν στίχον.
ΟΙΝΕΥΣ ΠΟΤ' ΕΚ ΓΗΣ ΠΟΛΥΜΕΤΡΟΝ ΛΑΒΩΝ ΣΤΑΧΥΝ,
ΘΥΩΝ ΑΠΑΡΧΑΣ.
Αι. ληκύθιον ἀπώλεσεν.
Δι. μεταξὺ θύων; καὶ τίς αὔθ' ὑφείλετο;
Ευ. ἔα 'ὑτὸν, ὦ 'τάν· πρὸς τοδὶ γὰρ εἰπάτω.
ΖΕΥΣ, 'ΩΣ ΛΕΛΕΚΤΑΙ ΤΗΣ ΑΛΗΘΕΙΑΣ ΥΠΟ---
Δι. ἀπολεῖ σ'· ἐρεῖ γὰρ ΛΗΚΥΘΙΟΝ ΑΠΩΛΕΣΕΝ.
τὸ ληκύθιον γὰρ τοῦτ' ἐπὶ τοῖς προλόγοισί σου,
ὥσπερ τὰ σῦκ' ἐπὶ τοῖσιν ὀφθαλμοῖς, ἔφυ.
ἀλλ' ἐς τὰ μέλη, πρὸς τῶν θεῶν, αὐτοῦ τράπου.
Ευ. καὶ μὴν ἔχω γ', ὡς αὐτὸν ἀποδείξω κακὸν
μελοποιὸν ὄντα, καὶ ποιοῦντα ταὔτ' ἀεί.
Χο. τί ποτε πρᾶγμα γενήσεται;
φροντίζειν γὰρ ἔγωγ' ἔχω,

jus hoc erat exordium:

Καλυδὼν μὲν ἥδε γαῖα, Πελοπίας χθονὸς
ἐν ἀντιπόρθμοις, πεδί' ἔχουσ' εὐδαίμονα.
Οἰνεὺς δ' ἀνάσσει τῆσδε γῆς Αἰτωλίας,
Πορθάονος παῖς· ὅς ποτ' Ἀλθαίαν γαμεῖ,
Λήδης ὅμαιμον, Θεστίου δὲ παρθένον.
οὗτός ποτ', ἐκ γῆς πολύμετρον λαβὼν στάχυν,
θύων ἀπαρχὰς, οὐκ ἔθυσεν ἐν μέρει
Ἀρτέμιδι—

1243. ἔα 'ὑτὸν, ὦ 'τάν. Sic perspicue scriptum in B. D. Perperam vulgo ἔα' αὐτὸν, tanquam si in ἔα elidi posset ultima, quæ longa est. Vide ad Lys. 945. Male in membr. scriptum ἔα αὐτόν: pejus in C. ἔασον αὐτόν. Poëtæ Attici sæpe in unam syllabam ἔα contrahunt. Nub. 932.

δεῦρ' ἴθι, τοῦτον δ' ἔα μαίνεσθαι.

Sophocles Œd. Tyr. 1451.

ἀλλ' ἔα με ναίειν ὄρεσιν ἔνθα κλῄζεται—

Antig. 95.

ἀλλ' ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβουλίαν.

Ut in illis versibus ἀλλ' ἔα pes est spondeus, sic ἀλλ' ἔα 'ὑτὸν est antibacchius, qui senarium inchoat. Sic scripserat idem Sophocles in versu Œdipi Colon. vexatissimo 1255. editionis Johnsoni, cujus sensum solus percepit Dawesius, veramque lectionem adseruit, sed prava scribendi ratione obscuratam:

ἀλλ' ἔα 'ὑτόν. εἰσὶ χ' ἁτέροις γοναὶ κακαί.

Sibi habeant, auferantque secum nugas suas Viri Clarissimi, qui Sophocli adfingere voluerunt, alter ἀλλ' εὖ σοι (pro σὺ σοι) alter ἄλις (pro ἅλις) αὐτόν: quæ suo loco, ut par est, explodentur.

1244. Initium est prologi Melanippæ sapientis:

Ζεὺς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο,
Ἕλλην' ἔτικτε—

τίν' ἄρα μέμψιν γ' ἐποίσει
ἀνδρὶ τῷ πολὺ πλεῖστα δὴ
καὶ κάλλιστα μέλη ποιή-
σαντι τῶν ἔτι νῦν ὄντων.
θαυμάζω γὰρ ἔγωγ', ὅπη
μέμψεταί ποτε τοῦτον
τὸν βακχεῖον ἄνακτα,
καὶ δέδοιχ' ὑπὲρ αὐτοῦ.

Ευ. πάνυ γε μέλη θαυμαστά· δείξει δὴ τάχα.
εἰς ἓν γὰρ αὐτοῦ πάντα τὰ μέλη ξυντεμῶ.

Δι. καὶ μὴν λογιοῦμαι ταῦτα, τῶν ψήφων λαβών.
(διαύλιον προσαυλεῖ τις)

Ευ. Φθιῶτ' Ἀχιλεῦ, τί ποτ', ἀνδροδάϊκτον ἀκούων,
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν;
Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν.
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν;

Δι. δύο σου κόπω, Αἰσχύλε, τούτω.

Ευ. κύδιστ' Ἀχαιῶν, Ἀτρέως
πολυκοίρανε μάνθανε παῖ.
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν;

Δι. τρίτος, Αἰσχύλε, σοι κόπος οὗτος.

Ευ. εὐφαμεῖτε μελισσονόμοι

1257. *ὅπη μέμψεται.* Sic tres codd. Solœce vulgo legitur *μέμψαιτο*, quod habet etiam B. Fœdissimam mendam, si minus e perspecta loquendi ratione, saltem e Scholiasta eluere poterant editores: hic enim metra declarans hunc versum constare ait ἐκ *διτροχαίου, καὶ βακχείου ἢ ἀμφιβράχεος*, quod verum est in nostra lectione, in vulgata secus deprehenditur. Glossa ad seq. v. *τὸν ἔνθεον ἄρχοντα τῶν μελῶν, τὸν ἐκβακχεύοντα ἐν τῇ ποιήσει.*

1258. *μέμψεταί ποτε.* Sic etiam hic cod. ut tres alii.

1263. Versum hunc libri omnes scripti et impressi, etiam posterior editio Veneta, Baccho tribuunt, ita ut typothetæ errore, non Bergleri judicio, adscriptus sit Æschylo in novissima Batava.

1264. Ridiculi hujus centonis duo primi versus sunt ex Myrmidonibus Æschyli: tertius est e Psychagogis: quinto et sexto diversam sedem tribuunt veteres Critici: unde essent Aristarchus et Apollonius ignorarunt, aliis ad Telephum, aliis ad Iphigeniam eos referentibus.

1270. *μάνθανε παῖ.* Sic membr. omisso *μου*, quod pronomen vulgo inseritur.

1273. *εὐφαμεῖτε μελισσονόμοι*—Vertit Berglerus: *bona verba dicite apiarii.*

δόμον Ἀρτέμιδος πέλας οἴγειν.
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν;
κύριός εἰμι θροεῖν ὁσίων κράτος αἴσιον ἀνδρῶν.
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν;

Δι. ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν κόπων ὅσον.
ἐγὼ μὲν οὖν ἐς τὸ βαλανεῖον βούλομαι.
ὑπὸ τῶν κόπων γὰρ τὼ νεφρὼ βουβωνιῶ.

Ευ. μή, πρίν γ' ἀκούσῃς χ' ἀτέραν στάσιν μελῶν
ἐκ τῶν κιθαρῳδικῶν νόμων εἰργασμένην.

Δι. ἴθι δὴ πέραινε, καὶ κόπον μὴ προστίθει.

Ευ. ὅπως Ἀχαιῶν

Quid, quæso, apiariis rei est cum Dianæ templo? Μελισσονόμοι sunt Melissarum, seu sacerdotum Dianæ præsides. Mulieres fatidicas, quæ in templis ministrabant, μελίσσας dictas fuisse notum est. In C. non δόμον, sed δρόμον scriptum, et ista habetur glossa: εὐφήμως λέγετε οἱ δίκην μελισσῶν νεμόμενοι ἐν τῷδε τῷ τῆς θεᾶς ἄλσει.

1276. ὁσίων ad ἀνδρῶν relatum meliorem sensum dare videtur: vulgo legitur ὅσιον. Sed neutrum sincerum est. In Æschyli Agamemnone, unde hic versus desumtus, exstat v. 104. ὅδιον, quod cur Comicus mutaret nulla erat ratio. Immo ὅσιον ex Asclepiadis interpolatione esse tradit Scholiastes, cujus verba ab exscriptoribus male habita recte emendat Pauwius ad Æschyli locum: ἐν τοῖς πλείστοις ΟΔΙΟΝ· Ἀσκληπιάδης δὲ ΟΣΙΟΝ. Illud a lectore reponi velim. In B. κύριός εἰμι λέγειν—Vides glossam pro genuino auctoris verbo. Mox v. 1279. idem cod. in contextus serie exhibet ἐς τὸ βαλανεῖον βούλομαι ἀπελθεῖν. Ultimum verbum glossa est, in C. D. verbis textus superscripta. De hujus verbi et similium frequentissima ellipsi, et Kusteri commento glossam in versum intrudentis, vide Orvillium ad Charit. p. 706. seq.

1284. Parodia est canticorum Æschyli, centonis itidem in modum concinnata e versibus variorum illius dramatum. In Agamemnone v. 109. isti leguntur:

ὅπως Ἀχαιῶν
δίθρονον κράτος, Ἑλλάδος ἥβας
ξύμφρονα ταγὰν,
πέμπῃ ξὺν δορὶ δίκας πράκτορι
θούριος ὄρνις Τευκρίδ' ἐπ' αἶαν.

E Sphinge desumtus est iste

Σφίγγα δυσαμερίαν, πρύτανιν κύνα, πέμπει.

Versus intercalaris unica voce constat a Comico ficta, ad deridendum strepitum inanem verborum Æschyli, ut probabiliter Berglero videtur. Apud Æschylum male vulgo legitur Ἑλλάδας ἥβαν. Stanleius merito ἥβας præferebat, et sic apud Comicum edi oportuit ad vetustissimorum codd. fidem. Quippe in membr. et in C. perspicue scriptum ἥβας, cum glossa in posteriore codice, ἀκμῆς, ἰσχύος, quod doctam plane conjecturam. Cohærent apud Tragicum ταγὰν ξύμφρονα ἥβης Ἑλλάδος. Jocum inde captans Comicus pro ξύμφρονα ταγὰν, alios e Sphinge adsuens versus, substituit πρύτανιν κύνα σφίγγα δυσαμερίαν: quod ridiculum est et facetum. In cantici fine frustra nexum sententiarum quæras, et probabilem aliquem sensum: de industria hos Æschyli e diversis dramatibus versus

δίθρονον κράτος, Ἑλλάδος ἥβαν,
τὸ φλαττοθραττοφλαττόθρατ,
Σφίγγα δυσαμερίαν, πρύτανιν κύνα, πέμπει,
τὸ φλαττοθραττοφλαττόθρατ,
σὺν δορὶ καὶ χερὶ πράκτορι θούριος ὄρνις,
τὸ φλαττοθραττοφλαττόθρατ,
κυρεῖν παρασχὼν
ἰταμαῖς κυσὶν ἀεροφοίτοις,
τὸ φλαττοθραττοφλαττόθρατ,
τὸ συγκλινὲς ἐπ' Αἴαντι,
τὸ φλαττοθραττοφλαττόθρατ.

Δι. τί τὸ φλαττόθρατ τοῦτ' ἐστίν; ἐκ Μαραθῶνος, ἢ
πόθεν ξυνέλεξας ἱμονιοστρόφου μέλη;

Αι. ἀλλ' οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν ἐκ τοῦ καλοῦ
ἤνεγκον αὔθ', ἵνα μὴ τὸν αὐτὸν Φρυνίχῳ
λειμῶνα Μουσῶν ἱερὸν ὀφθείην δρέπων.
οὗτος δ' ἀπὸ πάντων μὲν φέρει πορνιδίων,
σκολιῶν Μελίτου, Καρικῶν αὐλημάτων,

coagmentavit Comicus, personandis spectatorum auribus sine ullo animi motu; nisi forte versus ita delegit, ut Atheniensium in memoriam revocaret Tragici cantica quædam, quæ ob nimiam grandiloquentiam et κομποφακελοῤῥημοσύνην in reprehensionem incurrissent. A Græcis nimium recedit latina versio, quam sic reformatam vellem. *Quomodo Achivorum geminum imperium, Hellenicæ pubis,—Sphingem tristificam, rectorem canem mittit,—cum hasta et manu vindice impetuosus ales,—incidere faciens in audaces canes aëra pervagantes,—quod ad Ajacem inclinat: Phlat—*

1300. λειμῶνα Μουσῶν ἱερόν. Sic scribi debuisse statim deprehendit, qui metra primis labris adtigit. Sic est in C. D. Vulgo pessumdato versu et quod ad syntaxin minus eleganter, ἱερῶν.

λειμῶνα Μουσῶν ἱερὸν—Sic etiam cod.

1302. σκολιῶν Μελίτου, Καρικῶν αὐλημάτων. Perperam vulgo καὶ Καρικῶν. A mala manu inserta fuit copula, quæ sermonis venustati et metro officit. Secunda in Μίλιτος longa est, ut observatum fuit supra ad v. 991. *Quis non animadvertit, si* KAI *interponatur, multum elegantiæ loco decedere? nam tota sententia progreditur sine aliqua particula, qua membra copulentur. Sed, ut nullus dubitandi locus relinquatur amplius, hic ipse versus citatur a Suida in* Μίλιτος, *nec ibi apparet* KAI. Verba sunt Bentleii in Dissertatione Phalaridea de Origine Tragœdiæ p. 168. Istud καὶ plane abest in membr. et in meo: primo scriptum fuit in C. postea litura inductum, ut vix appareat quid prius scriptum fuerit.

σκολιῶν Μελίτου, Καρικῶν αὐλημάτων. Sic etiam quintus hic cod. omisso importuno καί.

θρήνων, χορείων. τάχα δὲ δηλωθήσεται.
ἐνεγκάτω τις τὸ λύριον. καί τοι τί δεῖ
λύρας ἐπὶ τοῦτον; ποῦ 'στιν ἡ τοῖς ὀστράκοις
αὕτη κροτοῦσα; δεῦρο Μοῦσ' Εὐριπίδου,
πρὸς ἥνπερ ἐπιτήδεια τάδ' ἔστ' ᾄδειν μέλη.

Δι. αὕτη πόθ' ἡ Μοῦσ' οὐκ ἐλεσβίαζεν; οὔκ;

Αι. ἀλκυόνες, αἳ παρ' ἀεννάοις θαλάσσης
κύμασι στωμύλλετε,
τέγγουσαι νοτεραῖς πτερῶν
ῥανίσι χρόα δροσιζόμεναι·
αἵ θ' ὑπωρόφιοι κατὰ γωνίας
εἰ εἰ εἰ εἰ εἰ εἰλίσσετε δακτύλοις φάλαγγες
ἱστότονα πηνίσματα,
κερκίδος ἀοιδοῦ μελέτας,

1308. οὔκ in fine versus. Vide ad Lys. 873. Vulgo οὔ. In membr. hæc vocula Euripidi tribuitur. De verbo λεσβιάζειν, quod Latinis est *fellare*, digna habet Eustathius, quæ hic proponantur: p. 741. ubi laudato hoc Comici versu, sic pergit l. 20. εἰσὶ βλασφημίαι καὶ ἀπὸ ἐθνῶν, καὶ πόλεων, καὶ δήμων πολλαί, ῥηματικῶς πεποιημέναι. ἐθνῶν μὲν, οἷον κιλικίζειν καὶ αἰγυπτιάζειν (Thesm. 922.) τὸ πονηρεύεσθαι. καὶ κρητίζειν, τὸ ψεύδεσθαι. ἐκ πόλεων δὲ, οἷον ΛΕΣΒΙΑΖΕΙΝ τὸ αἰσχροποιεῖν. εἶτα παραγαγόντες Φερεκράτους χρῆσιν ἐν ἰάμβῳ, τὸ

δώσει δέ σοι γυναῖκας ἑπτὰ Λεσβίας,

ἐπάγουσιν ἀμοιβαῖον τὸ

καλόν γε δῶρον ἑπτ' ἔχειν λαικαστρίας.

ὡς τοιούτων οὐσῶν τῶν Λεσβίων γυναικῶν. ἐκ δήμων δὲ βλασφημία, τὸ αἰξωνεύεσθαι, ἤγουν κακολογεῖν. Αἰξωνεῖς γὰρ, δημόται Ἀττικοὶ, σκωπτόμενοι, ὡς κακολόγοι· καθὰ καὶ οἱ Σφήττιοι ἐπὶ ἀγριότητι· ὅθεν ὁ Χαιρεφῶν Σφήττιος ἔσκωπται. In Meretriculam hujus adfinem turpitudinis ludens Martialis, illam exinde *Lesbiam* vocat:

Quod fellas, et aquam potas, nil, Lesbia, peccas.
qua tibi parte opus est, Lesbia, sumis aquam.

1309. Eadem ratione consutus est hic cento e diversis Euripidis canticis, ac superior ille in derisionem Æschyli. Initium traductum ex Iphig. T. v. 1096.

ὄρνις, ἃ παρὰ τὰς πετρίνας
πόντου δειράδας, ἀλκυὼν,
ἔλεγον οἰκτρὸν ἀείδεις.

Locum indicavit Berglerus, ubi paulo infra usus est Euripides verbo εἱλίσσω:

λίμναν θ' εἱλίσσουσαν ὕδωρ
κύκνειον.

Sed aliud quid respexisse videtur Comicus: nam quæ hic profert nimium quantum ab Euripideis illis immutata sunt. ἀεννάοις scriptum est in iv. codd.

1316. κερκίδος ἀοιδοῦ μελέτας: appositio est ad πηνίσματα. Præposita vulgo copula gratiam omnem loci corrumpit: eam non agnoscit cod. meus. Sumtus est hic versiculus, teste Scholiasta, ex Euripidis Meleagro. *Radium* ἀοιδὸν, *canorum* appellat, non *quia*, ut ait ille, *textrices inter opus faciundum canere solent*; sed ob stridulum quem edit sonum, dum inter fila staminis trajicitur, cujus soni tanquam musici et jucundi solem-

ἵν' ὁ φίλαυλος ἔπαλλε δελφὶς
πρῴραις κυανεμβόλοις,
μαντεῖα καὶ σταδίους.
οἰνάνθας γάνος ἀμπέλου,
βότρυος ἕλικα παυσίπονον.
περίβαλλ', ὦ τέκνον, ὠλένας.
ὁρᾷς τὸν πόδα τοῦτον;

Δι. ὁρῶ.

Αι. τί δαί; τοῦτον ὁρᾷς;

Δι. ὁρῶ.

Αι. τοιαῦτα μέντοι σὺ ποιῶν
τολμᾷς τἀμὰ μέλη ψέγειν,
ἀνὰ τὸ δωδεκαμήχανον
Κυρήνης μελοποιῶν;
τὰ μὲν μέλη σου ταῦτα· βούλομαι δ' ἔτι
τὸν τῶν μονῳδιῶν διεξελθεῖν τρόπον.

ne est poëtis græcis laudem adjungere, sicubi pectinis meminerint. Leonidas Tar. Epigr. viii.

τὰν ἄτρια κρινομέναν
κερκίδα, τὰν ἱστῶν μολπάτιδα.

Antipater Sid. Epigr. xxii.

κερκίδα δ' εὐποίητον, ἀηδόνα τὰν ἐν ἐρίθοις,
Βακχυλὶς, εὐκρέκτους ᾇ διέκρινε μίτους.

xxvi.

κερκίδα, τὰν ὀρθρινὰ, χελιδονίδων ἅμα φωνᾷ,
μελπομέναν, ἱστῶν Παλλάδος ἀλκυόνα.

ix. κερκίδα τὰν φιλαοιδὸν Ἀθηναίῃ θέτο Βιττώ.

Hinc illud Virgilii

Arguto tenues procurrens pectine telas.

1317. Hic et seq. versus desumti sunt ex Euripidis Electra, ubi legitur v. 438.

ἵν' ὁ φίλαυλος ἔπαλλε δελφὶς
πρῴραις κυανεμβόλοισιν εἰλισσόμενος.

1320. Ex Euripidis versu in Hypsipyle, qui sic ferebatur juxta Scholiastam:

οἰνάνθα φέρει τὸν ἱερὸν βότρυν.

Ex eodem dramate est etiam v. 1322. Simile est quod exstat in Phœnissis v. 314.

ἀμφίβαλλε μαστὸν
ὠλέναισι ματέρος.

In Hypsipyle erant etiam hæc verba: ἀνὰ τὸ δωδεκαμήχανον ἄστρον, cujus epitheti significatio apud Tragicum obscura est: sed hic facete Cyrenæ tribuitur, nobili scorto, cujus mentio in Thesm. 98. Omnes illa Veneris figuras exprimebat, quas Philænis Elephantisque obscenis descripserunt libellis. Supra versu 1301. adversario objecerat Æschylus, eum a quibusvis meretriculis carmina sua sumere.

ὦ Νυκτὸς κελαινοφαὴς
ὄρφνα, τίνα μοι δύστανον ὄνειρον
πέμπεις ἐξ ἀφανοῦς, Ἀΐδα πρόπολον
ψυχὰν ἄψυχον ἔχοντα, μελαίνας
Νυκτὸς παῖδα, φρικώδη δεινὰν ὄψιν,
μελανονεκυείμονα, φόνια, φόνια δερκόμενον,
μεγάλους ὄνυχας ἔχοντα;
ἀλλά μοι, ἀμφίπολοι, λύχνον ἅψατε,
κάλπισί τ' ἐκ ποταμῶν δρόσον ἄρατε, θέρμετε δ' ὕδωρ,
ὡς ἂν θεῖον ὄνειρον ἀποκλύσω.
ἰὼ πόντιε δαῖμον, τοῦτ' ἐκεῖν'· ἰὼ ξύνοικοι,
τάδε τέρατα θεάσασθε.
τὸν ἀλεκτρυόνα μου ξυναρπάσασα
φρούδη Γλύκη. Νύμφαι ὀρεσίγονοι,
ὦ Μανία, ξύλλαβε.
ἐγὼ δ' ἁ τάλαινα προσέχουσ' ἔτυχον
ἐμαυτῆς ἔργοισι, λίνου μεστὸν ἄτρακτον
εἰ εἰ εἰ εἰ εἰ εἱλίσσουσα χεροῖν,
κλωστῆρα ποιοῦσ', ὅπως κνεφαῖος

1331. κελαινοφαής. Sic tres codd. cum primariis editt. In aliis κελαινοφαέννης, quod est etiam in C. Conficta hæc ad imitationem monodias Hecubæ in cognomine dramate, v. 68. ὦ στεροπὰ Διός—Propter voces νυκτὸς ὄρφνα putat Berglerus respexisse etiam Comicum ad illa Iphig. in T. 151.

οἵαν ἰδόμαν ὄψιν ὀνείρων
νυκτὸς, τᾶς ἐξῆλθ' ὄρφνα.

Versus digessi, ut sunt in membr. e quibus et ex meo Doricam formam δύστανον recepi.

κελαινοφαὴς, et δύστανον in seq. v. agnoscit etiam hic cod.

1333. πρόπολον. Sic membr. et B. Vulgo πρόσπολον.

Cod. nec πρόσπολον, nec πρόπολον agnoscit, sed πρόμολον, qua voce nescio an augeri debeant lexica. Adposita glossa, πρόδρομον, καὶ θανάτου σημαντικόν.

1340. Qui triste insomnium viderant, primo mane se lustrabant marina aut fluviali aqua. Hujus moris exemplum est in Apollonii Argon. iv. 663. ubi viso sub Medeæ et Jasonis adventum somnio exterrita Circe

ἐπιπλομένης ἠοῦς νοτίδεσσι θαλάσσης
ἐγρομένη πλοκάμους τε καὶ εἵματα φαιδρύνεσκε.

1345. Μανία est nomen ancillæ, ut Thesm. 728. a Μάνης deductum, quod est nomen servi.

1346. ἔτυχον. Cod. ἐτύγχανον, itidemque v. 1355. bis ἔβαλλον. v. 1350. ἀποδοίμην ἄν, pro ἀποδοίμαν.

1349. κνεφαῖος. Sic codd. et primariæ editt. tres, quod e Scholiasta reposuit Berglerus. Peccarunt operæ in officina

ἐς τὴν ἀγορὰν φέρουσ' ἀποδοίμαν·
ὁ δ' ἀνέπτατ' ἀνέπτατ' ἐς αἰθέρα
κουφοτάταις πτερύγων ἀκμαῖς·
ἐμοὶ δ' ἄχε' ἄχεα κατέλιπε·
δάκρυα, δάκρυα τ' ἀπ' ὀμμάτων
ἔβαλον, ἔβαλον ἁ τλάμων.
ἀλλ' ὦ Κρῆτες, Ἴδας τέκνα,
τὰ τόξα λαβόντες ἐπαμύνατε,
τὰ κῶλά τ' ἀμπάλλετε, κυκλούμενοι τὴν οἰκίαν.
ἅμα δὲ Δίκτυννα παῖς Ἄρτεμις καλὰ,
τὰς κυνίσκας ἔχουσ' ἐλθέτω διὰ δόμων πανταχῆ.
σὺ δ', ὦ Διὸς, διπύρους ἀνέχουσα λαμπάδας
ὀξυτάταιν χεροῖν, Ἑκάτα, παράφηνον ἐς Γλύκης,
ὅπως ἂν εἰσελθοῦσα φωράσω.

Δι. παύσασθον ἤδη τῶν μελῶν.

Αι. κᾀμοί γ' ἅλις.
ἐπὶ τὸν σταθμὸν γὰρ αὐτὸν ἀγαγεῖν βούλομαι,

Cratandri κνιφαίοις exprimentes, quæ menda in Venetas transiit, et postea male correcta vulgatum peperit κνιφαίως.

1356. Ἴδας, Dorica forma, tres habent codd.

Hic et sequens versus e Cretensibus Euripidis desumti sunt. Glossam nomina κῶλα superscriptam protuli, ut ostenderem veteres Criticos ei non eandem significationem tribuisse quam Bisetus, id est pro *retibus* non accepisse, quibus parum convenire videtur verbum ἀμπάλλετε. Ista notio adscivisset ἀμπετάσατε, ἀμφιβάλλετε vel simile quid.

1358. τὰ κῶλα. Glossa, τοὺς πόδας ὑμῶν.

1359. Vox Ἄρτεμις, quæ forte ex glossa se intrusit, sine ullo dispendio abesse posset.

1360. διὰ δόμων πανταχῆ. In meo διὰ δόμων ταχύ.

1362. ὀξυτάταιν χεροῖν. Tres codd. ὀξυτάτας ad λαμπάδας relatum, minus bene. Vulgatum habet B. In C. διαπύρους, cum hac glossa: διακαεῖς, ἢ διπύρους, ἤτοι διπλᾶς.

1363. ὅπως ἂν εἰσελθοῦσα φωράσω. Versus est iambicus. Particulam ἂν, quæ vulgo omissa est, exhibent codd. A. C. Rarissime Comicum ὅπως *ut*, sine ἂν adhibere observavi ad Lys. 384. *ut ingressa perscruter ad deprehendendum furtum.* Hac significatione adhibitum verbum φωρᾶν Nub. 499.

1364. Ex hoc senario perperam vulgo duos versus faciunt.

1365. Sic scriptus vulgo hic versus toto deficiente pede:

ἐπὶ τὸν σταθμὸν γὰρ ἀγαγεῖν βούλομαι.

Kusterus e conjectura sic supplet:

ἐπὶ τὸν σταθμόν γ' ὑμᾶς γὰρ ἀγαγεῖν βούλομαι.

parum concinne et falso sensu: Æschylus enim solum Euripidem ad libram ducere vult. Frischlinus ex vi sen-

ὅσπερ γ᾿ ἐλέγξει τὴν ποίησιν νῷν μόνος·
τὸ γὰρ βάρος νῷν βασανιεῖ τῶν ῥημάτων.
Δι. ἴτε δεῦρο νῦν, εἴπερ γε δεῖ καὶ τοῦτό με
ἀνδρῶν ποιητῶν τυροπωλῆσαι τέχνην.
Χο. ἐπίπονοί γ᾿ οἱ δεξιοί.
τόδε γὰρ ἕτερον αὖ τέρας
νεοχμὸν, ἀτοπίας πλέων,
ὃ τίς ἂν ἐπενόησεν ἄλλος;
μὰ τὸν, ἐγὼ μὲν οὐδ᾿ ἂν, εἴ τις
ἔλεγέ μοι τῶν ἐπιτυχόντων,
ἐπιθόμην, ἀλλ᾿ ᾠόμην ἂν
αὐτὸν αὐτὰ ληρεῖν.

tentiæ bene verterat: *Nunc ad stateram volo virum hunc deducere.* Et illud ipsum est, quod græce dedi, haud quidem e conjectura, quam tamen facile quivis facere poterat, sed e tribus codd. qui versum sic exhibent:

ἐπὶ τὸν σταθμὸν γὰρ αὐτὸν ἀγαγεῖν βούλομαι.

In B. eodem sensu, integroque versu, sed minus modulato:

ἐπὶ τὸν σταθμὸν τοῦτον γὰρ ἀγαγεῖν βούλομαι.

1369. Vulgo sic legitur hic versus, pessumdato metro:

ἀνδρῶν ποιητῶν τυροπωλῆσαι τὴν τέχνην.

Articulum τὴν et sententiam et metrum inutili gravantem onere non agnoscebant membr. nec meus cod. eumque postmodo vidi abesse etiam in C. et in cod. Gl. ἐριοπωλικῶς ζυγῆσαι.

1374. μὰ τὸν—Subauditur Δία, vel Ἀπόλλω, vel Ποσειδῶ, vel alius cujusvis dei nomen, quod religionis ergo supprimebant, qua de re videndi Scholiastes et Spanhemius. Diversa ratione istud μὰ τὸν adhibet Strato in venustissimo Epigr. xliii. ubi nomen dei non supprimit ex usu illo loquendi; sed juraturus se reprimit, inchoatumque non absolvit juramentum.

εἰ μὴ Κλεόνικος ἐλεύσεται, οὐκέτ᾿ ἐκεῖνον
δέξομ᾿ ἐγὼ μελάθροις, οὐ μὰ τὸν . . . .
οὐκ ὀμόσω.

Ad eundem modum dicebant οὐ μὰ τὴν, quod Hesychius, apud quem perperam excusum οὐ μάτην, exponit οὐκ ἀληθῶς, in quam glossam videndus Bentleius ad Menandri fragm. p. 49.

μὰ τόν. Scholion in margine cod. δέον εἰπεῖν μὰ τὸν Δία, μὰ τὸν εἶπε μόνον: καὶ ἔστι τοῦτο εὐλαβείας ἴδιον, τὸ πεφεισμένως καὶ ἐλλειπτικῶς τοῦ ὅρκου ἅπτεσθαι. Simile exemplum est in Philodemi festivo Epigr. viii.

πέντε δίδωσιν ἑνὸς τῇ δεῖνα ὁ δεῖνα τάλαντα,
καὶ βινεῖ φρίσσων, καὶ, μὰ τὸν, οὐδὲ καλήν.

1376. ἐπιθόμην. Sic recte B. Vulgo reclamante metro ἐπειθόμην. Sunt enim juxta Scholiastem metricum versus isti omnes trochaici. In tertio νεοχμὸν pes est trochæus per synizesin duarum vocalium. Non tamen refragarer, si quis mallet versum illum dimetrum iambicum dicere, et duos postremos sic digerere, ut iambici itidem essent:

ἐπιθόμην, ἀλλ᾿ ᾠόμην
ἂν αὐτὸν αὐτὰ ληρεῖν.

Δι. ἴθι νυν, παρίστασθον, παρὰ τὼ πλάστιγγ'.
Ευ. ἰδού.
Δι. καὶ λαβομένω, τὸ ῥῆμ' ἑκάτερος εἴπατον,
καὶ μὴ μεθεῖσθον, πρὶν ἂν ἐγὼ σοφῷν κοκκύσω.
Ευ. ἐχόμεθα.
Δι. τοὔπος νῦν λέγετον εἰς τὸν σταθμόν.
Ευ. ΕΙΘ' ΩΦΕΛ' ΑΡΓΟΥΣ ΜΗ ΔΙΑΠΤΑΣΘΑΙ ΣΚΑΦΟΣ.
Αι. ΣΠΕΡΧΕΙΕ ΠΟΤΑΜΕ, ΒΟΥΝΟΜΟΙ Τ' ΕΠΙΣΤΡΟΦΑΙ.
Δι. κόκκυ. μεθεῖτε. καὶ πολύ γε κατωτέρω
χωρεῖ τὸ τοῦδε.
Ευ. καὶ τί ποτ' ἐστὶ ταἴτιον;
Δι. ὅτι εἰσέθηκε ποταμὸν, ἐριοπωλικῶς
ὑγρὸν ποιήσας τοὔπος, ὥσπερ τἄρια·
σὺ δ' εἰσέθηκας τοὔπος ἐπτερωμένον.
Ευ. ἀλλ' ἕτερον εἰπάτω τι, κἀντιστησάτω.
Δι. λάβεσθε τοίνυν αὖθις.
Ευ. ἦν ἰδού.
Δι. λέγε.

1378. ἰδοῦ et mox ἐχόμεθα Æschylo vulgo adscripta, membr. tribuunt Euripidi. Prius in B. tributum Æschylo, posterius Euripidi. De meo cod. nihil est quod referam: nam desunt in eo 154. versus, incipiente lacuna post v. 1369. At in C. personæ multo melius indicatæ, utrique, Æschylo simul et Euripidi tributis illis. Sic plane in fabulis nostris sæpe duæ aut plures personæ simul proloquentes paucis verbis consensum suum significant.

1380. μὴ μεθεῖσθον. Sic juxta impressos membranæ etiam, male. Vetandi particula μὴ verbum aoristi temporis in subjunctivo flagitat. Vide ad Lys. 1036. In B. et C. recte scriptum μεθῆσθον, quod reponi debet.

1381. ἐχόμεθα. Huic verbo, ut et supra voci ἰδοὺ, et vocibus ἦν ἰδοῦ v. 1390. præfixa in cod. duplex persona simul loquentium Æschyli et Euripidis. εἰς τὸν σταθμόν. Sic tres Regii. Vulgo ἐπὶ τὸν σταθμὸν, eadem præpositionum commutatione quæ observata fuit supra ad vers. 620.

1382. Euripidis versus initium est Medeæ: Æschyli versus erat in illius Philoctete.

1386. ὅτι εἰσέθηκε. Sic tres Regii. Perperam vulgo ὅτ' εἰσέθηκε.

1390. ἦν ἰδού. His vocibus rursus in C. duplex præposita persona Æschyli et Euripidis: solius Æschyli in membr.

Ευ. ΟΥΚ ΕΣΤΙ ΠΕΙΘΟΥΣ ΙΕΡΟΝ ΑΛΛΟ, ΠΛΗΝ ΛΟΓΟΣ.
Αι. ΜΟΝΟΣ ΘΕΩΝ ΓΑΡ ΘΑΝΑΤΟΣ ΟΥ ΔΩΡΩΝ ΕΡΑ.
Δι. μεθεῖτε, μεθεῖτε· καὶ τὸ τοῦδέ γ' αὖ ῥέπει.
θάνατον γὰρ εἰσέθηκε βαρύτατον κακῶν.
Ευ. ἐγὼ δὲ πειθώ γ', ἔπος ἄριστ' εἰρημένον.
Δι. πειθὼ δὲ κοῦφόν ἐστι, καὶ νοῦν οὐκ ἔχον.
ἀλλ' ἕτερον αὖ ζήτει τι τῶν βαρυστάθμων,
ὅ τι σοι καθέλξει, καρτερόν τε καὶ μέγα.
Ευ. φέρε ποῦ τοιοῦτο δῆτά μοι 'στί; ποῦ φράσω;
Δι. βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα.
λέγοιτ' ἂν, ὡς αὕτη 'στὶ λοιπὴ σφῷν στάσις.
Ευ. ΣΙΔΗΡΟΒΡΙΘΕΣ Τ' ΕΛΑΒΕ ΔΕΞΙΑ ΞΥΛΟΝ.

1391. Versus est ex Antigone Euripidis: sequens ex Æschyli Niobe, juxta Scholiastem: nam qui plenius Æschyli fragmentum protulerunt Stobæus et Eustathius dramatis non meminere. Versus ipsos sudjungam cum Grotii versione:

Μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ.
οὐδ' ἄν τι θύων οὐδ' ἐπισπένδων λάβοις·
οὐδ' ἐστὶ βωμὸς, οὐδὲ παιωνίζεται·
μόνου δὲ Πειθὼ δαιμόνων ἀποστατεῖ.

Nescit Deûm Mors una muneribus capi:
non sanguis illi, non merum templo fluit,
non dulce resonat carmen, aut aræ calent.
hanc quippe solam Suada non novit Deam.

1397. *ζήτει τι τῶν.* Nisi ita scriptum sit in C. quod observasse non memini, lectionem hanc nullus agnosit cod. In membr. mendose *ζητεῖτι τῶν.* In B. *ζήτει τῶν* claudicante versu. Demum in quinto cod. reperio *ζήτει γε τῶν,* quod sincerum esse videtur.

1399. *μοι 'στί,* est pro *μοι ἐστί,* et sic excudi debet; quod cum ubivis ob perspicuitatem præstat, tum hic etiam ob euphoniam. Ingratum enim quid sonat quater repetita diphthongus *οι.*

1400. *βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα.* In Euripidis derisionem utitur hoc versu Comicus, quem ille fecerat in Telepho, ubi heroës inducebantur tesseris ludentes, quod episodium, quia theatri risum excitaverat, poëta suppressit. Hic vero idem significat, quod nobis formula e tesserarum etiam ludo desumta, *à vous le dé.*

Hunc versum, veterumque ad eum Criticorum observata illustrat Dan. Souterius in libello de Tabula lusoria et aleatoribus, p. 49.

1402. Versus est ex Euripidis Meleagro: sequens ex Glauco Potniense Æschyli, cujus locum pleniorem profert Scholiastes Euripidis ad Phœn. p. 750. editionis præstantissimi Valckenarii:

ἐφ' ἅρματος γὰρ ἅρμα, καὶ νεκρῷ νεκρὸς,
ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι.

Αι. ΕΦ' ΑΡΜΑΤΟΣ ΓΑΡ ΑΡΜΑ, ΚΑΙ ΝΕΚΡῼ ΝΕΚΡΟΣ.

Δι. ἐξηπάτηκεν αὖ σε καὶ νῦν.

Ευ. τῷ τρόπῳ.

Δι. δύ' ἅρματ' εἰσέθηκε καὶ νεκρὼ δύο,
ὡς οὐκ ἄραιντ' οὐδ' ἑκατὸν Αἰγύπτιοι.

Αι. καὶ μηκέτ' ἔμοιγε κατ' ἔπος, ἀλλ' ἐς τὸν σταθμὸν
αὐτὸς, τὰ παιδί', ἡ γυνὴ, Κηφισοφῶν,

1405. Cod. δύ' ἅρματ' εἰσήνεγκε.

1405. καὶ νεκρὼ δύο. Vulgo legitur δύω. Atticis δύω usitatum non fuisse observavit Dawesius aurei libelli p. 347. Idem adseruit Valckenarius ad Eurip. Phœn. p. 220. Atticam formam δύο Tragicis sæpe restituendam esse monens, partemque nobilis ex Erechtheo ῥήσεως tantillæ rei ignoratione penitus obscuratam fuisse. Locus quem innuit hic est:

τῇ μῇ δὲ παιδὶ στέφανος, ἣ μία μόνη
πόλεως θανοῦσα τῆσδ' ὑπερδοθήσεται,
καὶ τὴν τεκοῦσαν, καὶ σὲ, δύο θ' ὁμοσπόρους
σώσει.

Legebatur cum fœdissima sententiæ et metri labe,

καὶ τὴν τεκοῦσαν καί σε δύ' ὁμοσπόρους.

In re manifesta summis viris fidem derogandam esse non duxi, ipseque in eorum sententiam concessi ad Eurip. Or. 857. ubi versum ex Helena 1099. prout legi debet, protuli:

μέγας γὰρ ὡγὼν, καὶ βλέπω δύο ῥοπάς.

At ecce vir longe eruditissimus Regius Professor, qui sibi verba dari non facile patitur, quique callide novit, *quantum inter* DICTA *et* PROBATA *intersit*, (*vide not. in Soph. El.* 1024.) nos omnes ad ferulam suam revocat in nota ad Soph. Aj. 319. Dawesium reprehendens, quod in senarii Euripidei fine δύο pro δύω reponendum esse statuerit. Jam cupisne scire quo argumento ille ostendat posteriorem formam Atticos non refugisse? Undenam corruptelæ tuendæ potius tela arcessivisset, quam ex ipsius corruptelæ armamentario? Sic solent boni isti homines mendam menda defendere, non animadvertentes vix unicum esse græcum vocabulum, in quo describendo diversis modis non lapsi sint librarii. Versum ex Comici nostri Equitibus protulit 1347. quem sic in impressis legerat:

καὶ νὴ Δία γ', εἰ δύω λεγοίτην ῥήτορε.

Sed discat CLARISSIMUS PROFESSOR versum illum deinceps sic lectum iri:

καὶ νὴ Δία γ', εἰ δύο σοι λεγοίτην ῥήτορε.

Quid mirum, si librorum olim descriptoribus, hominibus imperitis, parumque adtentis, δύω sæpe pro δύο in calamum venerit? Hic in duobus Reg. codd. quos adhibueram, scriptum repereram δύω, quod mihi scrupulum non injecit, nec in mora fuit, quin Atticam formam reponerem. Demum in C. qui codex majoribus exaratus est calami ductibus, perspicue quantum potest scriptum reperior ΔΥΟ. Hoc tibicine non indigebat mea emendatio.

1408. αὐτὸς, τὰ παιδί', ἡ γυνὴ, Κηφισοφῶν. Omnis Veneris expertium mala librariorum manus gratiam hujus versus corruperat, copulam inserendo, quæ nulla, aut saltem triplex esse debebat. Sic enim vulgo legitur:

αὐτὸς, τὰ παιδία, χ' ἡ γυνὴ, Κηφισοφῶν.

In B. χ' ἡ γυνὴ χῳ Κηφισοφῶν. Poste-

ἐμβὰς καθήσθω, ξυλλαβὼν τὰ βιβλία·
ἐγὼ δὲ δύ' ἔπη τῶν ἐμῶν ἐρῶ μόνα.

Δι. ἄνδρες σοφοὶ, κἀγὼ μὲν αὐτοὺς οὐ κρινῶ.
οὐ γὰρ δι' ἔχθρας οὐδετέρῳ γενήσομαι.
τὸν μὲν γὰρ ἡγοῦμαι σοφὸν, τῷ δ' ἥδομαι.

Πλ. οὐδὲν ἄρα πράξεις, ὧνπερ ἦλθες οὕνεκα.

Δι. ἐὰν δὲ κρίνω;

Πλ. τὸν ἕτερον λαβὼν ἄπει,
ὁπότερον ἂν κρίνῃς, ἵν' ἔλθῃς μὴ μάτην.

Δι. εὐδαιμονοίης. φέρε, πύθεσθέ μου ταδί.
ἐγὼ κατῆλθον ἐπὶ ποιητήν.

Ευ. τοῦ χάριν;

Δι. ἵν' ἡ πόλις σωθεῖσα τοὺς χοροὺς ἄγῃ.
ὁπότερος οὖν ἂν τῇ πόλει παραινέσειν
μέλλει τι χρηστὸν, τοῦτον ἄξειν μοι δοκῶ.
πρῶτον μὲν οὖν περὶ Ἀλκιβιάδου τίν' ἔχετον

riorem copulam metrum admittere gravatur, utramque respuit sermonis venustas. Eleganter supra v. 587. Bacchus ait:

πρόῤῥιζος αὐτὸς, ἡ γυνὴ, τὰ παιδία,
κάκιστ' ἀπολοίμην—

Confer notam ad v. 1302. Quum sic a me fuisset editum, idem etiam Reiskio placuisse vidi.

Hic cod. ut B. habet, *τὰ παιδία, χ' ἡ γυνὴ, χὡ Κηφισοφῶν.*

1411. *ἄνδρες σοφοί.* Sic tres Regii cum Vaticano et primariis editt. Quod vulgo nunc legitur *φίλοι* primum editum fuit in officina Phil. Juntæ, nescio unde: sed mutationis causam deprehendere mihi videor. Verba hæc corrector esse credidit in vocativo, et ad chorum directa, ut ea acceperunt etiam interpretes, quos temere secutus sum. Sunt autem in casu recto, subaudito verbo *εἰσί. σοφοὶ* retinuit prior Basileensis, et ex ea servatum fuit in utraque Veneta. Illud *φίλοι* prorsus auctoritate caret.

Male hic cod. *ἄνδρες φίλοι,* quod in alio nullo repereram.

1417. *πύθεσθε.* Gl. *ἀκούσατε.—ταδί.* In C. *τοδί.*

1418. *τοῦ χάριν;* Hæc interrogatio in tribus codd. ut in editt. Bern. Juntæ, Cratandri, et Venetis Plutoni tributa est: in Aldina prorsus omissa persona: in recentioribus adscriptus Æschylus: mihi Euripides, idque, ut reor, verisimilius: eum enim, tanquam petulantem et protervum, priorem semper in verba erumpere facit Comicus. Ejusdem debet esse personæ hæc percunctatio ac altera vers. 1424. *ἔχει δὲ περὶ αὐτοῦ τίνα γνώμην.* Posteriorem Æschylo duo codd. tribuunt: unus cui consentio, Euripidi.

τοῦ χάριν. Adscripta in cod. Plutonis persona.

1420. *ὁπότερος οὖν ἂν*—Vulgo inversæ voculæ cum metri labe, *ἂν οὖν.* Nihil ab impressis differebant prius inspecti codd. Nunc demum in C. quem restitui vocum ordinem reperio.

ὁπότερος οὖν ἂν—Sic etiam in hoc cod.

γνώμην ἑκάτερος; ἡ πόλις γὰρ δυστοκεῖ.
Ευ. ἔχει δὲ περὶ αὐτοῦ τίνα γνώμην;
Δι. τίνα;
ποθεῖ μὲν, ἐχθαίρει δὲ, βούλεται δ' ἔχειν.
ἀλλ' ὅ τι νοεῖτον, εἴπατον τούτου πέρι.
Ευ. μισῶ πολίτην, ὅστις ὠφελεῖν πάτραν
βραδὺς πέφυκε, μάλα δέ γε βλάπτειν ταχὺς,
καὶ πόριμον αὑτῷ, τῇ πόλει δ' ἀμήχανον.
Δι. εὖ γ', ὦ Πόσειδον· σὺ δὲ τίνα γνώμην ἔχεις;
Αι. οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν·

1424. In hoc cod. ut in membr. tributa hæc percontatio Æschylo. Melius, ut mihi videtur in B. adscripta Euripidis persona.

1425. Sumtus hic versus, teste Scholiasta, ex Ionis Chii Φρουροῖς. In alio ejusdem Tragici dramate, cui titulus erat Φοῖνιξ ἢ Καινεὺς erat heroicus iste versus, quem in rem suam traduxit Comicus supra v. 706.

εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος, ὦ πολῖται.

de Ione Chio videndus Bentleius in Epist. ad Millium.

1428. *μάλα δέ γε βλάπτειν ταχύς.* Sic B. juxta impressos: A. C. *μεγάλα δὲ βλάπτειν ταχὺς*, ut et Suidas in Σίφνιοι. Vulgatum prætuli, in quo *βλάπτειν* absolute positum, et *μάλα γε* ad *ταχὺς* refertur.

1431. *οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν·*
ἢν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.

Inter hos versus medius insertus hic comparet in editt. omnibus:

μάλιστα μὲν λέοντα μὴ 'ν πόλει τρέφειν.

Parum emunctæ naris fuerunt, qui fraudem Comico factam statim non olfecerunt; furcillis expulissent supposititium versum, si tantillum arte critica valuissent. Eum satis damnabat cum suamet ipsius ineptia, tum Plutarchi auctoritas, qui hanc sententiam proferens in Alcibiade p. 21. nullam adulterini versus mentionem facit. Sed qui ante nostram ætatem veteres tractabant poëtas quidvis potius passi fuissent, quam unum alicui versum eximi, etiamsi esset longe absurdissimus. Et sunt etiamnum boni viri, coævis suis adeo iniqui, ut si solœcismum quempiam atrocissimum perito emendemus, nos veterum scripta temerare clamitent: iidemque, si media in barbarie insulsus aliquis librarius inter venustos poëtæ versus absoni quid INFERCISERIT, id pro genuino haberi volunt: tantum apud eos valet quatuor vel quinque plus minus sæculorum auctoritas. Nec per eos licet a germanis spuria segregare: sin quis id aggrediatur, ei confestim violatæ antiquitatis crimen intentant, quo si me nunc arcessant, tam eis opto ut ineptiarum non damnentur, quam me majestatis absolutum iri confido. Quippe fidejussores habeo tres codd. quorum ne in uno quidem vel tenuissimum apparet vestigium rejecti a me versus. Hic subsistere possem, ut feci in Apollonio ii. 1117. Non tamen frustra satagere videbor, si inquiram quænam fuerit mens hominis, qui non diu multum ante Suidæ ætatem pannum hunc Comico adsuit. Scilicet quia sententiam suam dixerat Euripides tribus conclu-

ἢν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.
Δι. νὴ τὸν Δία τὸν Σωτῆρα, δυσκρίτως γ' ἔχω.
ὁ μὲν σοφῶς γὰρ εἶπεν· ὁ δ' ἕτερος σαφῶς.
ἀλλ' ἔτι μίαν γνώμην ἑκάτερος εἴπατον,
περὶ τῆς πόλεως ἥν τιν' ἔχετον σωτηρίαν.
Ευ. εἴ, τις πτερώσας Κλεόκριτον Κινησίᾳ,

sam versibus, lepidiorem ille locum futurum credidit, si par Euripidi faceret Æschylus, totidemque versibus suam proponeret sententiam: itaque versum illum labore non magno, sententia nulla cudit. Arreptum eum postea ludimagistri, quum plus sapere quam illius conditor vellent, alius eum Euripidi, alius Baccho, quin etiam alius Choro, tribuere; verecundiores nihil decreverunt. Hoc declarat posterior pars scholii ad hunc locum. Pars prior usque ad verba ἔν τισι bonæ notæ est, et e veterum Criticorum commentariis excerpta; spectatque illa tres Euripidis versus et duos Æschyli, quales eos exhibent codd. et nostra editio. Quæ sequuntur nauci non sunt; et tam versus conditor quam illius interpretes fungi fuere.

Spurium versum, quem e textu ejeci, habet hic cod.

1437. εἴ, τις πτερώσας—Berglerus εἴ τις πτερώσαι cum hac nota. *Est 3. pers. aor. 1. opt. Edd. omnes εἴ τις πτερώσας.* Recte, ô bone, editiones omnes: nec solum eæ, sed etiam codd. omnes: nec aliter poëtam scripsisse manifestum est: nam cum tua tertia persona, priori verbo alterum sine copula subjici non potest: εἴ τις πτερώσαι—καὶ αὖραι αἴροιεν. An loquendi formam alioquin minime insolitam Kusterus tibi non satis declaraverat? Nominativus est absolutus pro genitivo: εἰ, πτερώσαντός τινος Κλεόκριτον Κινησίᾳ, αὖραι, αὐτοὺς αἴροιεν πελαγίαν ὑπὲρ πλάκα. Qui tot putidissimas mendas silentio præteriisti, nunc demum corrigere incipis, ut quod non modo sanum, sed etiam elegans est, pervertas et corrumpas! At tibi non ita sum iniquus, quin credam, te ineptam hanc notulam deleturum fuisse, si, antequam prelo subjiceretur, lucubrationem tuam retractavisses. De nominativo et accusativo absolute positis videndus Gregorius de Dial. Att. §. vii. et xxxv. Sæpe dubitari potest utro casu rectone an quarto, sic positum sit participium neutrum, ut in Lys. v. 13.

εἰρημένον δ' αὐταῖς ἀπαντᾷν ἐνθάδε—

Sed indubitati nominativi exempla ubivis obvia. Vide Valckenarium ad Eurip. Phœn. p. 101. et ad Hippol. v. 23. Sophocl. Antig. 259.

λόγοι δ' ἐν ἀλλήλοισιν ἐῤῥόθουν κακοὶ,
φύλαξ ἐλέγχων φύλακα.

sed hæc tralaticia sunt. Aristarchum et Apollonium nobiles Grammaticos versum hunc et quatuor sequentes, proindeque etiam vers. 1452. et 1453. tanquam Aristophane indignos obelo notasse refert Scholiastes, quorum Kusterus judicium probat. Utique male cohærent cum reliquis: ideo v. 1442. edidi ἕτερον μὲν οἶδα, pro eo quod in libris omnibus legitur, ἐγὼ μὲν οἶδα. Hoc si quis non probet, septem versus, qui tamen insulsi non sunt, quibusque inest aliquid comicæ lasciviæ, prorsus repudiet, loco sic constituto post v. 1436.

περὶ τῆς πόλεως ἥν τιν' ἔχετον σωτηρίαν.
Εὐριπίδης.
ἐγὼ μὲν οἶδα, καὶ θέλω φράζειν.
Διόνυσος.
λέγε.

αἴροιεν αὖραι πελαγίαν ὑπὲρ πλάκα.
Δι. γέλοιον ἂν φαίνοιτο· νοῦν δ' ἔχει τίνα;
Ευ. εἰ ναυμαχοῖεν, κἆτ' ἔχοντες ὀξίδας
ῥαίνοιεν ἐς τὰ βλέφαρα τῶν ἐναντίων.
ἐγὼ μὲν οἶδα, καὶ θέλω φράζειν.
Δι. λέγε.
Ευ. ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα,
τὰ δ' ὄντα πίστ', ἄπιστα.
Δι. πῶς; οὐ μανθάνω.
ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον.
Ευ. εἰ τῶν πολιτῶν, οἷσι νῦν πιστεύομεν,
τούτοις ἀπιστήσαιμεν· οἷς δ' οὐ χρώμεθα,
τούτοισι χρησαίμεσθ', ἴσως σωθεῖμεν ἄν.

Εὐριπίδης.
ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα,
τὰ δ' ὄντα πίστ', ἄπιστα.
Διόνυσος.
πῶς; οὐ μανθάνω.
ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον.
Εὐριπίδης.
εἰ τῶν πολιτῶν, οἷσι νῦν πιστεύομεν,
τούτοις ἀπιστήσαιμεν· οἷς δ' οὐ χρώμεθα,
τούτοισι χρησαίμεθ', ἴσως σωθεῖμεν ἄν.
εἰ νῦν γε δυστυχοῦμεν ἐν τούτοισι, πῶς
τἀναντία πράττοντες οὐ σωζοίμεθ' ἄν;
Διόνυσος.
εὖ γ', ὦ Παλάμηδες· ὦ σοφωτάτη φύσις.
τί δαὶ λέγεις σύ;
Αἰσχύλος.
τὴν πόλιν νῦν μοι φράσον—

1440. Vulgo sic legitur hic versus:

εἰ ναυμαχοῖεν ἄν, κατέχοντές τ' ὀξίδας—

In membr. scriptum reperi, ut etiam est in C.

εἰ ναυμαχοῖεν κατέχοντες ὀξίδας—

Inde proclive fuit veram restituere lectionem:

εἰ ναυμαχοῖεν, κἆτ' ἔχοντες ὀξίδας—

κατὰ et κἆτα sæpe a librariis commutata fuere, ut observatum fuit ad v. 958. Particula ἂν hic prorsus est inutilis: importuna copula, et aliena significatio verbi κατέχειν. Jam has notas scribens primarias editiones ad manum habeo et Scaligeri Excerpta. Sicubi textus meus a Kusteriano differt, primarias illas inspicio, deinde Scaligeri Excerpta, si forte harum varietates ab eo enotatæ fuerint. Aldina, quam, una excepta, reliquæ omnes expresserunt, vulgatam lectionem habet: Scaliger ad hunc versum nihil. At unica illa, quæ a reliquis dissentit, quænam ea est, quidve habet? Est editio Bern. Juntæ, omnium optima, quam neglexerunt editores omnes, quam Kusterus ne quidem novit, in qua hæc ipsa nostra lectio totidem exstat literis, ne uno apice mutato. Idem jam observavimus supra in v. 1161. Mirari subit qui Bartholomæus Zanettus, cujus ex officina prodiit elegans xi. Comœdiarum editio, Basileensem Cratandri potius expresserit, quam illam Bern. Juntæ. Fueritne jam tum rarior, quæ hodie est rarissima?

Sic scriptus est hic versus in cod.

εἰ ναυμαχοῖεν, κατέχοντές τ' ὀξίδας.

1448. ἴσως σωθεῖμεν ἄν. Sic perite emendavit Dawesius, cujus judicium

εἰ νῦν γε δυστυχοῦμεν ἐν τούτοισι, πῶς
τἀναντία πράττοντες οὐ σωζοίμεθ' ἄν ;
Δι. εὖ γ', ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις,
ταυτὶ πότερ' αὐτὸς εὗρες, ἢ Κηφισοφῶν ;
Ευ. ἐγὼ μόνος· τὰς δ' ὀξίδας Κηφισοφῶν.
Δι. τί δαὶ λέγεις σύ ;
Αι. τὴν πόλιν νῦν μοι φράσον
πρῶτον, τίσι χρῆται· πότερα τοῖς χρηστοῖς ;
Δι. πόθεν ;
μισεῖ κάκιστα.
Αι. τοῖς πονηροῖς δ' ἥδεται ;
Δι. οὐ δῆτ' ἐκείνη γ', ἀλλὰ χρῆται πρὸς βίαν.
Αι. πῶς οὖν τις ἂν σώσειε τοιαύτην πόλιν,
ᾗ μήτε χλαῖνα, μήτε σισύρα ξυμφέρει ;
Δι. εὕρισκε νὴ Δί', εἴπερ ἀναδύσει πάλιν.
Αι. ἐκεῖ φράσαιμ' ἄν· ἐνθαδὶ δ' οὐ βούλομαι.
Δι. μὴ δῆτα σύ γ'· ἀλλ' ἐνθένδ' ἀνίει τἀγαθά.

confirmant codd. A. C. in quibus *σωθείημεν ἄν*, ut apud Suidam in *σαφέστερον*, forma Grammaticis tradi solita, cuique assueti erant librarii, sed quæ Atticis saltem poëtis inusitata fuit. Confer Toupium ad Suidam i. 49. Hic loquendi ratio optativum flagitat, et solœcum est, quod vulgo legitur *ἴσως σωθῶμεν ἄν*.

Hic cod. etiam *ἴσως σωθείημεν ἄν*.

1455. *πόθεν*; Negatio morata per interrogationem. Sic Conc. 976. percunctanti anui: *οὗτος, τί κόπτεις ; μῶν ἐμὲ ζητεῖς ;* respondet adolescens; *πόθεν ;* id est, *οὐδαμῶς*, sed, ut ait Hesychius, *μεθ' ὑποκρίσεως*. Vide Hemsterhusium ad Luciani Tim. p. 115.

1457. *χρῆται πρὸς βίαν.* *Eis uti cogitur: vi utitur coacta.* Acharn. 73. *πρὸς βίαν ἐπίνομεν, cogebamur bibere.* Varii substantivi cum præpositione *πρὸς* adverbiorum vicem sustinent. *πρὸς βίαν*, *vi* ; *πρὸς ἀνάγκην*, *vi*, *necessario* : *πρὸς καιρὸν*, *opportune* : *πρὸς εὐσέβειαν*, *pie* : *πρὸς ἡδονὴν*, *jucunde* : aliaque multa, quæ recensere meum non est ; non enim lexicon facio. *πρὸς βίαν* perperam acceperunt Sophoclis interpretes, in Electræ loco, quem bene distinctum dedi, v. 1460.

> *ὡς, εἴ τις αὐτῶν ἐλπίσιν κεναῖς πάρος*
> *ἐξῄρετ' ἀνδρὸς τοῦδε, νῦν ὁρῶν νεκρὸν,*
> *στόμια δέχηται τἀμὰ, μηδὲ πρὸς βίαν,*
> *ἐμοῦ κολαστοῦ προστυχὼν, φύσῃ φρένας.*

ordo est: *μηδὲ, προστυχὼν ἐμοῦ κολαστοῦ, φύσῃ φρένας πρὸς βίαν.* Quod non intellexisse Parisinum Professorem ad eum locum ostendam.

1462. *μὴ δῆτα σύ γ'· ἀλλ' ἐνθένδ' ἀνίει τἀγαθά* KUSTERUS : *Metri gratia scribendum est ἐνθάδ' ἀνίει, ut recte habet Ms. Vatic.* Itane, ô bone? videamus ergo, quibusnam, recepta hac lectione, pedibus incedat versus:

Αι. τὴν γῆν ὅταν νομίσωσι τὴν τῶν πολεμίων
εἶναι σφετέραν, τὴν δὲ σφετέραν τῶν πολεμίων·
πόρον δὲ τὰς ναῦς, ἀπορίαν δὲ τὸν πόρον.
Δι. εὖ, πλὴν ὁ δικαστὴς αὐτὰ καταπίνει μόνος
Πλ. κρίνοις ἄν.
Δι. αὕτη σφῷν κρίσις γενήσεται.
αἱρήσομαι γὰρ, ὅνπερ ἡ ψυχὴ θέλει.
Ευ. μεμνημένος νυν τῶν θεῶν, οὓς ὤμοσας,
ἦ μὴν ἀπάξειν μ' οἴκαδ', αἱροῦ τοὺς φίλους.
Δι. 'Η ΓΛΩΣΣ' ΟΜΩΜΟΚ', Αἰσχύλον δ' αἱρήσομαι.
Ευ. τί δέδρακας, ὦ μιαρώτατ' ἀνθρώπων;
Δι. ἐγώ;
ἔκρινα νικᾷν Αἰσχύλον, τιὴ γὰρ οὔκ;
Ευ. αἴσχιστον ἔργον μ' ἐργασάμενος προσβλέπεις;
Δι. τί δ' αἰσχρὸν, ἢν μὴ τοῖσι θεωμένοις δοκῇ;

μη δη | τα συγ' αλλ' | ενθαδ' α | νισ | τά | γαθα.

In quarta sede spondeus est: sed concedam tibi iambum esse, quia ignorabas verbum ἵημι primam semper producere, ut observavi ad Lys. 157. Quid facies quinto pede, tam misere fracto? ἐνθάδ' habet etiam cod. C. sed in duobus aliis, ut in impressis est ἐνθένδ', quod genuinum esse facile deprehendit quicunque metra primoribus labris adtigit.

1466. πλὴν ὁ δικαστής. Sic duo codd. et primariæ editt. Particulam γε nescio unde adsciverunt recentiores, in quibus πλήν γ' ὁ—Pejus in C. et cod. εὖ γε πλὴν ὁ—

1469. μεμνημένος νυν—Vulgo est νῦν. In B. μεμνημένος νῦν δὴ τῶν—Vides voculam δὴ interpretamentum esse alterius νυν, quod olim superscriptum, in textum translatum fuit. Post verba οὓς ὤμοσας cod. C. habet in contextus serie πρὶν κατελθεῖν: quod aliud glossema est. V. seq. ad τοὺς φίλους gl. ἐμέ.

1471. ἡ γλῶσσ'—Codd. ut impressi, ἡ γλῶττ'—Sunt ipsius Euripidis verba, quorum forma mutari non debuit. Versus ab hinc secundi in fine codd. etiam habent εὖ, perperam.

1475. τοῖσι θεωμένοις. Sic membr. Vulgo τοῖς. Vide supra ad 286. 772. Est autem hic versus parodia Euripidei versus in Æolo:

τί δ' αἰσχρὸν, ἢν μὴ τοῖσι χρωμένοις
δοκῇ;

Eundem versum salse in Euripidem retorsit Laïs meretrix, cujus dictum ex Machone refert Athenæus p. 582. C. Versus quia faceti sunt, hic subjungam:

Λαΐδα λέγουσι τὴν Κορινθίαν ποτὲ
Εὐριπίδην ἰδοῦσαν ἐν κήπῳ τινὶ
πινακίδα καὶ γραφεῖον ἐξηρτημένον
ἔχοντ', Ἀπόκριναι, φησὶν, ὦ ποιητά μοι,
τί βουλόμενος ἔγραψας ἐν τραγῳδίᾳ
ΕΡΡ' ΑΙΣΧΡΟΠΟΙΕ. καταπλαγεὶς δ'
Εὐριπίδης
τὴν τόλμαν αὐτῆς, καὶ γὰρ, ἔφη, τίς μοι
δοκεῖς
σύ γ' αἰσχροποιός. ἡ δὲ γελάσασ' ἀπεκρίθη·
τί δ' αἰσχρὸν, ἢν μὴ τοῖσι χρωμένοις δοκῇ;

Ευ. ὦ σχέτλιε, περιόψει με δὴ τεθνηκότα;

Δι. τίς οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ πνεῖν δὲ δειπνεῖν, καὶ τὸ καθεύδειν κώδιον;

Πλ. χωρεῖτε τοίνυν, ὦ Διόνυσ', ἔσω.

Δι. τί δαί;

Πλ. ἵνα ξενίσω σφὼ πρὶν ἀποπλεῖν.

Δι. εὖ τοι λέγεις,
νὴ τὸν Δί'· οὐ γὰρ ἄχθομαι τῷ πράγματι.

Verba ista ἴῤῥ' αἰσχροποιὲ sunt in Euripidis Medea v. 1346.

1477. Parodia est versuum Euripidis in Phrixo, quos servavit Stobæus:

τίς δ' οἶδεν, εἰ ζῆν τοῦθ', ὃ κέκληται θανεῖν,
τὸ ζῆν δὲ θνήσκειν ἐστί; πλὴν ὅμως βροτῶν
νοσοῦσιν οἱ βλέποντες, οἱ δ' ὀλωλότες
οὐδὲν νοσοῦσιν, οὐδὲ κέκτηνται κακά.

Id est, interprete Grotio, Floril. p. 494.

Quis scit morine vivere, atque hoc, vivere
quod nos vocamus, sit mori? hoc certe liquet:
morbis laborat vita; qui summum diem
obiit, miseriis pariter et morbo vacat.

Eadem sententia erat in Euripidis Polyido:

τίς οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν κάτω νομίζεται;

et diversis verbis in Hippolyto legitur v. 192.

ἄλλο τι τοῦ ζῆν φίλτερον, ἀλλ' ὃ
σκότος ἀμπίσχων κρύπτει νεφέλαις.
δυσέρωτες δὴ φαινόμεθ' ὄντες
τοῦδ', ὅτι τοῦτο στίλβει κατὰ γᾶν,
δι' ἀπειροσύναν ἄλλου βιότου,
κοὐκ ἀπόδειξιν τῶν ὑπὸ γαίας.
μύθοις δ' ἄλλως φερόμεσθα.

1479. χωρεῖτε τοίνυν, ὦ Διόνυσ', ἔσω. Sæpe cum vocativo singulari verbum plurale adhibetur, quando ad plures directa oratione, unus tantum compellatur. Lys. 1166. ἄφετ', ὦ 'γάθ', αὐτοῖς. *Concedite illis, ó bone.* Sic verti debuit, non vero *ó boni.* Vesp. 975.

ἴθ', ἀντιβολῶ σ'· οἰκτείρατ' αὐτόν, ὦ πάτερ,
καὶ μὴ διαφθείρητε.

Exempla apud Comicum nostrum frequenter obvia. Sic etiam Latini. Terentius Adelph. circa finem:

Nunc adeo si ob eam rem vobis mea vita invisa, Æschine, est,
quia non justa injusta prorsus omnia omnino obsequor,
missa facio: effundite, emite, facite quod vobis lubet.

Soph. Œd. Col. 1104. προσέλθετ', ὦ παῖ, πατρί. 1112. ἐρείσατ', ὦ παῖ, πλευρόν. 1102. ὦ τέκνον, ἦ πάρεστον; Egregie nugatur Heathius ad Philoct. v. 369. ὦ σχέτλι', ἦ τολμήσατ'—

1480. ἵνα ξενίσω σφὼ πρὶν ἀποπλεῖν.—εὖ τοι λέγεις. Vulgo legitur: πρίν γ' ἀπελθεῖν.—εὖ λέγεις. In membr. et C. scriptum πρὶν ἀποπλεῖν.—εὖ λέγεις. In B. πρὶν ἀπελθεῖν.—εὖ λέγεις. Primo vides particulam γε a nullo codice agnosci: nec eam in Vatic. esse, cujus varietas Kustero non satis accurate indicata, quavis sponsione contendam: tum ἀποπλεῖν cum Vat. duos Regios, eosque optimos præferre. ἀπελθεῖν nihil aliud est quam glossa. Sed laborabat metrum. In ἀποπλεῖν ex Comici usu media produci non debet: exciderat syllaba, quam haud infeliciter restituisse me confido: εὖ τοι λέγεις. Vide Pac. 934. Plut. 198.

Χο. μακάριόν γ' ἀνὴρ ἔχων
ξύνεσιν ἠκριβωμένην.
παρὰ δὲ πολλοῖσιν μαθεῖν.
ὅδε γὰρ εὖ φρονεῖν δοκήσας,
πάλιν ἄπεισιν οἴκαδ' αὖθις,
ἐπ' ἀγαθῷ μὲν τοῖς πολίταις,
ἐπ' ἀγαθῷ δὲ τοῖς ἑαυτοῦ
ξυγγενέσι τε καὶ φίλοις,
διὰ τὸ συνετὸς εἶναι.
χαρίεν οὖν, μὴ Σωκράτει
παρακαθήμενον λαλεῖν,
ἀποβαλόντα μουσικὴν,
τά τε μέγιστα παραλιπόντα
τῆς τραγῳδικῆς τέχνης.
τὸ δ' ἐπὶ σεμνοῖσιν λόγοισι
καὶ σκαριφισμοῖσιν λήρων

πρὶν ἀποπλεῖν. Sic etiam postremum inspectus cod. Vide not. ad fragmentum xii. Senectutis.

1482. *μακάριόν γ' ἀνὴρ ἔχων.* Kusterus scribendum *μακάριος* ad Vat. cod. fidem censuit: nec tamen dicit an codex ille particulam *γε* habeat nec ne. In duobus Regiis scriptum repereram *μακάριος ἀνὴρ ἔχων*: eademque plane scriptura est in C. Ob codicum consensum *μακάριος* prætuleram stulte, ut quod res est dicam. Nam illud *μακάριον* longe elegantius non sane correctorem sapit: tuetur id Scholiastes et bene explicat, quod non animadverteram, fuitque procul dubio in codice quo usus est Aldus. Quod ad particulam *γε* attinet, eam retinui, ut hic versus ejusdem cum sequentibus omnibus esset metri, nempe trochaicus: sin omittatur, pro trochaico dimeter erit pæonicus. *μακάριον* hic non solum elegantius est, sed etiam sententiæ melius convenit, quæ generalis est: non enim hoc de Æschylo dicitur, sed absolute: *μακάριόν γε χρῆμά ἐστιν ἀνὴρ ἔχων ξύνεσιν*, quod deinde confirmatur Æschyli exemplo. Nihil frequentius hac ellipsi substantivi *χρῆμα*. Menander apud Bentleium p. 9.]

εὑρετικὸν εἶναί φασι τὴν ἐρημίαν.

Ad quem versum vide summi viri observationem. Plena locutio est in Lys. 677.

*ἱππικώτατον γάρ ἐστι χρῆμα κἄποχον
γυνή.*

Minus eleganter etiam hic cod. *μακάριος ἀνὴρ ἔχων.* In Pl. 782. *ὡς χαλεπόν εἰσιν οἱ φίλοι.* Conc. 236. *χρήματα πορίζειν εὐπορώτατον γυνή.* Et sic passim, adeo ut mirer librarios hic lapsos fuisse.

1484. Supra observavi versus istos trochaicos esse, quorum nonnulli crurifragio multati fuerant. Hic metri lex flagitat *πολλοῖσιν*: v. 1496. *σεμνοῖσιν*: v. 1490. *συνετὸς*, non, ut vulgo, *ξυνετός*. Ista codicibus etiam refragantibus emendari debebant. In A. C. scriptum *συνετός*.

1497. Perperam in C. *σκαρηφισμοῖσι*, cum gl. *σκιαῖς*.

διατριβὴν ἀργὸν ποιεῖσθαι,
παραφρονοῦντος ἀνδρός.

ΠΛΟΥΤΩΝ, ΑΙΣΧΥΛΟΣ, ΧΟΡΟΣ.

Πλ. ΑΓΕ δὴ χαίρων, Αἰσχύλε, χώρει,
καὶ σῶζε πόλιν τὴν ἡμετέραν
γνώμαις ἀγαθαῖς, καὶ παίδευσον
τοὺς ἀνοήτους· πολλοὶ δ' εἰσίν·
καὶ δὸς τουτὶ Κλεοφῶντι φέρων,
καὶ τουτὶ τοῖσι πορισταῖς,
Μύρμηκί θ' ὁμοῦ καὶ Νικομάχῳ·
τόδε δ' Ἀρχενόμῳ·
καὶ φράζ' αὐτοῖς, ταχέως ἥκειν
ὡς ἐμὲ δευρὶ, καὶ μὴ μέλλειν.
κἂν μὴ ταχέως ἥκωσιν, ἐγὼ,
νὴ τὸν Ἀπόλλω, στίξας αὐτοὺς,
καὶ ξυμποδίσας,
μετ' Ἀδειμάντου τοῦ λευκολόφου
κατὰ γῆς ταχέως ἀποπέμψω.

Αι. ταῦτα ποιήσω· σὺ δὲ τὸν θᾶκον
τὸν ἐμὸν παράδος Σοφοκλεῖ τηρεῖν,

1503. εἰσίν. Sic ob metrum scribendum: vulgo εἰσί.

1504. καὶ τουτὶ—Sic A. C. Vulgo καὶ τούτοις.

1510. κἂν μὴ ταχέως ἥκωσιν, ἐγὼ—Sic anapæsto constant sui numeri. Vulgo κἂν μὴ ταχέως ἥκωσι. Integer versus erat apud Suidam in δεῦρο, quod Toupius indicavit: eandemque quam restituimus lectionem demum reperimus in C. In B. scriptum ἥκωσιν, sed omissum ἐγώ.

1512. In ξυμποδίσας Atticismum vulgo neglectum servant tres codices.

1513. λευκολόφου videtur hic esse nomen appellativum e nomine proprio per derisionem factum. Adimantus, de quo hic agitur, filius erat Leucolophidæ. Xenophonti Hellen. p. 25. vocatur Ἀδείμαντος ὁ Λευκολοφίδου. Sic enim ibi legendum ad codd. fidem, non, ut perperam editum est, Λευκοροφίδου. Potest tamen etiam accipi pro nomine proprio, siquidem, referente Scholiasta, Eupolis in *Urbibus* Adimantum hunc inducebat sic de se loquentem:

οὐκ ἀργαλέον δῆτ' ἐστὶ πάσχειν ταῦτ' ἐμὲ,
τὸν Λευκολόφου παῖδα;

1515. σὺ δὲ τὸν θᾶκον. Vulgo τὸν θρόνον, glossa in locum genuinæ vocis recepta, et sic corruptis numeris. Vat. cod. teste Kustero, habet θᾶκον. Sed hic, ut infra 1522. θᾶκον scribi debuit ex Atticorum usu.

καὶ διασώζειν, ἢν ἄρ' ἐγώ ποτε
δεῦρ' ἀφίκωμαι. τοῦτον γὰρ ἐγὼ
σοφίᾳ κρίνω δεύτερον εἶναι.
μέμνησο δ' ὅπως ὁ πανοῦργος ἀνὴρ,
καὶ ψευδολόγος, καὶ βωμολόχος,
μηδέποτ' εἰς τὸν θᾶκον τὸν ἐμὸν
μηδ' ἄκων ἐγκαθεδεῖται.

Πλ. φαίνετε τοίνυν ὑμεῖς τούτῳ
λαμπάδας ἱερὰς, χἄμα προπέμπετε,
τοῖσιν τούτου τοῦτον μέλεσιν
καὶ μολπαῖσιν κελαδοῦντες.

Χο. πρῶτα μὲν εὐοδίαν ἀγαθὴν ἀπιόντι ποιητῇ
κἐς φάος ὀρνυμένῳ δότε, δαίμονες οἱ κατὰ γαῖαν,
τῇ τε πόλει μεγάλων ἀγαθῶν ἀγαθὰς ἐπινοίας.
πάγχυ γὰρ ἐκ μεγάλων ἀχέων παυσαίμεθ' ἂν οὕτως,
ἀργαλέων τ' ἐν ὅπλοις ξυνόδων· Κλεοφῶν δὲ μαχέσθω,
κἄλλος ὁ βουλόμενος τούτων πατρίοις ἐν ἀρούραις.

1517. καὶ διασώζειν. Vulgo καὶ σώζειν, profligato metro. Vide not. ad Lys. 408. Mendosi sunt in hoc versu codd. Ab impressis non differunt A. B. In C. τηρεῖν ἐμοὶ καὶ σώζειν.

1522. In membr. recte scriptum θᾶκον: in C. θῶκον: in B. θόκον. Vide quæ de hujus nominis scriptura observavi ad Æschyli Prom. 280. et ad Eurip. Bac. 343. et interpretes ad Luciani Jovem Trag. tom. ii. p. 660. θάκημα est apud Soph. Œd. Col. 1380.

τοιγὰρ τὸ σὸν θάκημα καὶ τοὺς σοὺς θρόνους
κρατοῦσιν—

1526. In vulgata hujus versiculi scriptura nec vola metri nec vestigium est: τοῖς τούτου τοῦτον μέλεσι. Numeros ad membr. fidem restitui. In duobus aliis saltem est τοῖσι, sed bis omissum ν finale. Sequens versus in A. C. omissus. μολπαῖσιν ob metrum scribi debuit.

1532. Cleophontem tanquam peregrinum taxavit Comicus supra v. 678. quapropter eum hic pugnare jubet in patrio suo solo, apud Barbaros.

Periit codicis folium, quod quinque ultimos fabulæ versus continebat.

ΤΕΛΟΣ

ΤΩΝ ΒΑΤΡΑΧΩΝ.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

Π Λ Ο Υ Τ Ο Σ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΚΑΡΙΩΝ θεράπων.

ΧΡΕΜΥΛΟΣ δεσπότης.

ΠΛΟΥΤΟΣ.

ΧΟΡΟΣ ΑΓΡΟΙΚΩΝ.

ΒΛΕΨΙΔΗΜΟΣ φίλος Χρεμύλου.

ΠΕΝΙΑ.

ΓΥΝΗ Χρεμύλου.

ΔΙΚΑΙΟΣ ΑΝΗΡ.

ΣΥΚΟΦΑΝΤΗΣ.

ΓΡΑΥΣ.

ΝΕΑΝΙΑΣ.

ΕΡΜΗΣ.

ΙΕΡΕΥΣ ΔΙΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Βουλομενος Ἀριστοφάνης σκῶψαι τοὺς Ἀθηναίους ἀδικίᾳ καὶ συκοφαντίᾳ καὶ τοῖς τοιούτοις συνόντας, καὶ διὰ τοῦτο πλουτοῦντας, πλάττει πρεσβύτην τινὰ γεωργὸν Χρεμύλον τοὔνομα, δίκαιον μὲν ὄντα καὶ τοὺς τρόπους χρηστὸν, πένητα δὲ ἄλλως· ὃς μετά τινος αὐτῷ θεράποντος ἐλθὼν εἰς Ἀπόλλω, ἐρωτᾷ περὶ τοῦ ἰδίου παιδὸς, εἰ χρὴ τουτονὶ τρόπων χρηστῶν ἀμελήσαντα, ἀδικίας ἀντιποιεῖσθαι, καὶ ταυτὰ τοῖς ἄλλοις ἐπιτηδεύειν· ἐπειδήπερ οἱ μὲν τοιοῦτοι ἐπλούτουν· οἱ δὲ τὰ ἀγαθὰ πράττοντες, πένητες ἦσαν, καθάπερ αὐτὸς οὗτος ὁ Χρεμύλος. ἔχρησεν οὖν αὐτῷ ὁ θεὸς σαφὲς μὲν οὐδέν· ὅτῳ δὲ ἐξιὼν ἐντύχοι, τούτῳ ἕπεσθαι. καὶ ὃς γέροντι ἐντυγχάνει τυφλῷ (ἦν δὲ οὗτος ὁ Πλοῦτος) καὶ ἀκολουθεῖ κατὰ τὰς μαντείας, μὴ εἰδὼς ὅτι ὁ Πλοῦτός ἐστι. δυσχεραίνων δὲ ἐπὶ τούτῳ καθ' ἑαυτὸν ὁ θεράπων, μόλις αὐτὸν ἐρωτᾷ, τίνος ἕνεκα τούτῳ ἀκολουθοῦσι. καὶ ὁ Χρεμύλος λέγει αὐτῷ τὴν μαντείαν. ἔπειτα μανθάνουσι παρ' αὐτοῦ τοῦ

Argumentum in duobus tantum codd. exstat; in B. et in meo.

L. 1. τοὺς Ἀθηναίους. Sic meus. Vulgo omissus articulus.

L. 17. παρ' αὐτοῦ τοῦ Πλούτου. Culpari non debebat Kusterus, quod articulum, quem sermo-

Πλούτου, ὅστις ἐστὶ, καὶ ὅτου χάριν τυφλὸς ἐγεγόνει παρὰ τοῦ Διός· οἱ δὲ ἀκούσαντες, ἤσθησάν τε, καὶ βουλὴν ἐβουλεύσαντο ἀπαγαγεῖν αὐτὸν εἰς Ἀσκληπιοῦ, καὶ τὴν τῶν ὀφθαλμῶν θεραπεῦσαι πήρωσιν. καὶ ἵνα τὰ ἐν μέσῳ παρῶ, τάς τε τοῦ Βλεψιδήμου ἀντιλογίας, καὶ τῆς Πενίας αὐτῆς, ἀπήγαγόν τε αὐτὸν ὅτι τάχιστα, καὶ ὑγιᾶ ἐπανήγαγον οἴκαδε· ἐπλούτησάν τε ἱκανῶς, οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ ὅσοι βίου χρηστοῦ πρόσθεν ἀντεχόμενοι, πένητες ἦσαν.

nis ratio flagitare videtur, inseruisset, in prioribus editionibus male omissum. Hunc exhibent duo mei codices.

L. 3. βουλὴν ἐβουλεύσαντο. Sic ambo codd. Vulgo βουλὴν ἔσχον.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΠΛΟΥΤΟΣ.

ΚΑΡΙΩΝ, ΧΡΕΜΥΛΟΣ, ΠΛΟΥΤΟΣ, ΧΟΡΟΣ.

Κα. ʼΩΣ ἀργαλέον πρᾶγμ᾽ ἐστὶν, ὦ Ζεῦ καὶ θεοὶ,
δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.
ἢν γὰρ τὰ βέλτισθ᾽ ὁ θεράπων λέξας τύχῃ,
δόξῃ δὲ μὴ δρᾷν ταῦτα τῷ κεκτημένῳ,
μετέχειν ἀνάγκη τὸν θεράποντα τῶν κακῶν.
τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον
κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον.
καὶ ταῦτα μὲν δὴ ταῦτα. τῷ δὲ Λοξίᾳ,
ὃς θεσπιῳδεῖ τρίποδος ἐκ χρυσηλάτου,
μέμψιν δικαίαν μέμφομαι ταύτην, ὅτι

Integra non exstat in codice hæc fabula, nec quod ejus superest ab eadem scriptum est manu. Scilicet in unum volumen compactæ fuerunt complurium mutilorum codicum reliquiæ. Versus Pluti habentur ibi tantum 787. in trium aut quatuor diversorum codicum collatis foliis. Octo prima continent versus ab initio 239. eleganti manu, nec forte una eademque, scriptos, sed parum emendate, in quibus post v. 87. personæ amplius non sunt notatæ, nec ullæ vocibus superscriptæ glossæ. Sex sequentia folia, e recentiore codice decerpta, quantum ex charta et literarum formis colligere est, partem fabulæ continent a v. 179. usque ad 355. in iis sunt glossæ, adscriptæque personæ. Demum a v. 355. incipit antiquioris peritiorisque manus scriptura, qua exaratæ Ranæ et pars Nubium. Lacuna est post v. 615 usque ad 769. a quo incipit trium quæ supersunt foliorum primum, quibus continetur pars fabulæ, usque ad v. 941. Reliqua desiderantur.

4. ταῦτα. Tres codd. ταυτά. Gloss. ὅμοια τῷ ἔχοντι αὐτόν. Nostram lectionem tuentur Scholiastes et Hemsterhusius.

ἰατρὸς ὢν καὶ μάντις, ὥς φασιν, σοφὸς,
μελαγχολῶντ' ἀπέπεμψέ μου τὸν δεσπότην·
ὅστις ἀκολουθεῖ κατόπιν ἀνθρώπου τυφλοῦ,
τοὐναντίον δρῶν, ἢ προσῆκ' αὐτῷ ποιεῖν.
οἱ γὰρ βλέποντες τοῖς τυφλοῖς ἡγούμεθα·
οὗτος δ' ἀκολουθεῖ, κἀμὲ προσβιάζεται,
καὶ ταῦτ' ἀποκρινόμενος τοπαράπαν οὐδὲ γρύ.
ἐγὼ μὲν οὖν οὐκ ἔσθ' ὅπως σιγήσομαι,
ἢν μὴ φράσῃς, ὅ τι τῷδ' ἀκολουθοῦμέν ποτε,
ὦ δέσποτ'· ἀλλά σοι παρέξω πράγματα.
οὐ γάρ με τυπτήσεις, στέφανον ἔχοντά γε.

Χρ. μὰ Δί', ἀλλ' ἀφελὼν τὸν στέφανον, ἢν λυπῇς τι με,
ἵνα μᾶλλον ἀλγῇς.

Κα. ληρος· οὐ γὰρ παύσομαι,
πρὶν ἂν φράσῃς μοι, τίς ποτ' ἐστὶν οὑτοσί.
εὔνους γὰρ ὢν σοι πυνθάνομαι πάνυ σφόδρα.

Χρ. ἀλλ' οὔ σε κρύψω· τῶν ἐμῶν γὰρ οἰκετῶν
πιστότατον ἡγοῦμαί σε καὶ κλεπτίστατον.

17. *ἀποκρινόμενος.* Sic perite legendum esse vidit Bentleius: refertur enim ad proximum *οὗτος.* Codd. etiam ut impressi habent *ἀποκρινομένου*, quod pro genitivo absoluto habuerunt veteres; nec tamen satis illis constitit utro pertineret, an ad proximum herum, an ad remotiorem cœcum hominem. Hoc ostendit glossa codicis mei, *τοῦ τυφλοῦ ἢ τοῦ Χρεμύλου.* Sed queri non poterat servus sibi cœcum non respondere, quem nondum percunctatus fuerat.

27. *κλεπτίστατον* *furacissimum.* *σχῆμα παρ' ὑπόνοιαν* appellat Scholiastes, quum additurus videretur herus *καὶ εὐνούστατον.* Sed et est in ambiguo lusus. Nam, ut ille quoque observat, *κλεπτίστατον* significare etiam possit *κερδαλέον καὶ συνετόν*: vel *μυστηριακώτατον.* Postremum hanc interpretationem amplexus est Berglerus. Sicque non multum differt ab eo quod Simo apud Terentium initio Andriæ liberto suo dicit:

Nihil istac opus est arte—
sed iis, quas semper in te intellexi sitas
fide et taciturnitate.

Sed nihil hîc agitur quod Chremylus famulum suum silentio tegere cupiat. Melius vertissem, *callidissimum, sollertissimum.* Glossa cod. mei *φρονιμώτατον.* In B. hoc scholion margini adscriptum: *κλεπτίστατον] ἢ ὅτι τὸν φρόνιμον οἱ Ἀττικοὶ κλέπτην ἐκάλουν. ἢ ἀπὸ μεταφορᾶς τῶν κλεπτῶν τοῦτο φησί. φρονιμώτεροι γὰρ οἱ κλέπτοντες ἑαυτῶν γίνονται, ὅταν κλέπτωσιν, ἀναγκαζόμενοι παντὶ τρόπῳ συγκαλύπτειν ὅπερ ἔδρασαν. ὡς καὶ ἡ ἐτυμολογία δείκνυσι τοῦ ὀνόματος. κλέπτης γὰρ ἀπὸ τοῦ καλύπτω ἐτυμολογεῖσθαι δοκεῖ.*

ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ
κακῶς ἔπραττον, καὶ πένης ἦν.
Κα. οἶδά τοι.
Χρ. ἕτεροι δ' ἐπλούτουν, ἱερόσυλοι, ῥήτορες,
καὶ συκοφάνται, καὶ πονηροί.
Κα. πείθομαι.
Χρ. ἐπερησόμενος οὖν ᾠχόμην ὡς τὸν θεόν,
τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν
ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον·
τὸν δ' υἱόν, ὅσπερ ὢν μόνος μοι τυγχάνει,
πευσόμενος εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους,
εἶναι πανοῦργον, ἄδικον, ὑγιὲς μηδὲ ἕν,
ὡς τῷ βίῳ τοῦτ' αὐτὸ νομίσας ξυμφέρειν.
Κα. τί δῆθ' ὁ Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων;
Χρ. πεύσει. σαφῶς γὰρ ὁ θεὸς εἶπέ μοι τοδί·
ὅτῳ ξυναντήσαιμι πρῶτον ἐξιών,
ἐκέλευσε τούτου μὴ μεθίεσθαί μ' ἔτι·
πείθειν δ' ἐμαυτῷ ξυνακολουθεῖν οἴκαδε.
Κα. καὶ τῷ ξυναντᾷς δῆτα πρώτῳ;
Χρ. τουτῳΐ.
Κα. εἶτ' οὐ ξυνίης τὴν ἐπίνοιαν τοῦ θεοῦ,

34. ἐκτετοξεῦσθαι, ἐκκεκενῶσθαι, ἀνηλῶσθαι. ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ τοξείᾳ ἀναλισκόντων τὰ βέλη. Sic bene Suidas. βίον hic notat τὴν περιουσίαν, *facultates*: nec ludit in ambigua significatione vocis βίος *vita* et βιὸς *arcus*. Ingeniosam conjecturam ἐκτετελυπεῦσθαι scite ornavit Bentleius; sed nimium ei complacita fuit. Glossa in codd. ὑπολαμβάνων κατηναλῶσθαι, ἠφανίσθαι τὴν περιουσίαν. Scholion marginale in B. ἐκτετοξεῦσθαι] ἐκ μεταφορᾶς εἴρηται τοῦτο τῶν τοξοτῶν, ὅταν τοξεύοντες πάντας τοὺς ἑαυτῶν οἰστοὺς ἀφήσωσιν.

37. μηδὲ ἕν. Sic divisim scriptum in codd. Vulgo μηδέν.

44. καὶ τῷ ξυναντᾷς δῆτα πρώτῳ; Manifestum est interrogative hæc proferri. τῷ positum est pro τίνι. In B. D. signum est interrogationis. Quod justo argutiores quidam interpretes commenti sunt, id tuetur glossa in cod. meo voculæ τῷ superscripta, τούτῳ. Sed falluntur. Nusquam memini articulum ὅς apud Aristophanem vidisse loco pronominis οὗτος: sic quidem utuntur Tragici, sed rarissime. τὰ pro ταῦτα in Menandri versu reliquit Bentleius p. 86. cujus emendatio ut facillima, ita certissima est:

τάδε γὰρ ὁμόνοιαν τὴν πρὸς ἀλλήλους ποιεῖ.

At hic nulla est ratio, cur contra codd. fidem, sensu neutiquam meliori, sine interrogatione legatur, καὶ τῷδε συναντᾷς

φράζουσαν, ὦ σκαιότατέ, σοι σαφέστατα,
ἀσκεῖν τὸν υἱὸν τὸν ἐπιχώριον τρόπον;

Χρ. τῷ τοῦτο κρίνεις;

Κα. δῆλον ὁτιὴ καὶ τυφλὸς
γνῶναι δοκεῖ τοῦθ', ὡς σφόδρ' ἐστὶ ξυμφέρον,
ΤΟ ΜΗΔΕΝ ΑΣΚΕΙΝ ΥΓΙΕΣ ΑΝ ΤΩ ΝΥΝ ΧΡΟΝΩ.

Χρ. οὐκ ἔσθ' ὅπως ὁ χρησμὸς εἰς τοῦτο ῥέπει,
ἀλλ' εἰς ἕτερόν τι μεῖζον. ἢν δ' ἡμῖν φράσῃ
ὅστις ποτ' ἐστὶν οὑτοσὶ, καὶ τοῦ χάριν,
καὶ τοῦ δεόμενος, ἦλθε μετὰ νῷν ἐνθαδὶ,
πυθοίμεθ' ἂν τὸν χρησμὸν ἡμῶν, ὅ τι νοεῖ.

Κα. ἄγε δὴ, πρότερον σὺ σαυτὸν ὅστις εἶ φράσον,
ἢ τἀπὶ τούτοις δρῶ. λέγειν χρὴ ταχὺ πάνυ.

Πλ. ἐγὼ μὲν οἰμώζειν λέγω σοι.

Κα. μανθάνεις,
ὅς φησιν εἶναι;

Χρ. σοὶ λέγει τοῦτ', οὐκ ἐμοί.
σκαιῶς γὰρ αὐτοῦ καὶ χαλεπῶς ἐκπυνθάνει.
ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις,
ἐμοὶ φράσον.

δῆτα πρώτῳ, quod summo viro videbatur. δῆτα centies sic in interrogatione occurrit.

τῷ. Superscripta in cod. glossa τίνι.

46. σκαιότατε. Gl. ἀπαίδευτε λίαν.

51. εἰς τοῦτο ῥέπει. Sic tres codd. recte. Quod in impressis legitur τουτὶ, a correctore est, ignorante vim literæ ρ, qua præcedens brevis vocalis producitur. Vide quæ in hanc rem notavi ad Eurip. Or. 857. Æsch. Prom. 1031. Eurip. Hippol. 462. In Ione v. 530. tetrameter est trochaicus.

παῦε, μὴ ψαύσῃς τὰ τοῦ θεοῦ στέμματα
ῥήξεις χερί.

Mirum est Hemsterhusio ignotum hoc fuisse, eique excidisse hanc notulam: τουτὶ C. D'O. τοῦτο renitente versu. Alia infra ad vers. 1065. adferentur exempla. Hic scriptum in membr. εἰς τοῦτο 'ῤῥέπει, ad pronuntiandi modum. Vide Orvillii Crit. Vannum. p. 335.

εἰς τοῦτο ῥέπει. Sic etiam hic codex.

56. ἄγε δὴ, πρότερον σὺ σαυτόν. Sic membr. concinniore quam in impressis ordine, in quibus est, ἄγε δὴ σὺ πρότερον σαυτόν. Versu seq. verba λέγειν χρὴ ταχὺ πάνυ, quæ vulgo Chremylo tribuuntur, cum Hemsterhusio famulo continuavi.

58. οἰμώζειν. Scholion MS. οἰμώζω, τὸ θρηνῶ. ἀφ' οὗ οἰμωγὴ, ὁ θρῆνος, καὶ οἴμωγμα οὐδετέρως παρ' Αἰσχύλῳ (S. Th. 8.) οἰμώγμασιν θ' ὧν Ζεὺς ἀλεξητήριος. ἐκ τούτου δοκεῖ καὶ οἴμοι θρηνητικὸν ἐπίῤῥημα γίνεσθαι.

Πλ. κλάειν ἔγωγέ σοι λέγω.
Κα. δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ.
Χρ. οὔ τοι, μὰ τὴν Δήμητρα, χαιρήσεις ἔτι.
Κα. ἢν μὴ φράσῃς γάρ, ἀπὸ σ' ὀλῶ κακὸν κακῶς.
Πλ. ὦ 'τάν, ἀπαλλάχθητον ἀπ' ἐμοῦ.
Χρ. πώμαλα.
Κα. καὶ μὴν ὃ λέγω, βέλτιστόν ἐστι, δέσποτα·
ἀπολῶ τὸν ἄνθρωπον κάκιστα τουτονί.
ἀναθεὶς γὰρ ἐπὶ κρημνόν τινα, κᾆτ' αὐτὸν λιπὼν
ἄπειμ', ἵν' ἐκεῖθεν ἐκτραχηλισθῇ πεσών.
Χρ. ἀλλ' αἶρε ταχέως.
Πλ. μηδαμῶς.
Χρ. οὔκουν ἐρεῖς;
Πλ. ἀλλ' ἢν πύθησθέ μ', ὅστις εἴμ', εὖ οἶδ' ὅτι
κακόν τι μ' ἐργάσεσθε, κοὐκ ἀφήσετε.
Χρ. νὴ τοὺς θεοὺς ἡμεῖς γ', ἐὰν βούλῃ γε σύ.

62. *κλάειν.* Sic tres codd. non, ut vulgo, *κλαίειν.* Vide not. ad Ran. 654.

63. *τὸν ὄρνιν, omen.* Apollonius Scholiastæ laudatus, Argon. i. 304.

μίμνε δόμοις, μηδ' ὄρνις ἀεικελίη πέλε νηΐ.

65. *ἢν μὴ φράσῃς γάρ*—Sic tres codd. Glossa in duobus, *ἐὰν μὴ εἴπῃς.* Vulgo *εἰ μὴ φράσεις.* Hunc versum, qui vulgo hero continuatur, cum Hemsterhusio famulo tribui: ei in B. præfixa fuerat persona Pluti, quæ postmodo litura inducta fuit.

66. *πώμαλα.* Glossa *οὐδαμῶς.* Vide Hesych. in hac voce, et Cocali fragm. vi. Interrogative efferendum videtur: est enim negatio morata per interrogationem, ut *πόθεν,* de quo vide not. ad Ran. 1455.

69. *ἀναθεὶς γὰρ ἐπὶ κρημνόν τινα, κᾆτ' αὐτὸν λιπών.* Sic optime scriptus est hic versus in membranis. Vulgo pessumdato metro:

ἀναθεὶς γὰρ ἐπὶ κρημνόν τιν' αὐτὸν, κᾆτα λιπὼν—

Nihil facilius nunc videbitur fuisse, quam genuinam lectionem restituere, duarum vocum transpositione: facillimum tamen istud conjectura non adsecuti sunt viri doctissimi. Admissa Bentleii emendatione *καταλιπὼν,* metro quidem prospectum erat, sed laborabat syntaxis, quod vidit Hemsterhusius: sed nihil melius attulit. Tres alii codd. vulgatum habent, omnesque perspicue *κᾆτα λιπών.* Glossa in meo *καὶ εἶτα ἀφείς*: in B. *καὶ ἔπειτα ἀφείς.* In Orvillii codice si fuit scriptum *καταλιπὼν,* id errori librarii tribuendum. Jam observavi hominum illorum frequentissimum esse lapsum in *κᾆτα* et *κατὰ* permutandis. Vide ad Ran. 1440.

73. *κακόν τι μ' ἐργάσεσθε, κοὐκ ἀφήσετε.* Tres codd. ut editio Bern. Juntæ, *ἐργάσεσθον κοὐκ ἀφήσετον*: jugulato metro. In membr. *ἐργάσεσθε κοὐκ ἀφήσετον,* ultima syllaba per compendium scripta. Quid pronius erat et venustius quam duo verba in eodem numero po-

Πλ. μέθεσθέ νύν μου πρῶτον.
Χρ. ἠνὶ μεθίεμεν.
Πλ. ἀκούετον δή. δεῖ γάρ, ὡς ἔοικ', ἐμὲ
λέγειν, ἃ κρύπτειν ἦ παρεσκευασμένος.
ἐγὼ γάρ εἰμι Πλοῦτος.
Χρ. ὦ μιαρώτατε
ἀνδρῶν ἁπάντων· εἶτ' ἐσίγας Πλοῦτος ὤν;
Κα. σὺ Πλοῦτος, οὕτως ἀθλίως διακείμενος;
Χρ. ὦ Φοῖβ' Ἄπολλον, καὶ θεοὶ, καὶ δαίμονες,
καὶ Ζεῦ, τί φής; ἐκεῖνος ὄντως εἶ σύ;
Πλ. ναί.
Χρ. ἐκεῖνος αὐτός;
Πλ. αὐτότατος.
Χρ. πόθεν οὖν, φράσον,
αὐχμῶν βαδίζεις;
Πλ. ἐκ Πατροκλέους ἔρχομαι,
ὃς οὐκ ἐλούσατ' ἐξότου περ ἐγένετο.
Χρ. τουτὶ δὲ τὸ κακὸν πῶς ἔπαθες; κάτειπέ μοι.
Πλ. ὁ Ζεύς με ταῦτ' ἔδρασεν, ἀνθρώποις φθονῶν.
ἐγὼ γὰρ ὢν μειράκιον ἠπείλησ', ὅτι
ὡς τοὺς δικαίους καὶ σοφοὺς καὶ κοσμίους
μόνους βαδιοίμην· ὁ δ' ἔμ' ἐποίησεν τυφλὸν,
ἵνα μὴ διαγιγνώσκοιμι τούτων μηδένα.
οὕτως ἐκεῖνος τοῖσι χρηστοῖσι φθονεῖ.

nere? Aldinam lectionem retinemus. Duales isti librariorum libidini debentur: mox v. 75. meus habet μέθεσθον.

75. In membr. μέθεσθέ μου τοπρῶτον. —ἢν μεθίεμεν. Quæ in aliis codd. voci ἠνὶ superscripta est glossa, ἰδοὺ, in vetustissimo illo inter lineas reposita est, tanquam ad textum pertinens. Sed sic septenarius pro senario esset versus. In B. μέθεσθε νῦν πρῶτον. Solus C. germanam lectionem habet.

77. ἦ. Attice pro ἦν. Sic Lys. 643. εἶτ' ἀλετρὶς ἦ. Comprobatam a veteri Critico formam reliqui. iv. codd. habent ἦν παρεσκευασμένος.

81. Hic versus vulgo Carioni continuatur. Multo melius in B. hero tributus est. In meo, nulla interposita persona, omnia ab ὦ μιαρώτατε usque ad finem v. 82. Chremylo continuantur: quæ ratio omnium pessima est.

84. ἐκ Πατροκλέους. Gl. ἐκ τῆς οἰκίας τοῦ Πατρ— eadem ellipsi de qua ad Lys. dixi v. 407.

86. τουτὶ δὲ τὸ κακόν. Gl. ἤγουν τὴν τύφλωσιν.

Χρ. καὶ μὴν διὰ τοὺς χρηστούς γε τιμᾶται μόνους,
καὶ τοὺς δικαίους.
Πλ. ὁμολογῶ σοι.
Χρ. φέρε, τί οὖν;
εἰ πάλιν ἀναβλέψειας, ὥσπερ καὶ πρὸτοῦ,
φεύγοις ἂν ἤδη τοὺς πονηρούς;
Πλ. φήμ' ἐγώ.
Χρ. ὡς τοὺς δικαίους δ' ἂν βαδίζοις;
Πλ. πάνυ μὲν οὖν.
πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑώρακα χρόνου.

98. *πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑώρακα χρόνου.* Duplici nomine mendosa Dawesio visa fuit hæc scriptura; tum quia quadrisyllabum *ἑώρακα* poëtis Atticis usitatum non fuisse credebat, tum ob productam contra Comici usum vocalem brevem ante aspiratam et liquidam. Quapropter optime reponi posse censebat,

πολλοῦ γὰρ αὐτοὺς οὐκ ὄπωπ' ἐγὼ χρόνου.

Senarius est sane quam elegans, quemque pro suo agnoscere non dedignaretur poëta. Dawesii perpetuus obtrectator Orvillius neque hanc calumniandi occasionem prætermisit, ad Charit. p. 136. ubi ut in aliis iniquum censorem se ostendit, ita in hoc ridiculum, quod versum illum supra soccum assurgere affirmet. Qui enim? undenam tragicam pompam mutuatur? Estne a verbo *ὄπωπα*? Tragicus ergo versus fuerit iste in Lysistrata 1157.

οὔπω γυναῖκ' ὄπωπα χαϊωτέραν.

Estne a pronomine *ἐγώ*? Sed illud millies sic positum apud Comicum occurrit. Nisi invidia et odio abreptus fuisset, non sane tam inepte cavillatus fuisset vir *πολυμαθέστατος*, sed ingenii acumine, Atticarumque Venerum sensu Dawesio longe inferior. Etiamsi tragicum quid sonaret versus iste, ideone hujus loci alienus esset? Nonne observavit Bentleius cothurno incedere affectare Comicum, quod statim ab initio fabulæ animadvertit, quicunque aliquid sapit? Nonne tragœdiam spirat hic versus?

τί δῆθ' ὁ Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων;

Sed missum faciamus Orvillium, et ad Dawesii crisin revertamur. Quod primum statuit, *ἑώρακα* quadrisyllabum Atticis poëtis non fuisse in usu, id nullo fundamento nititur: huic opinioni adversantur cum exempla, tum analogia. Illa suis locis singula observabimus. Quod ad hunc adtinet, si *ἑώρακα* non adhibuerunt, nec eis licere debuit dicere *ἐώνημαι*, quod itidem quadrisyllabum est, et absque Attico illo augmento profertur, *ὤνημαι*. Atqui principio statim hujus fabulæ habemus *τὸν ἐωνημένον*, ubi per metrum non licet scribere *τὸν ὠνημένον*. Majoris momenti est altera ratio. Nam certissimum est Comicum eas dedita opera leges observasse prosodiæ, quas primus admirabili sagacitate deprehendit Dawesius, easque maxime in senariis rarissime transgressum fuisse. Unicum forte hoc in senariis occurrit exemplum vocalis brevis in fine vocis productæ ob sequentem tenuem vel aspiratam et liquidam. In Avibus est hic versus 231. sed in chorico cantico:

νεμεσ | θε φυ | λα μυ | ρια | κριθο | τραγων.

Χρ. καὶ θαῦμά γ' οὐδέν· οὐδ' ἐγὼ γὰρ ὁ βλέπων.
Πλ. ἄφετόν με νῦν. ἴττον γὰρ ἤδη τἀπ' ἐμοῦ.
Χρ. μὰ Δί', ἀλλὰ πολλῷ μᾶλλον ἑξόμεσθά σου.
Πλ. οὐκ ἠγόρευον, ὅτι παρέξειν πράγματα
ἐμέλλετόν μοι;
Χρ. καὶ σύ γ', ἀντιβολῶ, πιθοῦ,
καὶ μή μ' ἀπολίπῃς· οὐ γὰρ εὑρήσεις ἐμοῦ
ζητῶν ἔτ' ἄνδρα τοὺς τρόπους βελτίονα·
μὰ τὸν Δί'· οὐ γάρ ἐστιν ἄλλος, πλὴν ἐγώ.

Reperiuntur in senariis tres aut quatuor ad summum versus, ubi media in voce vocalis brevis sic producitur. Pace 892.

δια ταυ | τα και | κεκαπν | ισ' αρ' | εσταυ | θα γαρ.

In Vesp. 837. qui, ut et superior, facilem admittit medelam:

ὁ κυων | παρᾳ | ξας ες | τον ἰπν | ον ἁρ | πασας.

In anapæstis major est licentia, qua sæpius usum fuisse Comicum alibi ostendemus. Versus nonnullos qui Dawesianæ observationi adversari videbantur, nos ratione cum facillima, tum ita certa emendamus, ut calumniæ nullus relinquatur locus. Vide not. ad Thesm. 169. Non tamen ideo paucissimos illos versus, ubi necessitate metri coactus ad eam licentiam confugit Comicus, quam sibi sumserunt Tragici, a librariis depravatos esse crediderim. Vide not. ad Lys. 384. Proinde hoc in versu nihil muto. Tametsi elegans est ille, quem reponi volebat Dawesius, a vulgata lectione nimium recedit, quam repræsentant tres codd. quos primos adhibui. In C. ut in Barocciano,

πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑώρακά που χρόνου.

Non minus Atticum est ἑώρων quam ἑώρακα, quas formas a librariis aliquoties commutatas fuisse observavi ad Thesm. 32. favetque codd. istorum scriptura alteri Dawesii conjecturæ:

πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑώρων τοῦ χρόνου.

Sed articulum hic minime probo, nec magis placet particula vel που vel πω. Si quid mutare necessarium duxissem, prætulissem:

πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑώρων διὰ χρόνου.

Sperabam varietatem aliquam lectionis in hoc versu me reperturum in codice, quem postremo consului: sed ab aliis nihil discrepat. Tenendum est igitur, genuinum id esse, in quod consentiunt libri omnes. Nec minus tamen certa est prosodiæ regula, quam statuit Dawesius: eam nedum labefactent contraria exempla paucissima, eo ipso, quod paucissima sunt, iis stabilitur. Similem poëtæ nostri lapsum observare est in versu deperditæ comœdiæ, Fragm. cviii.

ἴκτινα παντόφθαλμον ἅρπαγα τρέφων.

Sed folius Etymologici fide nititur hoc exemplum. In Thesmoph. observavi versum 898.

εἰμὶ Κριτύλλα γ' Ἀντιθέου Γαργηττόθεν.

Præter hos tres nullum alium recordor senarium ineluctabili hujusmodi labe vitiatum. Hæc si in senariis sibi indulsit Comicus, quidni in dimetris iambico systemati subjectis potuerit secundam in ἀποπνιγείης producere? Factum hoc in Eq. v. 940. ubi versus optime digesti sunt, ad ritum perpetuo observatum,

Πλ. ταυτὶ λέγουσι πάντες· ἡνίκ' ἂν δ' ἐμοῦ
τύχωσ' ἀληθῶς, καὶ γένωνται πλούσιοι,
ἀτεχνῶς ὑπερβάλλουσι τῇ μοχθηρίᾳ.
Χρ. ἔχει μὲν οὕτως· εἰσὶ δ' οὐ πάντες κακοί.
Πλ. μὰ Δί' ἀλλ' ἀπαξάπαντες.
Κα. οἰμώξει μακρά.
Χρ. σὺ δ', ὡς ἂν εἰδῇς ὅσα, παρ' ἡμῖν ἢν μένῃς,
γενήσετ' ἀγαθὰ, πρόσεχε τὸν νοῦν, ἵνα πύθῃ.
οἶμαι, γὰρ, οἶμαι, ξὺν θεῷ δ' εἰρήσεται,
ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας,
βλέψαι ποιήσας.
Πλ. μηδαμῶς τοῦτ' ἐργάσῃ.
οὐ βούλομαι γὰρ πάλιν ἀναβλέψαι.

nec quidquam mutari debet. Haud tamen mihi Dawesianæ conjecturæ venit in mentem, quin doleam nullum ei codicem adstipulari, simulque Orvillii mirer, seu potius rideam fastidium. Nullus enim est in tota hac fabula senarius, quem pro suo libentius agniturus esset poëta, quam istum,

πολλοῦ γὰρ αὐτοὺς οὐκ ὄπωπ' ἐγὼ χρόνου.

Nec magis cothurnum affectat, quam iste in Lys. 1225. qui est in Atheniensis ore :

οὔπω τοιοῦτον ξυμπόσιον ὄπωπ' ἐγώ.

112. Nihil variant in scriptura hujus et seq. versus codd. estque ea optima. Dawesius p. 229. sententiam mutat legendo ὅσα παρ' ἡμῶν, ἣν μένῃς, γένοιτ' ἂν ἀγαθά. Locum prava distinctione obscuratum legerat, quæ bene curata fuit in novissima Batava.

115. ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας. Fabula hæc bis edita fuit : primum an. 4. Ol. xcii. Archonte Diocle : iterum post viginti annos Archonte Antipatro, Ol. xcvii. an. 4. Quam habemus nec prior, nec posterior est; sed e duabus a Grammatico quodam vetustissimo concinnata. Nobis melius esset, si priorem intemeratam haberemus cum choricis canticis omnibus. Videndi hanc in rem Petitus et Kusterus qui fabulæ historiam plenius executi sunt. Hunc versum e priore fabula esse narrat vetus interpres, eique in posteriore a poëta suffectum fuisse istum :

τῆς ξυμφορᾶς ταύτης σε παύσειν, ἧς ἔχεις.

quia nimirum Pluti cœcitatem vocabulo minus idoneo appellaverat ὀφθαλμίαν, quod oculorum quemvis morbum significat, non autem ἀποβολὴν καὶ στέρησιν τῆς ὁρατικῆς δυνάμεως. Sed qui a duabus unam fecit, in prioris versu facetum et comicum quid deprehendere sibi visus est ; alioquin alterum prætulisset.

Apud Suidam legitur hæc nota : Ἀναπηρίαν. οὕτως Ἀριστοφάνης Πλούτῳ. In fabula quam habemus, vox illa, quantum recordor, non occurrit. Erant forte prioris Pluti exemplaria, in quibus scriptus erat hic versus :

ταύτης ἀπαλλάξειν σε τῆς ἀναπηρίας.

Hesych. ἀναπήρους, τυφλούς. ἀνάπηρος, πηρὸς, τυφλὸς, νοσώδης.

Χρ. τί φῄς;
Κα. ἄνθρωπος οὗτός ἐστιν ἄθλιος φύσει.
Πλ. ὁ Ζεὺς μὲν οὖν οἶδ᾽ ὡς, τὰ τούτων μῶρ᾽ ἐπεὶ
πύθοιτ᾽ ἄν, ἐπιτρίψει με.
Χρ. νῦν δ᾽ οὐ τοῦτο δρᾷ,
ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ;
Πλ. οὐκ οἶδ᾽· ἐγὼ δ᾽ ἐκεῖνον ὀῤῥωδῶ πάνυ.
Χρ. ἄληθες; ὦ δειλότατε πάντων δαιμόνων·
οἴει γὰρ εἶναι τὴν Διὸς τυραννίδα,
καὶ τοὺς κεραυνοὺς ἀξίους τριωβόλου,
ἐάν γ᾽ ἀναβλέψῃς σὺ κἂν σμικρὸν χρόνον;
Πλ. ἆ, μὴ λέγ᾽, ὦ πονηρὲ ταῦτ᾽.
Χρ. ἔχ᾽ ἥσυχος.
ἐγὼ γὰρ ἀποδείξω σε τοῦ Διὸς πολὺ
μεῖζον δυνάμενον.

117. In membr. verba τί φῄς; Chremylo tributa: sequens versus Carioni. Sic etiam personis divisæ loquendi vices in C. quam optimam distinguendi rationem ingenio adsecutus est Hemsterhusius cujus hac in parte felix industria. Duo alii codd. omnia non famulo, ut vulgo, sed hero tribuunt.

119. Vulgo sic legitur hic locus:

ὁ Ζεὺς μὲν οὖν εἰδὼς τὰ τούτων μῶρ᾽, ἐμ᾽ εἰ
πύθοιτ᾽ ἄν, ἐπιτρίψειε.

Ab impressis ne minimum quidem differunt membr. In tribus aliis *τὰ τούτων μῶρ᾽ ἐπη.* superscripta in duobus extremo versui glossa, *τοὺς μωροὺς λόγους, τοὺς ἀξυνέτους λόγους.* Ex his nullus sensus elici potest, nec verba ad legitimam constructionem redigas. Emendandi rationem partim vidit Kusterus, cujus hæc est conjectura:

ὁ Ζεὺς μὲν οὖν εἰδὼς τὰ τούτων μῶρ᾽, (ἐπεὶ
πύθοιτ᾽ ἄν) ἐπιτρίψει με.

Jupiter equidem, cognitis stultis horum consiliis, (postquam resciverit) me perdet. Sic Kusterus græca sua vertere debebat. Sed, quod ipsum procul dubio non fugiebat, aliis dissimulare voluit, quam inepta esset illa parenthesis, nihil ad sententiam conferens, quam quod jam erat in præcedente participio *εἰδώς*. Sub postrema hac voce latebat ulcus. Legendum sine parenthesi, plano sensu, molliterque decurrente phrasi:

ὁ Ζεὺς μὲν οὖν οἶδ᾽ ὡς, τὰ τούτων μῶρ᾽ ἐπεὶ
πύθοιτ᾽ ἄν, ἐπιτρίψει με.

Præclaræ emendationis laudem mihi tribuere possem, certus neminem exstiturum, qui eam sibi aut alii vindicet. Sed cujus propria sit, ingenue profitebor. Est ea perantiqua, et e vetustissimo codice, ut videtur, deprompta. In margine codicis mei ab eadem manu, sed atramento paulo dilutiore, scriptum *οἶδ᾽ ὡς.*

126. In membr. sic scriptus est hic versus:

ἐὰν ἀναβλέψῃς σὺ κἂν ἐπὶ σμικρὸν χρόνον.

In tribus aliis vulgata est lectio, nisi

Πλ. ἐμὲ σύ;

Χρ. νὴ τὸν οὐρανόν.

αὐτίκα γὰρ ἄρχει διὰ τίν' ὁ Ζεὺς τῶν θεῶν;

Κα. διὰ τἀργύριον· πλεῖστον γάρ ἐστ' αὐτῷ.

Χρ. φέρε,

τίς οὖν ὁ παρέχων ἐστὶν αὐτῷ τοῦθ';

Κα. ὁδί.

Χρ. θύουσι δ' αὐτῷ διὰ τίν'; οὐ διὰ τουτονί;

Κα. καὶ νὴ Δί'· εὔχονταί γε πλουτεῖν ἄντικρυς.

Χρ. οὔκουν ὅδ' ἐστὶν αἴτιος, καὶ ῥᾳδίως

παύσειεν, εἰ βούλοιτο, ταῦτ' ἄν;

Πλ. ὅτι τί δή;

Χρ. ὅτι οὐδ' ἂν εἷς θύσειεν ἀνθρώπων ἔτι,

οὐ βοῦν ἄν, οὐχὶ ψαιστὸν, οὐκ ἄλλ' οὐδὲ ἓν,

μὴ βουλομένου σοῦ.

Πλ. πῶς;

Χρ. ὅπως; οὐκ ἔσθ' ὅπως

ὠνήσεται δήπουθεν, ἢν σὺ μὴ παρὼν

αὐτὸς διδῷς τἀργύριον, ὥστε τοῦ Διὸς

τὴν δύναμιν, ἢν λυπῇ τι, καταλύσεις μόνος.

Πλ. τί λέγεις; δι' ἐμὲ θύουσιν αὐτῷ;

Χρ. φήμ' ἐγώ.

καὶ νὴ Δί', εἴ τι γ' ἔστι λαμπρὸν καὶ καλὸν,

ἢ χάριεν ἀνθρώποισι, διὰ σὲ γίγνεται.

ἅπαντα τῷ πλουτεῖν γὰρ ἔσθ' ὑπήκοα.

Κα. ἔγωγέ τοι διὰ μικρὸν ἀργυρίδιον

quod omittunt particulam γε, sine qua versus stare non potest.

136. ὅτι τί δή. Gl. διατί. Male meus ὅτιὴ τί δή; sed idem bene v. seq. ut et B. ὅτι οὐδ'. Duo alii, ut vulgo ὅτ' οὐδ'.

138. οὐδὲ ἓν — Sic disjunctim tres codd. ut supra v. 37. In B. sic οὐδείν.

140. δήπουθεν. Gl. in C. ἀπό τινος πόρου. Atticis nihil aliud est quam δηλονότι. Vide Mœrin et Timæum.

147. διὰ μικρὸν ἀργυρίδιον. Sic B. C. ut vulgo. In membr. διὰ σμικρόν γ' ἀργυρίδιον. Particulam non admittit metrum, quia in ἀργυρίδιον antepenultima producitur. In meo διὰ μικρὸν ἀργυρίδιον, quæ vera lectio est et reponenda: nam σμικρὸν metrum pessundat. μικρὸς

δοῦλος γεγένημαι, διὰ τὸ μὴ πλουτεῖν ἴσως.
Χρ. καὶ τάς γ' ἑταίρας φασὶ τὰς Κορινθίας,
ὅταν μὲν αὐτὰς τὶς πένης πειρῶν τύχῃ,
οὐδὲ προσέχειν τὸν νοῦν· ἐὰν δὲ πλούσιος,
τὸν πρωκτὸν αὐτὰς εὐθὺς ὡς τοῦτον τρέπειν.
Κα. καὶ τούς γε παῖδας φασὶ ταυτὸ τοῦτο δρᾶν,
οὐ τῶν ἐραστῶν, ἀλλὰ τἀργυρίου χάριν.
Χρ. οὐ τούς γε χρηστοὺς, ἀλλὰ τοὺς πόρνους· ἐπεὶ
αἰτοῦσιν οὐκ ἀργύριον οἱ χρηστοί.
Κα. τί δέ;
Χρ. ὁ μὲν ἵππον ἀγαθὸν, ὁ δὲ κύνας θηρευτικάς.
Κα. αἰσχυνόμενοι γὰρ ἀργύριον αἰτεῖν ἴσως,
ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν.
Χρ. τέχναι δὲ πᾶσαι διὰ σὲ, καὶ σοφίσματα,
ἐν τοῖσιν ἀνθρώποισιν ἔσθ' εὑρημένα.
ὁ μὲν γὰρ αὐτῶν σκυτοτομεῖ καθήμενος.
Κα. ἕτερος δὲ χαλκεύει τις, ὁ δὲ τεκταίνεται.
Χρ. ὁ δὲ χρυσοχοεῖ γε, χρυσίον παρὰ σοῦ λαβών.

apud Comicum semper occurrit priori longa. Vide Lys. 98. Ran. 55. Nub. 630. Acharn. 523. Thesm. 745. Equit. 1222. Vesp. 5. Versum sic scribere et dimetiri oportet:

εγω | γε τοι | δια με | κρειτ αρ | γυρι | διον.

Non observaveram syllabam illam, quæ apud alios poëtas modo brevis, modo longa est, apud Comicum semper produci. Ex hujus rei ignoratione bonam quæ vulgo ferebatur lectionem v. 240. prava conjectura immutavi, auctorique vulnus gravé inflixi, quod ad eum versum declarabo.

149. τάς γ' ἑταίρας. Typographi errore in Kusteriana τάς χ' ἑτ—quæ menda in novissima Batava servata fuit.

156. τί δέ; Sic duo codd. Alii τί δαί; ut vulgo.

159. Glossa: δι' ὀνόματος ἑτέρου περικαλύπτουσι τὴν ἐπιθυμίαν τοῦ ἀργυρίου. Scriptum in cod. τῇ μοχθηρίᾳ. Voluit igitur:

ὄνομά τι περιπέττουσι τῇ μοχθηρίᾳ.

Perinde dicitur περιπέττειν τὴν μοχθηρίαν ὀνόματι, et περιπέττειν ὄνομα τῇ μοχθηρίᾳ. Immo equidem reconditius hoc et elegantius judico.

163. Hic versus, et qui sequuntur omnes usque ad personam Pluti, Chremylo in impressis continuati sunt. In B. inter herum et famulum divisi sunt, paulo aliter ac eos exhibeo. Versus hic tributus famulo: 164. hero: 165. famulo: 166. totus hero: 167. famulo: 168. hero: quod Bentleii, quem sequor, conjecturam confirmat.

164. ὁ δὲ χρυσοχοεῖ γε. Sic A. C. optime: unde liquet opinione falsum fuisse Bentleium, aut saltem bene con-

Κα. ὁ δὲ λωποδυτεῖ γε, νὴ Δί', ὁ δὲ τοιχωρυχεῖ.
Χρ. ὁ δέ γναφεύει γ'.
Κα. ὁ δέ γε πλύνει κώδια.

jecisse Ant. Fracinum, qui fulciendo versui particulam γε in Aldina et priore Florentina omissam, inseruit. Abest etiam in meo codice. Depravatissima est lectio codicis B. ὁ δὲ χρυσίον ἐχρυσοχοεῖ παρὰ σοῦ λαβών.

166. Vulgo sic legitur hic versus:

ὁ δὲ κναφεύει τις· ὁ δὲ πλύνει κώδια.

Statim claudicat versus in primo pede. δὲ produci non debet ante κν. Hoc vidit Dawesius, et Scholiaste ipso præeunte, Poëtam scripsisse γναφεύει, hocque reponi debere decrevit. Illi parum verecunde oblocutus est Piersonus ad Mœrin p. 31. his verbis: *R. Dawesius pro κναφεύει reponendum censet γναφεύει, quod Attici vocalem brevem ante tenues consonantes sequente quavis liquida semper corripiant.* *Sed* AUDIENDUS NON EST. *Isti enim regulæ* INFINITA POETARUM ATTICORUM *adversantur loca.* Nihil unquam temere magis et inconsiderate scriptum fuit. Primo de Poëtis Atticis universis hoc non statuit Dawesius, sed de Comicis solum et speciatim de Aristophane. Maxime autem AUDIENDUS erat. Isti enim regulæ quæ in Aristophane adversantur loca, nedum INFINITA sint, vix reperientur in senariis tria. Quod autem ad hunc locum adtinet, litem dirimit vetustissima Regia membrana, in qua distincte et perspicue quantum potest, scriptum est Γναφεύει. Sic ibi versus integer habetur:

ὁ δὲ Γναφεύει γ', ὃς δὲ πλύνει κώδια.

In duobus aliis Regiis κναφεύει γ', ὁ δὲ πλ—Meus vulgatam lectionem habet. Membranarum ὃς locum tueri non potest: genuinum est ὁ δέ γε, quod ex Orvilliano codice protulit Hemsterhusius. Male in unam confusæ fuerunt duæ diversorum Criticorum ad hunc versum notæ. Altera sic in Ms. scripta est. Τὸ κναφεύει Ἀττικῶς διὰ τὸ κ. κοινῶς διὰ τὸ γ. κνάφος ἐστὶν ἀκανθῶδες φυτὸν, ᾧ ξύουσι τὰ ἱμάτια. τὸ διὰ τοῦ γ, παρὰ τὴν γνάψιν· τὸ δὲ διὰ τοῦ κ, ἀπὸ τοῦ κνῶ, τὸ ξύω, γίνονται. καὶ Ὅμηρος· ἐπὶ δ' αἴγειον κνῆ τυρόν. γναφεὺς δὲ παρὰ τὴν τοῦ φάρους γνάψιν, ἤ τις ἐστὶ παρὰ τὸ γάνος, τὸ λαμπρόν. Quæ intermixta fuere, sunt alius Grammatici, et sic seorsum exhiberi debebant: οἱ παλαιοὶ Ἀττικοὶ διὰ τοῦ κ, κνάφος· οἱ δὲ νεώτεροι διὰ τοῦ γ. Quantivis pretii est postrema hæc observatio, qua uti nescivit Dawesius. Optime se habet, nec in ea permutatæ fuerunt sedes elementorum κ et γ. En Harpocrationem idem dicentem: Γναφεύς. τοῦτο οἱ παλαιοὶ Ἀττικοὶ διὰ τοῦ κ ἔλεγον. κοινὸν δὲ τὸ διὰ τοῦ γ. κνάφος δέ ἐστιν ἀκανθῶδές τι, ᾧ ξύουσι τὰ ἱμάτια. τοῦτο οἱ νεώτεροι διὰ τοῦ γ λέγουσι παρὰ τὴν γνάψιν. Vetus Attica dialectus est ea, qua utuntur Tragici. Veteres Attici non solebant ρρ pro ρσ proferre: non dicebant ἄῤῥην pro ἄρσην: non solebant ττ pro σσ proferre; non dicebant θάλαττα pro θάλασσα; non mutabant ν in λ; non dicebant πλεύμων pro πνεύμων. Illud quidem alicubi in Euripidem intulisse memini, deceptus auctoritate Aldi: sed ut *Discipulus est prioris posterior dies*, temere id a me factum fuisse nunc agnosco, quod pluribus ad Sophoclem exsequar. Ob unicam hanc rationem, quod γναφεὺς, γναφεύειν recentioris emollitæque sint dialecti, hæc forma apud Comicum reponenda, ut et ubique apud eum legitur ἄῤῥην, θάλαττα, πλεύμων, quæ recentioris sunt Atticismi, non vero ἄρσην, θάλασσα, πνεύμων, quæ sunt dialecti veteris, Tragicisque usitata. Ubicunque Grammatici τοὺς νεωτέρους Ἀττικοὺς memorant, Aristophanem fere respiciunt. In Vespis v. 1126. legitur in omnibus libris:

ἀπέδωκ' ὀφείλων τῷ γναφεῖ τριώβολον.

Χρ. ὁ δὲ βυρσεδοψεῖ γ'· ὁ δέ γε πωλεῖ κρόμμυα.
Κα. ὁ δ' ἁλούς γε μοιχὸς διά σέ που παρατίλλεται.
Πλ. οἴμοι τάλας, ταυτί μ' ἐλάνθανεν πάλαι.
Κα. ὁ μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτον κομᾷ;
Χρ. ἡ 'κκλησία δ' οὐχὶ διὰ τοῦτον γίγνεται;

Ad eundem modum in Conc. v. 415. οἱ γναφῆς reponendum, pro eo quod male reliqui οἱ κναφῆς. Apud Corinthum de Dial. Att. §. lxxxv. legebatur olim τὸ κναφεῖον γναφεῖον λέγουσι. quæ observatio ad recentiorem Atticismum pertinet. Ordinem invertit Kœnius ad sententiam Hemsterhusii, et e scripti codicis auctoritate, τὸ γναφεῖον κναφεῖον λέγουσι. Nota, si ad hunc modum a Grammatico scripta fuit, ad veterem Atticismum spectat, ut et ea §. lxxxii. in qua vocum omnium ordinem invertere debuerat Kœnius, si sibi constare voluisset. Antequam autem ex hoc fullonico egrediar, aliud scholion MS. proferam, quod in cod. C. illud præcedit supra a me descriptum, ex quo colligere est formas de quibus agitur confudisse recentiores Græculos, nec satis compertum habuisse ad utram dialectum unaquæque referenda esset. Κναφεύει] γναφεύω, τὸ τὰ δέρματα ξέω. γναφεῖον, ὁ τόπος, ὥσπερ κουρεῖον. γνάφαλλα, τὰ ἀποξέσματα. καὶ γναφεὺς, ὁ γνάφων. ἀπὸ τοῦ γνάφω, γναφεύω· ἄρδω, ἀρδεύω. πάντα οἱ 'Αττικοὶ ταῦτα διὰ τοῦ κ γράφουσι.

Duæ res sunt, quas satis ad liquidum perduxisse mihi videor. Primo Aristophanem in senariis rarissime, si modo unquam, vocalem brevem produxisse ante tenuem vel aspiratam et liquidam. Secundo γναφεὺς et γναφεύειν, illius esse dialecti, qua utebantur Athenienses Aristophanis ætate. Postremum hoc etiamsi cui dubium videretur, retineri tamen salva metri lege posset κναφεύει, scribendo:

ὁ δέ τις κναφεύει γ'. ὁ δέ γε πλύνει κώδια.

sed vera est lectio quam prætuli.

168. ὁ δ' ἁλούς γε μοιχὸς διά σέ που παρατίλλεται. Sic libri omnes, nec quidpiam mutandum est. *Deprehensus in facinore adulter, quia pecuniam non habet, qua pœnam redimat, depilatur.* Sic supra v. 147. dixit Cario se propter pauxillum argenti, quod non habebat, servum factum fuisse. Sic grassatores, fures, opifices artes suas singuli exercent propter argentum quod non habent. Alio etiam modo intelligi potest, verbo non factum ipsum, sed consilium significante, vel rei significatæ metum intentatum, quod familiare est. *Deprehenso adultero pœnæ metus intentatur, ut argentum det, ne ipsum percurrant raphanique mugilesque.* Suspicatur Valckenarius ad Eurip. Hippol. 415. scripsisse Comicum:

ὁ δ' ἁλοὺς γε μοιχὸς διά σέ γ' οὐ παρατίλλεται.

Non placet iteratum γε in eadem sententia.

170. Ab hoc versu usque ad verba ἱππεύσει γέ σοι in v. 180. permutatæ fuerant personarum sedes, quæ heri sunt, famulo tributis et vice versa. In B. hic versus et 172. Carioni tributi; postea personæ minus conveniunt dictis, quia v. 173. loco suo motus est. In A. C. versus 170. et 171. Chremylo tribuuntur: 172. Carioni; sicque deinceps alternis loquuntur, ita ut verbis ὁ Τιμοθέου δὲ πύργος famulo tributis, versus clausula in heri partes cedat, quod et flagitat decori ratio. Hoc sensit Hemsterhusius, sed erroris principium non deprehenderat.

Κα. τί δέ; τὰς τριήρεις οὐ σὺ πληροῖς; εἶπ' ἐμοί.
Χρ. τὸ δ' ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει;
Κα. ὁ Πάμφιλος δ' οὐχὶ διὰ τοῦτον κλαύσεται;
Χρ. ὁ Βελονοπώλης δ' οὐχὶ μετὰ τοῦ Παμφίλου;
Κα. Ἀγύῤῥιος δ' οὐχὶ διὰ τοῦτον πέρδεται;
Χρ. Φιλέψιος δ' οὐχ ἕνεκά σου μύθους λέγει;
Κα. ἡ ξυμμαχία δ' οὐχὶ διὰ σὲ τοῖς Αἰγυπτίοις;
Χρ. ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου;
Κα. ὁ Τιμοθέου δὲ πύργος - - -
Χρ. ἐμπέσοι γέ σοι.
τὰ δὲ πράγματ' οὐχὶ διὰ σὲ πάντα πράττεται;
μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος,
καὶ τῶν κακῶν, καὶ τῶν ἀγαθῶν, εὖ ἴσθ' ὅτι.
Κα. κρατοῦσι γοῦν κἂν τοῖς πολέμοις ἑκάστοτε.
ἐφ' οἷς ἂν οὗτος ἐπικαθέζηται μόνος.

176. Ἀγύῤῥιος. Sic perspicue scriptum in membr. ut bene edidit Hemsterhusius, quæ scriptura in novissima etiam Batava recepta, non tamen ex Bergleri sententia. Tres alii codd. Ἀργύριος mendose. De Agyrrhio, cujus memini ad Ran. 367. vide Meursium Att. Lect. vi. 4.

178. In iv. codd. ut et in impressis omnibus antiquis legitur:

ἡ ξυμμαχία δ' οὐχὶ διὰ σὲ τοῖς Αἰγυπτίοις.

Typothetæ, ut videtur, errore in Kusteri editione excusum οὐ διὰ σὲ, quod nunc primum animadvertimus. οὐχὶ reponendum, quod metri legibus quam parum inimicum sit, ut lector intelligat, versum in suos pedes divisum ob oculos ei ponam:

ἡ ξυμ | μαχια | δ' ουχι δι | α σε τοις | Αιγυπτ | ιοις.

179. Quæ ad hunc versum disputat Scholiastes de Laïdis Siculæ ætate, non obstant quo minus hic versus in posteriore Pluto primum positus de nobili hac meretrice intelligi potuerit: nam Archonte Antipatro nata erat annos xxxiv. Nescimus an versus iste jam in priore Pluto fuerit: tum intelligi debuisset alia meretrix ejusdem nominis: fuere enim plures cognomines, nec necesse esset nomen mutare in Ναΐς. Meretricem hic intelligi Corinthi degentem, sive nobilem illam Siculam, sive aliam, verisimile est e v. 303. De Laïde Sicula ejusque filia, quas imperite confundunt compilatores nostri, videndus Perizonius ad Æliani V. H. x. 2.

Persona huic versui præfixa in cod. Χρεμ. et sequentia verba ὁ Τιμοθέου δὲ πύργος famulo tributa.

181. Hic et sequentes quatuor versus in membr. Chremylo continuati, non interposita Carionis persona. In B. ubi præcedens hemistichion ob unius versus transpositionem famulo tributum, hic præfixa persona heri, cui continuati etiam quatuor sequentes versus. In C. hic et duo sequentes famulo tributi: 184. et sequens hero. Meus impressis concinit.

Πλ. ἐγὼ τοσαῦτα δυνατός εἰμ' εἷς ὢν ποιεῖν;
Χρ. καὶ ναὶ μὰ Δία τούτων γε πολλῷ πλείονα·
ὥστ' οὐδὲ μεστός σου γέγον' οὐδεὶς πώποτε.
τῶν μὲν γὰρ ἄλλων ἐστὶ πάντων πλησμονή·
ἔρωτος.
Κα. ἄρτων.
Χρ. μουσικῆς.
Κα. τραγημάτων.
Χρ. τιμῆς.
Κα. πλακούντων.
Χρ. ἀνδραγαθίας.
Κα. ἰσχάδων.
Χρ. φιλοτιμίας.
Κα. μάζης.
Χρ. στρατηγίας.
Κα. φακῆς.
Χρ. σοῦ δ' ἐγένετ' οὐδεὶς μεστὸς οὐδεπώποτε.
ἀλλ' ἢν τάλαντά τις λάβῃ τρία καὶ δέκα,
πολὺ μᾶλλον ἐπιθυμεῖ λαβεῖν ἑκκαίδεκα·
κἂν ταῦτ' ἀνύσηται, τετταράκοντα βούλεται,
ἤ φησιν οὐ βιωτὸν αὐτῷ τὸν βίον.
Πλ. εὖ τοι λέγειν ἔμοιγε φαίνεσθον πάνυ·
πλὴν ἓν μόνον δέδοικα.
Χρ. φράζε τοῦ πέρι.
Πλ. ὅπως ἐγὼ τὴν δύναμιν, ἣν ὑμεῖς φατὲ

186. In C. ἐγὼ τοσαῦτ' ἂν δυνατός εἰμ' εἷς ὢν ποιεῖν; Nec sententiæ, nec ingenio linguæ repugnat particula ἄν. Vide infra ad v. 885.

196. κἂν ταῦτ' ἀνύσηται, τετταράκοντα βούλεται. Sic poëtam scripsisse sola metri ratio evincere possit. ἀνύσῃ, quod juxta codd. impressi habent mediam semper et ubique corripit. Præterea acquirendi notio, quam sententia verbo inesse debere ostendit, soli formæ mediæ competit. Vide not. ad Eurip. Bac. 131. Certissima est Dawesii emendatio, quem adeat lector.

200. Schol. Ms. δέδοικα· ἔχων δὴ τὴν δύναμιν, ἣν ὑμεῖς φατὲ ἔχειν με, πῶς γενήσομαι ταύτης κύριος. μεγάλη γάρ τις ἐστὶ, καὶ δυσκόλως ἄν τις κτήσαιτο ταύτην ἐξουσιαστικῶς. τοῦτο δέδοικα, ὅπως, ἤγουν πῶς, γενήσομαι δεσπότης τῆς δυνάμεως ταύτης ἣν ὑμεῖς φατέ. De antiptosi vide ad Nub. 863.

ἔχειν με, ταύτης δεσπότης γενήσομαι.
Χρ. νὴ τὸν Δί'· ἀλλὰ καὶ λέγουσι πάντες, ὡς
δειλότατόν ἐσθ' ὁ Πλοῦτος.
Πλ. ἥκιστ'· ἀλλ' ἐμὲ
τοιχωρύχος τις διέβαλεν. εἰσδὺς γάρ ποτε,
οὐκ εἶχεν, ἐς τὴν οἰκίαν, οὐδὲν λαβεῖν,
εὑρὼν ἁπαξάπαντα κατακεκλεισμένα·
εἶτ' ὠνόμασέ μου τὴν πρόνοιαν, δειλίαν.
Χρ. μή νυν μελέτω σοι μηδέν· ὡς, ἐὰν γένῃ
ἀνὴρ πρόθυμος αὐτὸς εἰς τὰ πράγματα,
βλέποντ' ἀποδείξω σ' ὀξύτερον τοῦ Λυγκέως.
Πλ. πῶς οὖν δυνήσει τοῦτο δρᾶσαι, θνητὸς ὤν;
Χρ. ἔχω τιν' ἀγαθὴν ἐλπίδ', ἐξ ὧν εἶπέ μοι
ὁ Φοῖβος αὐτὸς, Πυθικὴν σείσας δάφνην.
Πλ. κἀκεῖνος οὖν ξύνοιδε ταῦτα;
Χρ. φήμ' ἐγώ.
Πλ. ὁρᾶτε.
Χρ. μὴ φρόντιζε μηδὲν, ὦ 'γαθέ.
ἐγὼ γὰρ, εὖ τοῦτ' ἴσθι, κεἰ δεῖ μ' ἀποθανεῖν,
αὐτὸς διαπράξω ταῦτα.
Κα. κἂν βούλῃ γ' ἐγώ.
Χρ. πολλοὶ δ' ἔσονται χ' ἅτεροι νῷν ξύμμαχοι,

203. δειλότατόν ἐσθ' ὁ Πλοῦτος, ut in Ran. 1482. μακάριόν γ' ἀνὴρ ἔχων ξύνεσιν. Ut in illo loco plerique peccarunt librarii, itidem in hoc Pluti versu lapsus est librarius codicis, quem nunc verso. Scripsit enim ille δειλότατός ἐσθ' ὁ πλοῦτος.

204. διέβαλεν. Sic tres codd. Vulgo διέβαλ'—

216. κεἰ δεῖ μ' ἀποθανεῖν. Codd. iv. mei juxta impressos κἂν δεῖ, solœce. Lys. 123.

ποιήσομεν, κἂν ἀποθανεῖν ἡμᾶς δέῃ.

Ran. 265.

κεκράξομαι γὰρ, κἄν με δέῃ, δι' ἡμέρας.

ubi vide quæ notavi: sic semper δέῃ in subjunctivo cum κἂν occurrit. Similem solœcismum emendavimus in Nub. 1492. Soph. Œd. Tyr. 669.

ὁ δ' οὖν ἴτω, κεἰ χρή με παντελῶς θανεῖν.

Dormitavit hic Hemsterhusius, qui a duobus codd. oblatum κεἰ δεῖ avidis ulnis amplecti debebat, immo refragantibus etiam codd. reponere. Quod autem ait, id ipsum κεἰ exstare in editione Farrei, falsum est; nisi Farreus, quod non credo, bis Aristophanem excuderit. In editione anni 1542. quam habeo, ut in aliis omnibus, est κἂν δεῖ.

ὅσοις δικαίοις οὖσιν οὐκ ἦν ἄλφιτα.
Πλ. παπαί· πονηρούς γ' εἶπας ἡμῖν ξυμμάχους.
Χρ. οὔκ· ἤν γε πλουτήσωσιν ἐξ ἀρχῆς πάλιν.
ἀλλ' ἴθι σὺ μὲν ταχέως δραμών.
Κα. τί δρῶ; λέγε.
Χρ. τοὺς ξυγγεώργους κάλεσον, εὑρήσεις δ' ἴσως
ἐν τοῖσιν ἀγροῖς αὐτοὺς ταλαιπωρουμένους,
ὅπως ἂν ἴσον ἕκαστος, ἐνταυθοῖ παρὼν,
ἡμῖν μετάσχῃ τοῦδε τοῦ Πλούτου μέρος.
Κα. καὶ δὴ βαδίζω· τοῦτο δὲ τὸ κρεάδιον
τῶν ἔνδοθέν τις εἰσενεγκάτω λαβών.

Χρεμύλος.

ἐμοὶ μελήσει τοῦτό γ'· ἀλλ' ἀνύσας τρέχε.
σὺ δ', ὦ κράτιστε Πλοῦτε πάντων δαιμόνων,
ἔσω μετ' ἐμοῦ δεῦρ' εἴσιθ'· ἡ γὰρ οἰκία
αὕτη 'στὶν, ἣν δεῖ χρημάτων σε τήμερον
μεστὴν ποιῆσαι, καὶ δικαίως κἀδίκως.

Πλοῦτος.

ἀλλ' ἄχθομαι μὲν εἰσιὼν, νὴ τοὺς θεοὺς,
ἐς οἰκίαν ἑκάστοτ' ἀλλοτρίαν πάνυ·
ἀγαθὸν γὰρ ἀπέλαυσ' οὐδὲν αὐτοῦ πώποτε.
ἢν μὲν γὰρ ἐς Φειδωλὸν εἰσελθὼν τύχω,

222. ἀλλ' ἴθι σὺ μὲν ταχέως δραμών. Sic duæ primariæ editt. juxta iv. meos codd. Ant. Fracinus edidit nescio unde μολὼν, quam lectionem neutra recepit Veneta. Fallitur hic rursus Hemsterhusius: in Farreana nec μολὼν nec μολῶν comparet, sed sincerum δραμών.

225. ὅπως ἂν ἴσον ἕκαστος—Sic scriptum in membr. et in meo, recte: non, ut vulgo, ἶσον, qua de re dicetur infra ad 1132.

227. κρεάδιον. Glossa in codd. τὴν χύτραν: quæ manifesto refertur ad alteram lectionem cujus meminit Scholiastes, τοῦτο δὲ τὸ λεβήτιον. Hanc veram esse metri ostendit, ni fallor, ratio: nam ut in aliis diminutivis terminatis in αδιον antepenultima corripitur, ut in λοπάδιον infra 812. sic in κρεάδιον corripi etiam debet, et proinde vocem illam non admittit versus. Ollulam manu gestabat Cario, in qua erat frustum carnis, immolatæ victimæ pars, quod ex Apollinis templo extulerat. Hujus rei explicatio, ex veterum more satis noto, in integris, quibus caremus scholiis, glossam peperit, unde in textum venit κρεάδιον.

232. τήμερον. Neglecto Atticismo in membr. σήμερον.

εὐθὺς κατώρυξέν με κατὰ τῆς γῆς κάτω·
κἄν τις προσέλθῃ χρηστὸς ἄνθρωπος φίλος,
αἰτῶν λαβεῖν τι μικρὸν ἀργυρίδιον,
ἔξαρνός ἐστι μηδ' ἰδεῖν με πώποτε.
ἢν δ' ὡς παραπλῆγ' ἄνθρωπον εἰσελθὼν τύχω,
πόρναισι καὶ κύβοισι παραβεβλημένος,
γυμνὸς θύραζ' ἐξέπεσον ἐν ἀκαρεῖ χρόνῳ.

Χρεμύλος.

μετρίου γὰρ ἀνδρὸς οὐκ ἐπέτυχες πώποτε.
ἐγὼ δὲ τούτου τοῦ τρόπου πῶς εἰμ' ἀεί.
χαίρω τε γὰρ φειδόμενος, ὡς οὐδεὶς ἀνὴρ,
πάλιν τ' ἀναλῶν, ἡνίκ' ἂν τούτου δέῃ.
ἀλλ' εἰσίωμεν, ὡς ἰδεῖν σε βούλομαι
καὶ τὴν γυναῖκα, καὶ τὸν υἱὸν τὸν μόνον,
ὃν ἐγὼ φιλῶ μάλιστα μετὰ σέ.

Πλοῦτος.

πείθομαι.

Χρεμύλος.

τί γὰρ ἄν τις οὐχὶ πρὸς σὲ τἀληθῆ λέγοι;

Καρίων.

ὦ πολλὰ δὴ τῷ δεσπότῃ ταυτὸν θύμον φαγόντες,
ἄνδρες φίλοι καὶ δημόται, καὶ τοῦ πονεῖν ἐρασταὶ,
ἴτ', ἐγκονεῖτε, σπεύδεθ', ὡς ὁ καιρὸς οὐχὶ μέλλειν,
ἀλλ' ἔστ' ἐπ' αὐτῆς τῆς ἀκμῆς, ᾗ δεῖ παρόντ' ἀμύνειν.

Χο. οὔκουν ὁρᾷς ὁρμωμένους ἡμᾶς πάλαι προθύμως,
ὡς εἰκός ἐστιν, ἀσθενεῖς γέροντας ἄνδρας ἤδη;

253. ταυτὸν θύμον φαγόντες. Cave Kustero fidem habeas ταυτὸν accipienti pro τὸν αὐτόν. Ex hoc enim versu in indicem suum retulit ταυτὸς, quæ vox est plane barbara. ταυτὸν valet τὸ αὐτό. Ut τοσοῦτον et τοσοῦτο in neutro dicitur, sic ταυτὸν et ταυτό. Vide Nub. 674. Av. 400. Duplici autem genere effertur ὁ θύμος et τὸ θύμον.

256. ᾗ δεῖ παρόντ' ἀμύνειν. Sic bene Hemsterhusius ad metri legem, licet refragantibus libris, qui habent omnes παρόντας. Cum singulari παρόντα subauditur τινὰ vel σέ. Qui Chorum alloquuntur, modo tanquam unicam personam, modo tanquam plures compellant. Sic etiam Chorus de se loquens, utroque numero sæpe in eadem phrasi utitur, ut mox infra v. 281.

σὺ δ' ἀξιοῖς ἴσως με θεῖν, πρὶν ταῦτα καὶ φράσαι μοι,
ὅτου χάριν γ' ὁ δεσπότης ὁ σὸς κέκληκεν ἡμᾶς.
Κα. οὔκουν πάλαι δήπου λέγω; σὺ δ' αὐτὸς οὐκ ἀκούεις.
ὁ δεσπότης γάρ φησιν, ὑμᾶς ἡδέως ἅπαντας
ψυχροῦ βίου καὶ δυσκόλου ζήσειν ἀπαλλαγέντας.
Χο. ἔστιν δὲ δὴ τί, καὶ πόθεν τὸ πρᾶγμα τοῦθ', ὅ φησιν;
Κα. ἔχων ἀφῖκται δεῦρο πρεσβύτην τιν', ὦ πόνηροι,
ῥυπῶντα, κυφὸν, ἄθλιον, ῥυσὸν, μαδῶντα, νωδόν·
οἶμαι δὲ, νὴ τὸν οὐρανὸν, καὶ ψωλὸν αὐτὸν εἶναι.
Χο. ὦ χρυσὸν ἀγγείλας ἐπῶν, πῶς φῄς; πάλιν φράσον μοι.
δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα.
Κα. πρεσβυτικῶν μὲν οὖν κακῶν ἔγωγ' ἔχοντα σωρόν.
Χο. μῶν ἀξιοῖς φενακίσας ἡμᾶς ἀπαλλαγῆναι
ἀζήμιος, καὶ ταῦτ' ἐμοῦ βακτηρίαν ἔχοντος;
Κα. πάντως γὰρ ἄνθρωπον φύσει τοιοῦτον ἐς τὰ πάντα
ἡγεῖσθέ μ' εἶναι, κοὐδὲν ἂν νομίζεθ' ὑγιὲς εἰπεῖν;
Χο. ὡς σεμνὸς οὑπίτριπτος· αἱ κνῆμαι δέ σου βοῶσιν
ἰοὺ, ἰοὺ, τὰς χοίνικας, καὶ τὰς πέδας ποθοῦσαι.
Κα. ἐν τῇ σορῷ νυνὶ λαχὸν τὸ γράμμα σου δικάζειν,

267. ψωλόν. Diversæ sunt ad hanc vocem glossæ: in meo ἐσπασμένον: in B. κηλήτην: in C. ἀσχημόνως κηλήτην.

268. πάλιν φράσον μοι. In tribus codd. omissa vox πάλιν, quam habet meus, sed alieno loco positam, sic; φράσον μοι πάλιν. Sincera lectio est in utraque Florentina: Venetæ quæ ex Basileensi priore expressæ fuere non habent πάλιν. Conferri potest locus hic Plauti in Merc. iii. 4. 53.

Ch. qua forma esse aiebant?
Eu. ego dicam tibi:
canum, varum, ventriosum, bucculentum, breviculum,
subnigris oculis, oblongis malis, pansam aliquantulum.
Ch. non hominem mihi, sed thesaurum nescio quem memoras mali.

277. ἐν τῇ σορῷ νυνὶ λαχὸν τὸ γράμμα σου δικάζειν. Nominativus est absolutus pro genitivo, qua de re supra ad Ran. 1437. In meo superscripta participio λαχὸν, glossa λαχόντος, quam in C. textus exhibet: ibi enim ἐν τῇ σορῷ νυνὶ λαχόντος τὸ γράμμα—In posteriore Basileensi excusum fuit, consilione an casu nescio, λαχών. In Florentina scholiorum editione, semel occurrit λαχὼν, typothetæ, ut videtur, errore. Nihil ista contra antiquam lectionem valent. Sed idem masculinum participium tuentur duo codd. Hemsterhusio adhibiti, quorum auctoritati magnum accedit pondus e Dawesii observatione, p. 124. *Verba λαχεῖν notionem apud scriptores Atticos neutram non esse*, sorte obvenisse; *sed activam duntaxat*, sortitum esse. Quod et

σὺ δ' οὐ βαδίζεις; ὁ δὲ Χάρων τὸ ξύμβολον δίδωσι.
Χο. διαῤῥαγείης. ὡς μόθων εἶ, καὶ φύσει κόβαλος,
ὅστις φενακίζεις· φράσαι δ' οὔπω τέτληκας ἡμῖν
ὅτου χάριν μ' ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο·
οἳ πολλὰ μοχθήσαντες, οὐκ οὔσης σχολῆς, προθύμως
δεῦρ' ἤλθομεν, πολλῶν θύμων ῥίζας διεκπερῶντες.
Κα. ἀλλ' οὐκέτ' ἂν κρύψαιμι. τὸν Πλοῦτον μὲν, ὦνδρες, ἥκει
ἄγων ὁ δεσπότης· ὃς ὑμᾶς πλουσίους ποιήσει.
Χο. ὄντως γάρ ἐστι πλουσίοις ἅπασιν ἡμῖν εἶναι;
Κα. νὴ τοὺς θεοὺς, Μίδας μὲν οὖν, ἢν ὦτ' ὄνου λάβητε.
Χο. ὡς ἥδομαι καὶ τέρπομαι, καὶ βούλομαι χορεῦσαι
ὑφ' ἡδονῆς, εἴπερ λέγεις ὄντως σὺ ταῦτ' ἀληθῆ.
Κα. καὶ μὴν ἐγὼ βελήσομαι, θρεττανελὸ τὸν Κύκλωπα
μιμούμενος, καὶ τοῖν ποδοῖν ὡδὶ παρενσαλεύων,
ὑμᾶς ἄγειν. ἀλλ' εἶα, τέκεα, θαμίν' ἐπαναβοῶντες,
βληχώμενοί τε προβατίων

mihi verum esse videtur; proinde λαχὼν reponi velim. V. seq. pro σὺ δ' οὐ melius forte legeretur σύ γ' οὐ—

279. μόθων. Gl. λίαν ὑβριστής. Schol. Ms. Μόθων] φλύαρος, αἰσχρὸς, ἄτιμος, φορτικὸς, δουλοπρεπὴς, ἀπὸ Μόθωνος τινὸς, αἰσχροποιοῦ. Sic vocabatur etiam saltatio quædam indecora, quo sensu occurrit hæc vox apud Eurip. Bac. 1048.

ὦ ξέν', οὐ μὲν ἵσταμεν,
οὐκ ἐξικνοῦμαι Μαινάδων ὄσοι μόθων.

cujus loci non meminit Meursius in Orchestra.

285. ὃς ὑμᾶς πλουσίους ποιήσει. Sic iv. codd. bene, quod jam expressum fuerat in editt. aliquot, nec spernere debebat Hemsterhusius. Sup. v. aliquot editt. male ὦ ἄνδρες sine elisione. Primaria recte ὦ'νδρες.

286. ἅπασιν ἡμῖν εἶναι. Hoc ordine collocatæ voces etiam in codd. sed peccant in accentu. Probabile est poëtam reliquisse ἡμῖν ἅπασιν εἶναι.

πλουσίοις. Cod. πλουσίους, minus eleganter, nec tamen contra syntaxis legem. Quod Kusterus in Μίδας facere volebat, fecit librarius ille in πλουσίοις, duo scilicet nomina ad eundem casum revocando, quod minime necesse est.

287. Μίδας accusativus est pluralis pendens a verbo εἶναι superioris versus, integra sic instituta syntaxi; νὴ τοὺς θεοὺς, ἐστὶ μὲν οὖν ὑμῖν Μίδας γίγνεσθαι, ἢν ὦτ' ὄνου λάβητε. Minime necesse est cum Kustero Μίδαις *scribere, ut respondeat dativo præcedenti* πλουσίοις. Utrumque casum admittit græcus sermo, ut et latinus. Perinde enim dicitur: *Nobis non licet esse tam disertis*: et *esse tam disertos*. Vide not. ad Lys. 179. Casu, arbitror, non ex Hemsterhusii sententia, excusum fuit in illius editione μὰ τοὺς θεούς. Libri omnes habent νὴ, quod et sententia flagitat. Vide infra ad 764.

290. Species quædam erat saltationis, Κύκλωψ dicta, de qua vide Meursium in Orchestra.

αἰγῶν τε κιναβρώτων μέλη,
ἕπεσθ', ἀπεψωλημένοι τράγοι δ' ἀκρατιεῖσθε.
Χο. ἡμεῖς δέ γ' αὖ ζητήσομεν, θρεττανελὸ τὸν Κύκλωπα
βληχώμενοι, σὲ τουτονὶ πινῶντα καταλαβόντες,
πήραν ἔχοντα, λάχανά τ' ἄγρια δροσερὰ, κραιπα-
ἡγούμενον τοῖς προβατίοις, [λῶντά θ',
εἰκῇ δὲ καταδαρθέντα που,
μέγαν λαβόντες ἡμμένον σφηκίσκον, ἐκτυφλῶσαι.
Κα. ἐγὼ δὲ τὴν Κίρκην γε, τὴν τὰ φάρμακ' ἀνακυκῶσαν,
ἣ τοὺς ἑταίρους τοῦ Φιλωνίδου ποτ' ἐν Κορίνθῳ
ἔπεισεν, ὡς ὄντας κάπρους,
μεμαγμένον σκῶρ' ἐσθίειν, αὐτὴ δ' ἔματτεν αὐτοῖς,
μιμήσομαι πάντας τρόπους·

295. ἀκρατιεῖσθε. Est ab ἀκρατίζεσθαι secunda longa, quia derivatur ab ἄκρατος. Significat *jentaculum, seu matutinum cibum sumere.* Vide fragm. Inc. xxxvi. et Athen. p. 11. Confuderunt hoc verbum veteres Critici cum alius derivationis et significationis verbo ἀκρατιύομαι, quod est ab ἀκρατής. Vim verbi non satis accurate reddit Bergleri versio, quam inconsiderate retinui, *lascivite.* Sensus est: *arrectisque veretris, ut hirci, jentate.* Quia nimirum hirci τὰ ἑαυτῶν αἰδοῖα λείχουσι. Glossa: λείχετε τὰ αἰδοῖα δηλονότι. Sup. v. male in duobus codd. scriptum κιναβρώτων. Aldina lectio κιναβρώντα μέλησιν manifesto vitiosa est. Quid in codice, quem ob oculos habebat, significaret scriptura, non intellexit typotheta. Ibi scriptum erat κιναβρώντα μέλη. Superne additum ων correctio erat ad priorem vocem pertinens, indicansque legendum esse κιναβρώντων. Versus κιναβρώντα non admittit, ita ut ne dubitationi quidem locus sit, utra lectio præferri debeat.

297. πινῶντα. Sic vere Bentleius. Vulgo πεινῶντα. Vide not. ad Lys. 277. Pro ζητήσομεν idem vir doctissimus legendum censet ζηλώσομεν, cui hac in re non adsentior. Connectuntur ζητήσομέν σε ἐκτυφλῶσαι.

298. Vulgo legitur λάχανά τ' ἄγρια δροσερὰ, καὶ κραιπαλῶντα. Istud καὶ versum perimit. Quæ participio subjici debebat copula τε in καὶ mutata ei ab imperito librario præfixa fuit. Hanc quoque præcepit emendationem Bentleius.

301. σφηκίσκον. Sic codd. omnes. Gl. δαλόν. Sic etiam legebat Eustathius, cujus hæc sunt verba p. 897. l. 57. ἀπὸ δὲ τῶν σφηκῶν, οὐ μόνον σφηκίσκοι ἀριθμητικὸν σχῆμα, ἀλλὰ καὶ ξύλα μικρὰ εἰς ὀξὺ συνηγμένα. Utrumque σφηνίσκον et σφηκίσκον eadem significatione in usu fuisse videtur. Prius reponi volebat Bentleius.

306. μιμήσομαι πάντας τρόπους. Sic, ut Reg. membr. primariæ duæ editt. quas sequuntur prior Basileensis, Venetæ duæ, et Parisina Wecheli. In C. πάντας τοὺς τρόπους. Duo alii πάντα τρόπον: quam lectionem primus imperite vulgavit Ant. Fracinus qui Phil. Juntæ heredum curavit editionem. Bis in metri legem peccat. Ultima in πάντα produci non potest ante literas

ὑμεῖς δὲ γρυλλίζοντες ὑπὸ φιληδίας
ἕπεσθε μητρὶ χοῖροι.
Χο. ἐκεῖν σε τὴν Κίρκην γε, τὴν τὰ φάρμακ' ἀνακυκῶσαν,
καὶ μαγγανεύουσαν, μολύνουσάν τε τοὺς ἑταίρους,
λαβόντες, ὑπὸ φιληδίας
τὸν Λαρτίου μιμούμενοι, τῶν ὄρχεων κρεμῶμεν,
μινθώσομέν θ', ὥσπερ τράγου,
τὴν ῥῖνα· σὺ δ' Ἀρίστυλλος ὑποχάσκων ἐρεῖς·
Ἕπεσθε μητρὶ χοῖροι.
Κα. ἀλλ' εἶα νῦν τῶν σκωμμάτων ἀπαλλαγέντες ἤδη
ὑμεῖς ἐπ' ἄλλ' εἶδος τρέπεσθ'·
ἐγὼ δ' ἰὼν ἤδη, λάθρα
βουλήσομαι τοῦ δεσπότου,
λαβών τιν' ἄρτον, καὶ κρέας
μασώμενος, τολοιπὸν οὕτω τῷ κόπῳ ξυνεῖναι.
Χο. (λείπει κομμάτιον τοῦ Χοροῦ.)

ΧΡΕΜΥΛΟΣ, ΧΟΡΟΣ, ΒΛΕΨΙΔΗΜΟΣ, ΠΕΝΙΑ.

Χρ. ΧΑΙΡΕΙΝ μὲν ὑμᾶς ἐστιν, ὦ 'νδρες δημόται,
ἀρχαῖον ἤδη προσαγορεύειν καὶ σαπρόν·
ΑΣΠΑΖΟΜΑΙ δ', ὅτιὴ προθύμως ἥκετε,
καὶ συντεταμένως, κοὐ κατεβλακευμένως.

τρ. Vide Ran. v. 618. Eodem modo Nub. 701. male legebatur πάντα τρόπον, ubi edidimus πάντας τρόπους. Tum dimetrum iambicum syllaba brevi terminare non licet, nisi a sequenti versu adjuvetur. Vide ad Ran. 984.

325. Vulgo metro prorsus pessumdato sic legitur hic versus:

καὶ συντεταγμένως κ' οὐ καταβεβλακευμένως.

ubi in quarta sede dactylus est et in quinta creticus. Parum musicas Hemsterhusii aures ista non offenderunt: at nos sinceram lectionem e membranis reponimus, in quibus distincte et perspicue scriptum συντεταμένως et κατεβλακευμένως. In C. καὶ συντεταγμένως (gl. μετὰ τάξεως) καὶ οὐ κατεβλακευμένως. (gl. ἀντὶ τοῦ βραδέως καὶ τρυφερῶς) In meo καὶ συντεταμένως (gl. σπουδαίως) κοὐ καταβεβλακευμένως (gl. ῥαθύμως.) Vides primum tria hic cumulari adverbia ejusdem significationis προθύμως, συντεταμένως, οὐ κατεβλακευμένως. Nihil ad rem facit quod vulgo legitur τὸ συντεταγμένως. Quod dedimus confirmatur auctoritate duorum codd. eoque referuntur etiam veterum Criticorum in

ὅπως δ' ἐμοὶ καὶ τἄλλα συμπαραστάται
ἔσεσθε, καὶ σωτῆρες ὄντως τοῦ θεοῦ.
Χο. θάῤῥει. βλέπειν γὰρ ἄντικρυς δόξεις μ' Ἄρην.
δεινὸν γὰρ, εἰ τριωβόλου μὲν οὕνεκα
ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τῇ 'κκλησίᾳ,
αὐτὸν δὲ τὸν Πλοῦτον παρείην τῳ λαβεῖν.
Χρ. καὶ μὴν ὁρῶ καὶ Βλεψίδημον τουτονὶ
προσιόντα· δῆλος δ' ἐστὶν, ὅτι τοῦ πράγματος
ἀκήκοέν τι, τῇ βαδίσει καὶ τῷ τάχει.
Βλ. τί ἂν οὖν τὸ πρᾶγμ' εἴη; πόθεν, καὶ τίνι τρόπῳ
Χρεμύλος πεπλούτηκ' ἐξαπίνης; οὐ πείθομαι.
καί τοι λόγος γ' ἦν, νὴ τὸν Ἡρακλέα, πολὺς
ἐπὶ τοῖσι κουρείοισι τῶν καθημένων,
ὡς ἐξαπίνης ἀνὴρ γεγένηται πλούσιος.
ἔστιν δ' ἐμοὶ τοῦτ' αὐτὸ θαυμάσιον γ' ὅπως,

editis scholiis interpretationes *σπουδαίως, γοργῶς*. Alterum *κατιβλακευμένως* tuentur itidem duo codd. quibus accedit metri lex, quæ τὸ *καταβιβλακευμένως* respuit, et Atticorum usus, qui in præterito plerorumque verborum a duplici consonante incipientium primam non geminant, qua de re vide not. ad Lys. 291. Sic Thesm. 131. *καὶ κατεγλωττισμένον*, non *καταγγιλωττισμένον*.

327. *ὄντως*. Sic tres codd. recte. In C. librarii errore *ὄντες*, cum glossa *κατ' ἀλήθειαν*. Perperam Aldus edidit *ὄντες*, quod recte correxit Bern. Junta. Versum hunc nuper advocavit, nescio quam opportune, ad Sophoclis Œdipum T. 612. Vir Cl. ut suspectam apud Thucydidem H. Stephano scripturam, tanquam bene græcam tueretur. Locum Thucydidis non adtingo: id solum observo, pro mendoso eum habendum esse, si nullo alio exemplo defendi possit. Hac autem occasione Clarissimum Professorem monebo, receptum jam esse morem, ut si quis Criticum agat, is optimis classicorum auctorum editionibus utatur, ne nobis veteres sordes, ex emendatis libris jamdudum ejectas, identidem oggerat: ludibriumque eruditis omnibus eum debere, qui criticam facere velit, et Hemsterhusii Plutum ne quidem noverit. Hæc illi editio inspicienda erat, antequam versum hunc citaret, alterumque illum, cujus eum scansionem docui in nota ad Thesm. 56.

328. *ἄρην*. Lectio est trium codd. In membr. *ἄρη*.

Cod. etiam *ἄρην*, et v. seq. *οὕνεκα*.

329. *οὕνεκα* liquido scriptum in quatuor codd. Vide not. ad Lys. 74. Perperam impressi hic, ut multis aliis in locis, *εἵνεκα*. His editionum mendis inductus Vir in arte critica præstantissimus Clar. Parisinus Professor in nota ad Sophoclis Antig. 1255. in dubium vocat Dawesii observationem, *ειν* pro *εν* Atticos non agnoscere.

331. *παρείην τῳ λαβεῖν*. Male vulgo excusum *τῷ*. Accentu caret in membr. vocula. In tribus aliis superscripta glossa *τινί*.

340. *τοῦτ' αὐτὸ θαυμάσιον γ' ὅπως*. Vulgo *θαυμαστόν χ' ὅπως*. Mendosissime.

χρηστόν τι πράττων, τοὺς φίλους μεταπέμπεται.
οὔκουν ἐπιχώριόν τι πρᾶγμ' ἐργάζεται.

Χρ. ἀλλ' οὐδὲν ἀποκρύψας ἐρῶ, μὰ τοὺς θεούς.
ὦ Βλεψίδημ', ἄμεινον ἢ χθὲς πράττομεν,
ὥστε μετέχειν ἔξεστιν· εἶ γὰρ τῶν φίλων.

Βλ. γέγονας δ' ἀληθῶς, ὡς λέγουσι, πλούσιος;

Χρ. ἔσομαι μὲν οὖν αὐτίκα μάλ', ἢν θεὸς θέλῃ.
ἔνι γάρ τις, ἔνι κίνδυνος ἐν τῷ πράγματι.

Βλ. ποῖός τις;

Χρ. οἷος;

Βλ. λέγ' ἀνύσας ὅ τι φῄς ποτε.

Χρ. ἢν μὲν κατορθώσωμεν, εὖ πράττειν ἀεί·
ἢν δὲ σφαλῶμεν, ἐπιτετρίφθαι τοπαράπαν.

Βλ. τουτὶ πονηρὸν φαίνεται τὸ φορτίον,
καί μ' οὐκ ἀρέσκει. τό τε γὰρ ἐξαίφνης ἄγαν
οὕτως ὑπερπλουτεῖν, τό τ' αὖ δεδοικέναι,
πρὸς ἀνδρὸς οὐδὲν ὑγιὲς ἔστ' εἰργασμένου.

Χρ. πῶς οὐδὲν ὑγιές;

Βλ. εἴ τι κεκλοφώς, νὴ Δία,
ἐκεῖθεν ἥκεις, ἀργύριον ἢ χρυσίον

Copula sic inserta nihil absurdius. Tres codd. ut editio Bern. Juntæ θαυμαστὸν ὅπως, metro claudicante, nisi forte brevis syllaba producatur ob sequentem aspirationem, quod mihi probabile non est. In meo codice perspicue scriptum θαυμαστόν γ' ὅπως, quod reponere debebam, lectorique ut reponat suadeo. Scriptura Aldini codicis ex illa depravata, quod et accentus ostendit. Similem librarii errorem χ pro γ ponentis alicubi supra observare memini. καὶ ὅπως apud Comicum semper coalescunt in χὤπως. Fraudi mihi fuit in margine libri mei enotata Piersoni emendatio prolata ad Mœrin p. 188. quam pro varia codicis lectione habui.

Cod. θαυμαστὸν ὅπως.

353. καί μ' οὐκ ἀρέσκει. Glossa in codd. ἐμοί, quod ad sensus declarationem valet, sed quod ad syntaxin accuratum non est. μ' οὐκ ἀρέσκει est pro οὐκ ἀρέσκει με. Verbum hoc cum accusativo personæ construitur. Vide Lys. 509. Ran. 103. Sup. v. ad φορτίον glossa τὸ πρᾶγμα.

355. πρὸς ἀνδρός. Præpositioni superscripta in codd. glossa, περισσόν. Falsum est. In eodem errore, a Scholiasta reprehenso, versatur Corinthus de Dial. Attic. §. xlv. ubi meliora tradit Kœnius. πρὸς τινὸς εἶναι quidpiam dicitur, *quod partium et officii alicujus est; quod alicui convenit.* Vide Thesm. 177. Ran. 540.

356. πῶς οὐδὲν ὑγιές: Vulgo πῶς δ' οὐδὲν—Inutilem particulam omittunt quatuor mei codd.

παρὰ τοῦ θεοῦ· κᾆπειτ' ἴσως σοι μεταμέλει.
Χρ. Ἄπολλον ἀποτρόπαιε· μὰ Δί', ἐγὼ μὲν οὔ.
Βλ. παῦσαι φλυαρῶν, ὦ 'γάθ'· οἶδα γὰρ σαφῶς.
Χρ. σὺ μηδὲν εἰς ἔμ' ὑπονόει τοιοῦτο.
Βλ. φεῦ·
ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν οὐδενός.
ἀλλ' εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες.
Χρ. οὔ τοι, μὰ τὴν Δήμητρ', ὑγιαίνειν μοι δοκεῖς.
Βλ. ὡς πολὺ μεθέστηχ' ὧν πρότερον εἶχεν τρόπων.
Χρ. μελαγχολᾷς, ἄνθρωπε, νὴ τὸν οὐρανόν.
Βλ. ἀλλ' οὐδὲ τὸ βλέμμ' αὐτὸ κατὰ χώραν ἔχει·
ἀλλ' ἔστιν ἐπίδηλόν τι πεπανουργηκότι.
Χρ. σὺ μὲν οἶδ' ὃ κρώζεις· ὡς ἐμοῦ τι κεκλοφότος,
ζητεῖς μεταλαβεῖν.
Βλ. μεταλαβεῖν ζητῶ; τίνος;
Χρ. τὸ δ' ἐστὶν οὐ τοιοῦτον, ἀλλ' ἑτέρως ἔχον.
Βλ. μῶν οὐ κέκλοφας, ἀλλ' ἥρπακας;
Χρ. κακοδαιμονᾷς.
Βλ. ἀλλ' οὐδὲ μὴν ἀπεστέρηκάς γ' οὐδένα;
Χρ. οὐ δῆτ' ἔγωγ'.
Βλ. ὦ Ἡράκλεις· φέρε, ποῖ τις ἂν
τράποιτο; τἀληθὲς γὰρ οὐκ ἐθέλεις φράσαι.
Χρ. κατηγορεῖς γὰρ, πρὶν μαθεῖν τὸ πρᾶγμά μου.

365. εἶχεν τρόπων. Vulgo claudicante versu εἶχε.

366. μελαγχολᾷς ἄνθρωπε. Sic tres Regii, recte. Vocativis omnibus solebant, qui olim inter codicum lineas glossas scribebant, superponere ὦ, inepte plerumque, ut hic, ubi ipsa terminatio nominis casum indicat. In B. scriptum in textu ἄνθρωπε, et superpositum ὦ. Inde orta diversa lectio, quæ in impressis exstat ὦ 'νθρωπε.

373. οὐδὲ μὴν—γε. Tres sunt particulæ, quæ aggregari solent. Perperam in impressis οὐδεμὴν excusum. In membr. et in meo divisim scriptum οὐδὲ μὴν—

374. ποῖ τις ἂν τράποιτο; Sic in Kusteri editione exstat, casune an illius ex sententia nescio. Ante eum impressis in omnibus legebatur ποῖ τις οὖν τράποιτο. Solœcam formulam Hemsterhusium revocasse, simulque ignorasse eam græcæ linguæ ingenio adversari, profecto miror. A vulgatis nihil discrepant codd. Vide Dawesium p. 207. ad hujus fabulæ v. 438. ubi gemella erat menda.

Βλ. ὦ 'τὰν, ἐγώ σοι τοῦτ' ἀπὸ σμικροῦ πάνυ
ἐθέλω διαπρᾶξαι, πρὶν πυθέσθαι τὴν πόλιν,
τὸ στόμ' ἐπιβύσας κέρμασιν τῶν ῥητόρων.

Χρ. καὶ μὴν φίλως γ' ἄν μοι δοκεῖς, νὴ τοὺς θεοὺς,
τρεῖς μνᾶς ἀναλώσας, λογίσασθαι δώδεκα.

Βλ. ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθεδούμενον,
ἱκετηρίαν ἔχοντα μετὰ τῶν παιδίων
καὶ τῆς γυναικός· κοὐ διοίσοντ' ἄντικρυς
τῶν Ἡρακλειδῶν οὐδ' ὁτιοῦν τῶν Παμφίλου.

Χρ. οὐκ, ὦ κακόδαιμον, ἀλλὰ τοὺς χρηστοὺς μόνους
ἔγωγε, καὶ τοὺς δεξιοὺς καὶ σώφρονας
ἀπάρτι πλουτῆσαι ποιήσω.

380. Hic et sequens versus sic vulgo legebantur ante Hemsterhusium:

κ᾽ μὴν φίλος γ' ἄν μοι δοκῇς, νὴ τοὺς θεὸυς,
τρεῖς μνᾶς ἀναλώσας γε λογίσασθαι δώ-
δεκα.

Bene ille pro *δοκῇς* e codice *δοκεῖς* reposuit, et in altero versu particulam *γε* expunxit. Sed ne sic quidem locus erat persanatus: nec satis intelligebat eruditus Batavus quid sibi vellet nominativus iste *φίλος*, quove nexu cum ceteris orationis partibus cohæreret. In membr. scriptum *καὶ μὴν φίλως γ' ἄν μοι δοκεῖς*. In C. etiam *φίλως* cum glossa *προσφιλῶς*. In B. *φίλος* superscripto *ω*. Meus in eo ab impressis differt quod *δοκεῖς* habet. Sensum versio expedit. Ordo est: *καὶ μὴν δοκεῖς μοι, νὴ τοὺς θεοὺς, τρεῖς μνᾶς ἀναλώσας, φίλως ἂν λογίσασθαι δώδεκα.* Faceta, manifestaque ironia. Particula *ἂν* ad verbum infinitivum *λογίσασθαι* pertinet, non vero ad *δοκεῖς*. In hac constructione sæpe peccarunt librarii. Succurrit locus in Vesp. v. 1198.

ποῖον ἂν λέξαι δοκεῖς
ἐπὶ νεότητος ἔργον ἀνδρικώτατον;

Quidnam tibi videris narraturus? Particula *ἂν* ad verbum *λέξαι* pertinet, cui significationem futuri tribuit. Ibi male codd. alter *δοκῇς*, ut hic in duobus scriptum est. Av. 1652.

ἢ πῶς ἄν ποτε
ἐπίκληρον εἶναι τὴν Ἀθηναίαν δοκεῖς,
οὖσαν θυγατέρ', ὄντων ἀδελφῶν γνησί-
ων;

id est *πῶς δοκεῖς τὴν Ἀθηνᾶν ἐπίκληρον ἂν εἶναι*, *futuram esse*, vel *esse posse*. In altero versu particulam *γε* nullus agnoscit cod. Si modo fuit in Aldino, imperitiæ librarii debetur putantis hoc tibicine versum indigere. In *ἀναλόω* natura longa est secunda, quapropter in præteritis non augetur. Vide Valckenarium ad Phœn. p. 222. Hipparchus apud Stobæum p. 229.

τὰ μὲν γὰρ ἄλλα καὶ πόλεμος, καὶ με-
ταβολαὶ
τύχης, ἀνάλωσ', ἡ τέχνη δὲ σώζεται.

Sic in Regio codice: perperam Grotius edidit *ἀνήλωσ'*.

Sic etiam, ut eos edidi, plane in cod. —absente in altero *γε*. Adverbio *φίλως* superscripta glossa, *εἰρωνικῶς τοῦτο*. Participio *ἀναλώσας*, *οἴκοθεν*. Verbo *λογίσασθαι*, *λογαριάσαι ἡμῖν*.

385. In Pœcile pictura erat Pamphili, Heraclidas exhibens cum Alcmena opem ab Atheniensibus contra Eurystheum implorantes. Vide Meursium Athen. Att. i. 5.

388 *ἀπάρτι*. Sic tres codd. In meo glossa, *ἀπὸ τοῦ νῦν*: in C. *νυνί*. In

Βλ. τί σὺ λέγεις;
οὕτω πάνυ πολλὰ κέκλοφας;
Χρ. οἴμοι τῶν κακῶν,
ἀπολεῖς.
Βλ. σὺ μὲν οὖν σεαυτὸν, ὥς γ' ἐμοὶ δοκεῖς.
Χρ. οὐ δῆτ'· ἐπεὶ τὸν Πλοῦτον, ὦ μόχθηρε σὺ,
ἔχω.
Βλ. σὺ Πλοῦτον; ὁποῖον;
Χρ. αὐτὸν τὸν θεόν.
Βλ. καὶ ποῦ 'στιν;
Χρ. ἔνδον.
Βλ. ποῦ;
Χρ. παρ' ἐμοί.
Βλ. παρὰ σοί;
Χρ. πάνυ.
Βλ. οὐκ ἐς κόρακας; Πλοῦτος παρὰ σοί;
Χρ. νὴ τοὺς θεούς.
Βλ. λέγεις ἀληθῆ;
Χρ. φημί.
Βλ. πρὸς τῆς Ἑστίας;
Χρ. νὴ τὸν Ποσειδῶ.
Βλ. τὸν θαλάττιον λέγεις;

membr. ut vulgo ἀπαρτὶ, sensu diverso, quemque minus probo.

390. σὺ μὲν οὖν σεαυτόν. Hic aliisque multis in locis elegantius videretur σὺ μὲν οὖν ἑαυτόν. Invitis codicibus hoc reponere nolui.

392. ὁποῖον. Sic codd. omnes. In C. superscripta glossa, ἐρωτηματικὸν, ἀντὶ τοῦ ποῖον. Recte. Id quidem, nempe ὁποῖον interrogantis esse, negat Dawesius p. 300. proindeque hic rescribendum esse censet ποῖον. Sed fallitur. ὅπως, ὁποῖος, οἷος, ὅστις apud Comicum, aliosque poëtas Atticos centies occurrunt in interrogatione. Euripides Phœn. 1718.

ὁποῖος; ἀλλ' ἢ πρὸς κακοῖς ἐρεῖς κακά;

Bac. 652.

ἥκεις δ' ὁποίαν προσιδεὶς σπουδὴν λόγου;

Dixisset forte Tragicum scripsisse ὁ ποῖος; et ἥκεις δὲ ποίαν—Sed nihil simile locum habere potest in hoc Nostri versu, Acharn. 963.

ὁποῖος οὗτος Λάμαχος τὴν ἐγχέλυν;

Dawesii emendationem adfirmat hic cod. in quo scriptum σὺ Πλοῦτον; ποῖον; sed librarii est allucinatio.

396. τὸν θαλάττιον. Sic cod. meus. Tres Regii, ut vulgo, nèglecto Atticismi idiomate, θαλάσσιον.

Χρ. εἰ δ' ἔστιν ἕτερός τις Ποσειδῶν, τὸν ἕτερον.
Βλ. εἶτ' οὐ διαπέμπεις καὶ πρὸς ἡμᾶς τοὺς φίλους;
Χρ. οὐκ ἔστι πω τὰ πράγματ' ἐν τούτῳ.
Βλ. τί φής;
οὐ τῷ μεταδοῦναι;
Χρ. μὰ Δία. δεῖ γὰρ πρῶτα - -
Βλ. τί;
Χρ. βλέψαι ποιῆσαι νὼ - -
Βλ. τίνα βλέψαι; φράσον.
Χρ. τὸν Πλοῦτον, ὥσπερ πρότερον, ἐνί γέ τῳ τρόπῳ.
Βλ. τυφλὸς γὰρ ὄντως ἐστί;
Χρ. νὴ τὸν οὐρανόν.
Βλ. οὐκ ἐτὸς ἄρ' ὡς ἔμ' ἦλθεν οὐδεπώποτε.
Χρ. ἀλλ', ἢν θεοὶ θέλωσι, νῦν ἀφίξεται.
Βλ. οὔκουν ἰατρὸν εἰσαγαγεῖν ἐχρῆν τινά;
Χρ. τίς δῆτ' ἰατρός ἐστι νῦν ἐν τῇ πόλει;
οὔτε γὰρ ὁ μισθὸς οὐδὲν ἔστ', οὔθ' ἡ τέχνη.
Βλ. σκοπῶμεν.
Χρ. ἀλλ' οὐκ ἔστιν.
Βλ. οὐδ' ἐμοὶ δοκεῖ.
Χρ. μὰ Δί', ἀλλ' ὅπερ πάλαι παρεσκευαζόμην
ἐγὼ, κατακλίνειν αὐτὸν εἰς Ἀσκληπιοῦ
κράτιστόν ἐστι.
Βλ. πολὺ μὲν οὖν, νὴ τοὺς θεούς.
μή νυν διάτριβ', ἀλλ' ἄνυε πράττων ἕν γέ τι.
Χρ. καὶ δὴ βαδίζω.
Βλ. σπεῦδέ νυν.
Χρ. τοῦτ' αὐτὸ δρῶ.
Πε. ὦ θερμὸν ἔργον, κἀνόσιον, καὶ παράνομον

400. μὰ Δία. Hic rursus per se negat μά. Vide not. ad Thesm. 748. Ran. 951.

402. ὥσπερ πρότερον. Sic bene tres Regii. Vulgo redundante syllaba, ὥσπερ τοπρότερον. Bentleii emendationem receperat Hemsterhusius ὡς τὸ πρότερον. Emendate in A. B. scriptum ἐνί γε τῳ—non, ut vulgo, τῷ. Idem est ac Thesm. 430. μιᾷ γέ τῳ τέχνῃ.

408. Deficit ars, ubi illi merces sua non est.

τολμῶντε δρᾷν ἀνθρωπαρίω κακοδαίμονε,
ποῖ, ποῖ; τί φεύγετον; οὐ μενεῖτον;

Βλ. Ἡράκλεις.

Πε. ἐγὼ γὰρ ὑμᾶς ἐξολῶ κακοὺς κακῶς.
τόλμημα γὰρ τολμᾶτον οὐκ ἀνασχετὸν,
ἀλλ' οἷον οὐδεὶς ἄλλος οὐδεπώποτε
οὔτε θεὸς, οὔτ' ἄνθρωπος· ὥστ' ἀπολώλατον.

Χρ. σὺ δ' εἶ τίς; ὠχρὰ μὲν γὰρ εἶναί μοι δοκεῖς.

Βλ. ἴσως Ἐριννύς ἐστιν ἐκ τραγῳδίας·
βλέπει γέ τοι μανικόν τι καὶ τραγῳδικόν.

Χρ. ἀλλ' οὐκ ἔχει γὰρ δᾷδας.

Βλ. οὐκοῦν κλαύσεται.

Πε. οἴεσθε δ' εἶναι τίνα με;

Χρ. πανδοκεύτριαν,
ἢ λεκιθόπωλιν. οὐ γὰρ ἂν τοσουτονὶ
ἐνέκραγες ἡμῖν, οὐδὲν ἠδικημένη.

Πε. ἄληθες; οὐ γὰρ δεινότατα δεδράκατον,
ζητοῦντες ἐκ πάσης με χώρας ἐκβαλεῖν;

Χρ. οὔκουν ὑπόλοιπόν σοι τὸ βάραθρον γίγνεται;
ἀλλ' ἥ τις εἶ, λέγειν σ' ἐχρῆν αὐτίκα μάλα.

Πε. ἥ σφὼ ποιήσω τήμερον δοῦναι δίκην,
ἀνθ' ὧν ἐμὲ ζητεῖτον ἐνθένδ' ἀφανίσαι.

Βλ. ἆρ' ἐστὶν ἡ καπηλὶς, ἡ 'κ τῶν γειτόνων,
ἣ ταῖς κοτύλαις ἀεί με διαλυμαίνεται;

Πε. Πενία μὲν οὖν, ἣ σφῷν ξυνοικῶ πόλλ' ἔτη.

Βλ. (φεύγει, ἀκούσας ὅτι ἡ Πενία ἐστί.)
ἄναξ Ἄπολλον, καὶ θεοὶ, ποῖ τις φύγῃ;

417. Ἡράκλεις. *Hercules te invoco.* Ut ἀλεξίκακον, et monstrorum domitorem. Vide Plautum Mostell. ii. 2. 94.

427. iv. codd. λεκυθόπωλιν. In Lys. 562. Regiorum alter habet etiam λέκυθον. Duo alii recte λέκιθον. Vide Foësii Œcon. Hippocr. in hac voce.
Cod. λεκυθόπωλιν.

432. λέγειν σ' ἐχρῆν αὐτίκα. Pronomen omissum est in tribus codd. ut in duabus primariis editionibus: insertum fuit ab Ant. Fracino: λέγειν ἐχρῆν σ' αὐτίκα. Nos codicem B. sequimur, ubi pronomen eandem quam hic sedem tenet.

438. ποῖ τις φύγῃ; Codd. ut impres-

Χρ. οὗτος, τί δρᾷς; ὦ δειλότατον σὺ θηρίον,
οὐ παραμενεῖς;
Βλ. ἥκιστα πάντων.
Χρ. οὐ μενεῖς;
ἀλλ' ἄνδρε δύο γυναῖκα φεύγομεν μίαν;
Βλ. Πενία γάρ ἐστιν, ὦ πόνηρ', ἧς οὐδαμοῦ
οὐδὲν πέφυκε ζῶον ἐξωλέστερον.
Χρ. στῆθ', ἀντιβολῶ σε, στῆθι.
Βλ. μὰ Δί' ἐγὼ μὲν οὔ.
Χρ. καὶ μὴν λέγω, δεινότατον ἔργον παραπολὺ
ἔργων ἁπάντων ἐργασόμεθ', εἰ τὸν θεὸν
ἔρημον ἀπολιπόντε ποι φευξούμεθα,
τηνδὶ δεδιότε, μὴ δὲ διαμαχούμεθα.
Βλ. ποίοις ὅπλοισιν ἢ δυνάμει πεποιθότες;
ποῖον γὰρ οὐ θώρακα, ποίαν ἀσπίδα
οὐκ ἐνέχυρον τίθησιν ἡ μιαρωτάτη;
Χρ. θάῤῥει· μόνος γὰρ οὗτος οἶδ' ὁ θεὸς ὅτι

si φύγοι. In C. superscriptum ἄν. Scilicet significare voluit glossæ auctor particulam ἂν hic requiri, et subaudiri, quod partim verum, partim falsum. Requiritur illa quidem cum optativo, sed omitti non potest. Scriptum oportuit vel πῇ τις ἂν φύγοι; vel πῇ τις φύγῃ; Prius quum metrum non admittat, alterum a poëta esse certo certius est. Vide Dawesium loco ad v. 374. laudato.

πῇ τις φύγῃ; Quod hic contra modorum rationem vitium ex Dawesii observatione sublatum fuit, sæpe in libris occurrit ab editoribus non animadversum, cujusmodi tamen plurima e codicibus emendari possent. In Posidippi Epigr. xvi. perperam post alios edidimus ποίαν τις βιότοιο τάμοι τρίβον; quod etiam solœcum est. In Regio Stobæi cod. ad linguæ normam scriptum est: ποίαν τις βιότου τάμῃ τρίβον; Supra v. 374. ubi legebatur πῇ τις οὖν τράποιτο; observare poteram alibi similem culpam commisisse librarios. In Ran. 488. οὔκουν ἕτερος ταῦτ' εἰργάσατ' ἀνήρ. ubi itidem ἄν, quod reposui, mutatum fuerat in οὖν, contra linguæ indolem.

441. ἄνδρε δύο. Sic recte, ut impressi, membranæ. Perperam in tribus aliis δύω. Vide not. ad Ran. 1405. Omnes φεύγομεν: in membr. superscriptum ω, indicium var. lect. φεύγωμεν: sed prava illa est.

445. δεινότατον. Cod. δειλότατον, quod altero haud deterius videri possit. Gallice: *nous ferons l'action du monde la plus lache, si—*

450. ποίαν ἀσπίδα. Sic optime primariæ editt. In A. C. θώρακα, καὶ ποίαν ἀσπίδα. In B. θώρακα ἢ ποίαν ἀσπίδα. Meus, ποίαν δὲ ἀσπίδα, quæ lectio est posterioris Florentinæ. Metro quidem non repugnat, sed frigida est. Multum vigoris orationi decedit si quavis particula membra connectantur. Hoc non sensisse Hemsterhusium!

τροπαῖον ἂν στήσαιτο τῶν ταύτης τρόπων.
Πε. γρύζειν δὲ καὶ τολμᾶτον, ὦ καθάρματε,
ἐπ' αὐτοφώρῳ δεινὰ δρῶντ' εἰλημμένω;
Χρ. σὺ δ', ὦ κάκιστ' ἀπολουμένη, τί λοιδορεῖ,
ἡμῖν προσελθοῦσ', οὐδ' ὁτιοῦν ἀδικουμένη;
Πε. οὐδὲν γάρ, ὦ πρὸς τῶν θεῶν, νομίζετον
ἀδικεῖν με, τὸν Πλοῦτον ποιεῖν πειρωμένω
βλέψαι πάλιν;
Χρ. τί οὖν; ἀδικοῦμεν τοῦτό σε,
εἰ πᾶσιν ἀνθρώποις ἀγαθὸν πορίζομεν;
Πε. τί δ' ἂν γ' ὑμεῖς ἀγαθὸν ἐξεύροιθ';
Χρ. ὅ τι;
σὲ πρῶτον ἐκβαλόντες ἐκ τῆς Ἑλλάδος.
Πε. ἔμ' ἐκβαλόντες; καὶ τί ἂν νομίζετον
κακὸν ἐργάσασθαι μεῖζον ἀνθρώπους;
Χρ. ὅ τι;
εἰ τοῦτο δρᾶν μέλλοντες, ἐπιλαθοίμεθα.
Πε. καὶ μὴν περὶ τούτου σφῷν ἐθέλω δοῦναι λόγον
τοπρῶτον αὐτή. κἂν μὲν ἀποφήνω, μόνην

453. *τροπαῖον ἂν στήσαιτο.* Sic bene Kusterus e Suida in *τρόπαια*, ut et perite emendaverat Bentleius ante inspectum Grammatici locum. Sic etiam perspicue et distincte scriptum in meo et in B. Solœca est aliarum editt. lectio, versumque minus numerosum reddit *τροπαῖον ἀναστήσαιτο.* In Thesm. 696. exstat: *σὺ πολλὴν βοὴν στήσεσθε καὶ τροπαῖον.* Sæpe ex proprietatis sermonis et metricarum legum ignoratione particulam *ἂν* vim suam nativam exserentem, verbis simplicibus, tanquam præpositionem, adnexuerunt librarii cum sententiæ vel metri detrimento. Vide not. ad Lys. 912. et ad Eurip. Phœn. 514. Re consideratius pensitata nullum mihi superest dubium, quin depravata fuerit eodem modo lectio in Lys. v. 384. ibique scripserit poëta:

ἄρδω σ', ὅπως ἂν βλαστάνῃς.

461. *ἀγαθὸν πορίζομεν.* Sic recte Bentleius. Cod. meus immodulate, ut vulgo, *πορίζομεν ἀγαθόν.* Pejus alii omnes: membran. *ἐκπορίζομεν ἀγαθόν.* C. *ἐκπορίζοιμεν ἀγαθόν.* B. *ἀνθρώποισιν ἐκπορίζομεν ἀγαθόν.*

462. *τί δ' ἂν γ' ὑμεῖς ἀγαθὸν ἐξεύροιθ';—ὅ τι;* Prava hæc editionum lectio me imprudente irrepsit. Verum perite emendaverat Bentleius:

τί δῆτ' ἂν ὑμεῖς ἀγαθὸν ἐξεύροιθ';—ὅ τι;

Longeque hoc concinnius est Orvilliani codicis scriptura, *τί δ' ἂν ποθ' ὑμεῖς*—In iv. codd. *τί δ' ἂν ὑμεῖς*—*δῆτ'* mutatum fuit in *δ'*.

468. *τοπρῶτον αὐτή.* Vulgo legitur *αὐτοῦ*, consentientibus etiam codd. In C. superscripta glossa: *τοπικόν, ἢ μᾶλ-*

ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμὲ
ὑμῖν, δι' ἐμέ τε ζῶντας ὑμᾶς· εἰ δὲ μὴ,
ποιεῖτον ἤδη τοῦθ', ὅ τι ἂν ὑμῖν δοκῇ.
Χρ. τουτὶ σὺ τολμᾷς, ὦ μιαρωτάτη, λέγειν;
Πε. καὶ σύ γε διδάσκου. πάνυ γὰρ οἶμαι ῥᾳδίως
ἅπανθ' ἁμαρτάνοντά σ' ἀποδείξειν ἐγὼ,
εἰ τοὺς δικαίους φῂς ποιήσειν πλουσίους.
Χρ. ὦ τύμπανα καὶ κύφωνες, οὐκ ἀρήξετε;
Πε. οὐ δεῖ σχετλιάζειν καὶ βοᾶν, πρὶν ἂν μάθῃς.
Βλ. καὶ τίς δύναιτ' ἂν μὴ βοᾶν, ἰοὺ, ἰοὺ,
τοιαῦτ' ἀκούων;
Πε. ὅστις ἐστὶν εὖ φρονῶν.
Χρ. τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ,
ἐάν γ' ἁλῷς;
Πε. ὅ τι σοι δοκεῖ.
Χρ. καλῶς λέγεις.
Πε. τὸ γὰρ αὐτό γ', ἐὰν ἡττᾶσθε, καὶ σφὼ δεῖ παθεῖν.
Βλ. ἱκανοὺς νομίζεις δῆτα θανάτους εἴκοσιν;
Χρ. ταύτῃ γε· νῷν δὲ δύ' ἀποχρήσουσιν μόνω.
Πε. οὐκ ἂν φθάνοιτον τοῦτο πράττοντ'· ἢ τί γ' ἂν
ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι;

λεν χρονικόν. Sive loci, sive temporis sit adverbium, ineptum est.

τοπρῶτον αὐτή. Cod. hic etiam αὐτοῦ. Glossa, ἐνταῦθα, ἢ τὸ τούτου καὶ τὸ αὐτοῦ ἐκ τοῦ παραλλήλου.

470. δι' ἐμέ τε ζῶντας ὑμᾶς—figura ἀποσιώπησις, ut Thesm. 536. Omissam sententiæ partem bene supplet glossa in meo codice; παύσασθε τῆς ἐπιχειρήσεως. In C. ἰάσατε δηλονότι. quod in versione sequi debueram: *ab incepto desistite.*

471. τοῦθ', ὅ τι ἂν ὑμῖν. Sic quatuor codd. bene. Vulgo ὅ τι γ' ἂν—

476. Hic versus in quatuor codd. Chremylo tributus. Versum 478. tribuunt Blepsidemo A. C. duo alii Chremylo. In v. 477. B. C. πρὶν ἂν μάθοις. V. 481. verba καλῶς λέγεις ejusdem personæ esse debent, cujus fuit præcedens quæstio τί δῆτα—in tribus codd. Chremylo tributa sunt.

482. ἐὰν ἡττᾶσθε. Sic codd. et vett. editt. In recentioribus metro claudicante ἄν. Illud jam reposuerat Hemsterhusius.

485. Glossa: ταχέως πείσεσθε τοῦτο, ἡττηθέντες· ἢ ταχέως ποιήσετε τοῦτο πρός με ἡττηθεῖσαι. πράττω γὰρ καὶ τὸ ποιῶ καὶ τὸ πάσχω. Vera est prior explicatio.

Χορός.

ἀλλ' ἤδη χρῆν τι λέγειν ὑμᾶς σοφὸν, ᾧ νικήσετε τηνδὶ
ἐν τοῖσι λόγοις ἀντιλέγοντες· μαλακὸν δ' ἐνδώσετε μηδέν.

Χρεμύλος.

φανερὸν μὲν ἔγωγ' οἶμαι γνῶναι τοῦτ' εἶναι πᾶσιν ὁμοίως,
ὅτι τοὺς χρηστοὺς τῶν ἀνθρώπων εὖ πράττειν ἐστὶ δίκαιον·
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους, τούτων τἀναντία δήπου.
τοῦτ' οὖν ἡμεῖς ἐπιθυμοῦντες, μόλις εὕρομεν, ὥστε γενέσθαι,
βούλημα καλὸν καὶ γενναῖον, καὶ χρήσιμον εἰς ἅπαν ἔργον.
ἢν γὰρ ὁ Πλοῦτος νυνὶ βλέψῃ, καὶ μὴ τυφλὸς ὢν περινοστῇ,
ὡς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων βαδιεῖται, κοὐκ ἀπολείψει·
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους φευξεῖται· κᾆτα ποιήσει
πάντας χρηστοὺς καὶ πλουτοῦντας δήπου, τά τε θεῖα σέβοντας.
καίτοι τούτου τοῖς ἀνθρώποις τίς ἂν ἐξεύροι ποτ' ἄμεινον;

Βλεψίδημος.

οὔ τις. ἐγώ σοι τούτου μάρτυς· μηδὲν ταύτην γ' ἀνερώτα.

Χρεμύλος.

ὡς μὲν γὰρ νῦν ἡμῖν ὁ βίος τοῖς ἀνθρώποις διάκειται,
τίς ἂν οὐχ ἡγοῖτ' εἶναι μανίαν, κακοδαιμονίαν τ' ἔτι μᾶλλον;
πολλοὶ μὲν γὰρ τῶν ἀνθρώπων ὄντες πλουτοῦσι πονηροὶ,
ἀδικῶς αὐτὰ ξυλλεξάμενοι· πολλοὶ δ' ὄντες πάνυ χρηστοὶ
πράττουσι κακῶς, καὶ πεινῶσιν, μετὰ σοῦ τε τὰ πλεῖστα σύνεισιν.
οὐκοῦν εἶναί φημ', ἡ παύσει ταῦτ', ἢν βλέψῃ ποθ' ὁ Πλοῦτος,
ὁδὸν, ἥν τιν' ἰὼν τοῖς ἀνθρώποις ἀγάθ' ἂν μείζω πορίσειεν.

Πενία.

ἀλλ', ὦ πάντων ῥᾷστ' ἀνθρώπων ἀναπεισθέντ' οὐχ ὑγιαίνειν
δύο πρεσβύτα, ξυνθιασώτα τοῦ ληρεῖν καὶ παραπαίειν,
εἰ τοῦτο γένοιθ', ὃ ποθεῖθ' ὑμεῖς, οὔ φημ' ἂν λυσιτελεῖν σφῷν.
εἰ γὰρ ὁ Πλοῦτος βλέψειε πάλιν, διανείμειέ τ' ἴσον ἑαυτὸν,
οὔτε τέχνην ἂν τῶν ἀνθρώπων, οὔτ' ἂν σοφίαν μελετῴη

505. iv. mei codd. exhibent οὐκοῦν, non οὔκουν: et v. seq. superscripta textus verbis ὁδὸν ἥντιν' ἰὼν glossa in C. μέθοδον ἥντιν' ἐλθὼν ὁ Πλοῦτος. Unde liquet non aliter ista veteribus ac nobis intellecta fuisse.

511. οὔτ' ἂν σοφίαν. Vulgo claudicante versu οὔτε σοφίαν. Particulam ex

οὐδείς· ἀμφοῖν δ' ὑμῖν τούτοιν ἀφανιστέντοιν, ἐθελήσει
τίς χαλκεύειν, ἢ ναυπηγεῖν, ἢ ῥάπτειν, ἢ τροχοποιεῖν,
ἢ σκυτοτομεῖν, ἢ πλινθουργεῖν, ἢ πλύνειν, ἢ σκυλοδεψεῖν,
ἢ γῆς ἀρότροις ῥήξας δάπεδον, καρπὸν Δηοῦς θερίσασθαι,
ἢν ἐξῇ ζῆν ἀργοῖς ὑμῖν τούτων πάντων ἀμελοῦσι;

Χρεμύλος.

λῆρον ληρεῖς. ταῦτα γὰρ ἡμῖν πάνθ', ὅσα νυνὶ κατέλεξας,
οἱ θεράποντες μοχθήσουσιν.

Πενία.

πόθεν οὖν ἕξεις θεράποντας;

Χρεμύλος.

ὠνησόμεθ' ἀργυρίου δήπου.

Πενία.

τίς δ' ἔσται πρῶτον ὁ πωλῶν,
ὅταν ἀργύριον κἀκεῖνος ἔχῃ;

Χρεμύλος.

κερδαίνειν βουλόμενός τις
ἔμπορος ἥκων ἐκ Θετταλίας, παρὰ πλείστων ἀνδραποδιστῶν.

Πενία.

ἀλλ' οὐδ' ἔσται πρῶτον ἁπάντων οὐδεὶς οὐδ' ἀνδραποδιστὴς,
κατὰ τὸν λόγον, ὃν σὺ λέγεις, δήπου. τίς γὰρ πλουτῶν ἐθελήσει,

Orvilliano cod. reposuit Hemsterhusius.

513. ἢ τροχοποιεῖν. In priore Pluto, quem intemeratum habuisse videtur Pollux, pro hoc verbo erat ζυγοποιεῖν, quod ille ex Aristophanis Pluto citat vii. 115.

514. ἢ σκυλοδεψεῖν. Vulgo legitur ἢ σκυτοδεψεῖν corrupto prorsus metro. Est hoc in A. B. In C. D. glossa genuinæ vocis locum invasit, βυρσοδεψεῖν. Vera lectio est σκυλοδεψεῖν, quam ex Bentleii Kusterique sententia jam reposuerat Hemsterhusius. In σκῦτος prima longa est; in σκύλον brevis. Conc. 432.

τὸ σκυτοτομικὸν πλῆθος. οἱ δ' ἐκ τῶν
ἀγρῶν.

ibid. 420.

ἐς τῶν σκυλοδεψῶν· ἢν δ' ἐπικλίνῃ τὴν
θύραν.

Vide not. ad Thesm. 56.

Pro sincero σκυλοδεψεῖν hic cod. etiam glossema habet βυρσοδεψεῖν: et v. 528. οὔτ' ἐν τάπησι.

521. Scholion in C. εἰπὼν ἐκ Θετταλίας, ἐπήγαγε, παρὰ πλείστων ἀνδραποδιστῶν. δεικνὺς ὅτι τὸ τῶν Θετταλῶν γένος λῃστείαις ἐχρῆτο καὶ ἀνδραποδισμοῖς· ἀφ' ὧν οἱ ἔμποροι ἀνδράποδα ὠνούμενοι εἰς τὰς ἑτέρας ἐπώλουν ἠπείρους.

κινδυνεύων περὶ τῆς ψυχῆς τῆς αὐτοῦ, τοῦτο ποιῆσαι;
ὥς' αὐτὸς ἀροῦν ἐπαναγκασθεὶς, καὶ σκάπτειν, τἄλλα τε
μοχθεῖν,
ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νῦν.

Χρεμύλος.

ἐς κεφαλήν σοι.

Πενία.

ἔτι δ' οὐχ ἕξεις οὔτ' ἐν κλίνῃ καταδαρθεῖν· οὐ γὰρ ἔσονται·
οὔτ' ἐν δάπισιν· τίς γὰρ ὑφαίνειν ἐθελήσει, χρυσίου ὄντος;
οὔτε μύροισιν μυρίσαι στακτοῖς, ὁπόταν νύμφην ἀγάγησθον·
οὔθ' ἱματίων βαπτῶν δαπάναις κοσμῆσαι ποικιλομόρφων.
καίτοι τί πλέον πλουτεῖν ἐςιν τούτων πάντων ἀποροῦσι;
παρ' ἐμοῦ δ' ἔςιν ταῦτ' εὔπορα πάνθ' ὑμῖν, ὧν δεῖσθον. ἐγὼ γὰρ
τὸν χειροτέχνην, ὥσπερ δέσποιν', ἐπαναγκάζουσα κάθημαι,
διὰ τὴν χρείαν καὶ τὴν πενίαν ζητεῖν ὁπόθεν βίον ἕξει.

Χρεμύλος.

σὺ γὰρ ἂν πορίσαι τί δύναι' ἀγαθὸν, πλὴν φώδων ἐκ βα-
λανείου,
καὶ παιδαρίων ὑποπεινώντων, καὶ γραϊδίων κολοσυρτόν;
φθειρῶν τ' ἀριθμὸν, καὶ κωνώπων, καὶ ψυλλῶν οὐδὲ λέγω σοι
ὑπὸ τοῦ πλήθους, αἳ βομβοῦσαι περὶ τὴν κεφαλὴν ἀνιῶσιν,
ἐπεγείρουσαι, καὶ φράζουσαι· Πεινήσεις, ἀλλ' ἐπανίστω.
πρὸς δέ γε τούτοις, ἀνθ' ἱματίου μὲν ἔχειν ῥάκος· ἀντὶ δὲ κλίνης,

528. οὔτ' ἐν δάπισιν. Sic bene apud Suidam in δάπιδας, et in scholiis ad Vesp. v. 676.

ὄρχεις, οἶνον, δάπιδας, τυρὸν, μέλι—

Occurrit eadem vocis forma Concion. 840.

κλῖναί τε σισυρῶν καὶ δαπίδων νενασμέναι.

Vulgo οὔτε τάπησιν. In iv. codd. οὔτ' ἐν τάπησι.

531. τούτων πάντων ἀποροῦσι. Sic optime Regius B. In membr. πάντων τούτων ἀποροῦντα: in meo, ut vulgo, ἀποροῦντας. Depravatissima in C. lectio, quæ glossæ ortum debet; πλουτεῖν ἐστι πάντων τούτων ἀπορῇ τις. Dativum e græci sermonis usu præfert hic etiam Valckenarius, quem vide Diatr. Eurip. pag. 150. Illius judicio non minus tribuissem auctoritatis quam veteri chartæ. Phocylidis versus apud Stobæum, quos e Floril. Grotii p. 355. raptim descriptos in Anal. Vet. Poët. Gr. intuli T. i. p. 78. sic exhibendi erant:

καὶ τόδε Φωκυλίδου· Τί πλέον, γένος εὐγενὲς εἶναι,
οἷς οὔτ' ἐν μύθοις ἕπεται χάρις, οὔτ' ἐνὶ βουλῇ;

στιβάδα σχοίνων, κόρεων μεστὴν, ἣ τοὺς εὕδοντας ἐγείρει·
καὶ φορμὸν ἔχειν ἀντὶ τάπητος σαπρόν· ἀντὶ δὲ προσκεφαλαίου,
λίθον εὐμεγέθη πρὸς τῇ κεφαλῇ· σιτεῖσθαι δ', ἀντὶ μὲν ἄρτων,
μαλάχης πτόρθους, ἀντὶ δὲ μάζης, φυλλεῖ' ἰσχνῶν ῥαφανίδων·
ἀντὶ δὲ θράνου, στάμνου κεφαλὴν κατεαγότος· ἀντὶ δὲ μάκτρας,
πιθάκνης πλευρὰν, ἐῤῥωγυῖαν καὶ ταύτην. ἆρά γε πολλῶν
ἀγαθῶν πᾶσιν τοῖς ἀνθρώποις ἀποφαίνω σ' αἴτιον οὖσαν;

Πενία.

σὺ μὲν οὐ τὸν ἐμὸν βίον εἴρηκας· τὸν τῶν πτωχῶν δ' ὑπεκρούσω.

Χρεμύλος.

οὐκοῦν δήπου τῆς πτωχείας πενίαν φαμὲν εἶναι ἀδελφήν.

Πενία.

ὑμεῖς γ', οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι ὅμοιον.
ἀλλ' οὐχ οὑμὸς τοῦτο πέπονθεν βίος, οὐ μὰ Δί'· οὐδέ γε μέλλει.
πτωχοῦ μὲν γὰρ βίος, ὃν σὺ λέγεις, ζῆν ἐστιν μηδὲν ἔχοντα·
τοῦ δὲ πένητος, ζῆν φειδόμενον, καὶ τοῖς ἔργοις προσέχοντα·
περιγίγνεσθαι δ' αὐτῷ μηδὲν, μὴ μέντοι μηδ' ἐπιλείπειν.

Χρεμύλος.

ὡς μακαρίτην, ὦ Δάματερ, τὸν βίον αὐτοῦ κατέλεξας,
εἰ φεισάμενος καὶ μοχθήσας καταλείψει μηδὲ ταφῆναι.

Πενία.

σκώπτειν πειρᾷ καὶ κωμῳδεῖν, τοῦ σπουδάζειν ἀμελήσας,

545. *ἀντὶ δὲ θράνου.* Vulgo *θράνους.* Illud repositum e Polluce x. 48. *καὶ εἰ θράνοι δὲ, δίφροι ἂν εἶναι δοκοῖεν, εἰπόντος ἐν Πλούτῳ Ἀριστοφάνους· ἀντὶ δὲ θράνου, στάμνου κεφαλὴν*—Glossa in meo *θρό-νου.* In C. *ὑποποδίου,* quæ vera est. Vide Ran. 121.

547. *αἴτιον οὖσαν.* Pessime vulgo corruptis numeris legitur *αἰτίαν οὖσαν.* Hoc monuit Bentleius: ei Hemsterhusius ad tuendam vulgatam lectionem opponit versum e Nub. 330. cujus depravata etiam ferebatur lectio, certissime a nobis emendata.

548. *τὸν τῶν πτωχῶν δ' ὑπεκρούσω.* Articulum utrumque *τὸν τῶν* exhibent tres codd. editionesque primariæ. Alterum in nescio qua recentiore typographi culpa omissum, ex illis revocare noluit Kusteri levitas, futilemque conjecturam prætulit *τὸν δὲ πτωχῶν.* Cautiores fuere Hemsterhusius et Berglerus. Geminam admisit culpam librarius qui codicem C. descripsit, in quo alter etiam articulus omissus: *εἴρηκας, τῶν πτωχῶν δ' ὑπεκρούσω.* Glossa verbo superscripta, *αἰνιγματωδῶς ἀπήχησας:* in meo *ὠνείδισας.* Quod autem Pollux ix. 139. huc respiciens *ἐπεκρούσω* legisse videatur, id forte librariorum errori imputandum, quibus familiare præpositiones *ἐπὶ* et *ὑπὸ* in

οὐ γιγνώσκων, ὅτι τοῦ Πλούτȣ παρέχω βελτίονας ἄνδρας,
καὶ τὴν γνώμην καὶ τὴν ἰδέαν. παρὰ τῷ μὲν γὰρ ποδαγρῶντες,
καὶ γαστρώδεις, καὶ παχύκνημοι, καὶ πίονές εἰσιν ἀσελγῶς·
παρ' ἐμοὶ δ' ἰσχνοὶ, καὶ σφηκώδεις, καὶ τοῖς ἐχθροῖς ἀνιαροί.

Χρεμύλος.

ὑπὸ τοῦ λιμοῦ γὰρ ἴσως αὐτοῖς τὸ σφηκῶδες σὺ πορίζεις.

Πενία.

περὶ σωφροσύνης ἤδη τοίνυν περανῶ σφῷν, κἀναδιδάξω,
ὅτι κοσμιότης οἰκεῖ μετ' ἐμȣ͂· τȣ͂ Πλȣ́του δ' ἔστιν ὑβρίζειν.

Χρεμύλος.

πάνυ γοῦν κλέπτειν κόσμιόν ἐστιν, καὶ τοὺς τοίχȣς διορύττειν.

Βλεψίδημος.

νὴ τὸν Δία γ', εἴ γε λαθεῖν αὐτὸν δεῖ, πῶς ȣ̓ κόσμιόν ἐστι;

Πενία.

σκέψαι τοίνυν ἐν ταῖς πόλεσιν τȣ̀ς ῥήτορας, ὡς ὁπόταν μὲν
ὦσι πένητες, περὶ τὸν δῆμον καὶ τὴν πόλιν εἰσὶ δίκαιοι·
πλȣτήσαντες δ' ἀπὸ τῶν κοινῶν, παραχρῆμ' ἄδικοι γεγένηνται,
ἐπιβουλεύουσί τε τῷ πλήθει, καὶ τῷ δήμῳ πολεμοῦσιν.

verbis compositis commutare, quod nobis observatum fuit ad Ran. 366. et 874.

558. *οὐ γιγνώσκων.* Sic membr. Impressi *γινώσκων.*

559. *ἰδέαν.* Gl. *μορφήν.* Thomas M. *σημείωσαι δὲ, ὡς οὐδεὶς τῶν δοκιμωτάτων ἰδέαν ἐπὶ ἀνθρώπου λέγει, ἀλλὰ εἶδος καὶ ὄψιν.* Ex hoc Comici exemplo falsi arguitur.

560. *ἀσελγῶς.* Glossa in C. *ἀντὶ τοῦ εἰπεῖν λίαν πίονες.* In meo *λιπαροὶ ἀτόπως.* *Immodice, supra modum.* Hesych. *ἀσελγὴς, ἀκόλαστος, ἀκάθαρτος. ἔστι δὲ ἀσελγὴς, ὁ μέγας, ἢ σφοδρὸς, ὡς Πλάτων, ἀσελγόχειρον, τὸν μεγαλόχειρον.* Confer Suidam in *ἀσέλγεια.*

566. Numeros hujus versus restitutos vides e membr. in quibus ne una inversa litera sic scriptus est ut eum exhibeo, utque jam emendari eum posse monuerat Hemsterhusius. Nec obscura, nec frigida est sententia. Jocus est, quales sunt apud Comicum infiniti, ex ambigua significatione nominis *κόσμιος* petitus, quod *modestum hominem, rem decoram,* significat: tum etiam *hominem comem, aliis non gravem, rem bene ordinatam.* Sane qui clam et latenter aliquid facit, ideo *κόσμιος* dici potest, quod aliorum tranquillitati officere non videatur, speciemque præbeat hominis *εὐτάκτου, compositi.* Per *αὐτὸν* significat *τὸν κλέπτην,* quod nomen a præcedente verbo *κλέπτειν* adsumendum. Quæ figura passim obvia. Sic supra v. 503. *ἀδικῶς αὐτὰ ξυλλεξάμενοι.* Ubi *αὐτὰ* nomen substantivum significat adfine præcedenti verbo *πλουτοῦσι,* et ex eo adsumendum, nempe *τὰ χρήματα.*

567. *τοίνυν ἐν.* Sic iv. codd. omissa, quæ vulgo inseritur particula.

τοίνυν ἐν. Sic etiam est in hoc cod.

Χρεμύλος.

ἀλλ' ἐ ψεύδει τέτων γ' ἐδὲν, καίπερ σφόδρα βάσκανος ἔσα.
ἀτὰρ ἐχ ἧττόν γ' ἐδὲν κλαύσει, μηδὲν ταύτῃ γε κομήσῃς,
ὅτι γε ζητεῖς τοῦτ' ἀναπείσειν ἡμᾶς, ὡς ἔστιν ἀμείνων
πενία πλούτου.

Πενία.

καὶ σύ γ' ἐλέγξαι μ' οὔπω δύνασαι περὶ τούτε
ἀλλὰ φλυαρεῖς, καὶ πτερυγίζεις.

Χρεμύλος.

καὶ πῶς φεύγουσί σ' ἅπαντες;

Πενία.

ὅτι βελτίες αὐτοὺς ποιῶ. σκέψασθαι δ' ἔστι μάλιστα
ἀπὸ τῶν παίδων. τὲς γὰρ πατέρας φεύγεσι, φρονεντας ἄριςα
αὐτοῖς. ὅτω διαγιγνώσκειν χαλεπὸν πρᾶγμ' ἐςὶ δίκαιον.

Χρεμύλος.

τὸν Δία φήσεις ἄρ' οὐκ ὀρθῶς διαγιγνώσκειν τὸ κράτιςον·
κἀκεῖνος γὰρ τὸν πλοῦτον ἔχει.

Βλεψίδημος.

ταύτην δ' ἡμῖν ἀποπέμπει.

Πενία.

ἀλλ', ὦ Κρονικαῖς λήμαις ὄντως λημῶντες τὰς φρένας ἄμφω,
ὁ Ζεὺς δήπου πένεται, καὶ τοῦτ' ἤδη φανερῶς σε διδάξω.

573. ὅτι γε ζητεῖς. Sic A. B. In meo ὅτι ζητεῖς: sic etiam in C. nisi quod addita inter lineas ab eadem manu litera ἡ, ut sit ὁτιὴ, quod non minus placet. Sæpius enim quam vellem recurrit in his versibus particula γε.

580. ταύτην δ' ἡμῖν. Hæc verba absurde vulgo Chremylo continuantur, qui si Paupertati pergeret loqui, non ταύτην, sed σὲ diceret. Sunt Blepsidemi, quod acute vidit Bentleius.

581. Κρονικαῖς λήμαις ὄντως λημῶντες. Sic recte iv. codd. Vulgo κρονικαῖς γνώμαις. Mendose in meo ex frequenti commutatione literarum η et υ, scriptum λύμαις, cum glossa τζίμβλαις. Vide *Car. Du Fresne* glossarium in τζίμπλα.

582. ὁ Ζεὺς δήπου πένεται, καὶ τοῦτ' ἤδη φανερῶς σε διδάξω. Sic optime scriptum in membr. ut Hemsterhusius edidit. Vulgo violata commatum anapæsticorum lege, καὶ τοῦτο γε δὴ φανερῶς —Istud γε ab imperito correctore est; in nullo codice comparet. B. D. exhibent τοῦτο δὴ, depravatum ex τοῦτ' ἤδη. In C. perversissima lectio: ὁ Ζεὺς δὲ πσῦ πένεται, καὶ τοῦτο δήπου φανερῶς— Genuinam lectionem jamdudum restituerat Ant. Fracinus.

εἰ γὰρ ἐπλούτει, πῶς ἂν ποιῶν τὸν Ὀλυμπικὸν αὐτὸς ἀγῶνα,
ἵνα τοὺς Ἕλληνας ἅπαντας ἀεὶ δι' ἔτους πέμπτου ξυναγείρει,
ἀνεκήρυττεν τῶν ἀθλητῶν τοὺς νικῶντας, στεφανώσας
κοτίνου στεφάνῳ; καίτοι χρυσῷ μᾶλλον ἐχρῆν, εἴπερ ἐπλούτει.

Χρεμύλος.

οὐκοῦν τούτῳ δήπου δηλοῖ τιμῶν τὸν πλοῦτον ἐκεῖνος.
φειδόμενος γὰρ καὶ βουλόμενος τούτου μηδὲν δαπανᾶσθαι,
λήροις ἀναδῶν τοὺς νικῶντας, τὸν πλοῦτον ἐᾷ παρ' ἑαυτῷ.

Πενία.

πολὺ τῆς πενίας πρᾶγμ' αἴσχιον ζητεῖς αὐτῷ περιάψαι,
εἰ πλούσιος ὢν, ἀνελεύθερός ἐσθ' οὑτωσὶ καὶ φιλοκερδής.

Χρεμύλος.

ἀλλὰ σέ γ' ὁ Ζεὺς ἐξολέσειεν, κοτίνου στεφάνῳ στεφανώσας.

Πενία.

τὸ γὰρ ἀντιλέγειν τολμᾷν ὑμᾶς, ὡς οὐ πάντ' ἔστ' ἀγάθ' ὑμῖν

583. Vulgo sic legitur hic versus:

εἰ γὰρ ἐπλούτει, πῶς ποιῶν αὐτὸς τὸν Ὀλυμπιακὸν ἀγῶνα.

qua in scriptura duæ sunt gravissimæ mendæ. Primo versus immodulatus est rursusque peccat in tetrametrorum legem, quæ cæsuram non admittit post quartum pedem. Deinde solœca phrasis est omissione particulæ *ἂν*. Si priore in membro verbum sit temporis imperfecti vel aoristi cum *εἰ*, verbum in altero membro ejusdem temporis particulam *ἂν* requirit, quod observavi ad Lys. 149. Sic Vesp. 824.

εἰ θᾶττον ἐκαθίζου σὺ, θᾶττον ἂν δίκην ἐκάλουν.

Bentleii emendationem recepit Hemsterhusius:

εἰ γὰρ ἐπλούτει, φῶς ἂν ποιῶν αὐτὸς τὸν Ὀλύμπι' ἀγῶνα.

Longe tamen nec unico nomine præstabat Kusteri conjectura:

εἰ γὰρ ἐπλούτει, πῶς ἂν ποιῶν τὸν Ὀλυμπικὸν αὐτὸς ἀγῶνα.

Et hæc ipsa est membran. lectio, nisi quod perperam ibi scriptum *ὀλυμπιακόν*. Ceteri omnes habent particulam *ἂν*, sed inverso vocum ordine. C. D. *πῶς ἂν ποιῶν αὐτὸς τὸν Ὀλυμπιακὸν ἀγῶνα*: nec aliter in B. nisi quod pronomen *αὐτὸς* plane omittit. Recte Thomas M. *Ὀλυμπικὸς Ἀττικοί, οὐκ Ὀλυμπιακός.* Ad quem locum nollem legi Cl. Sallierii notam.

586. *κοτίνου στεφάνῳ.* In iv. meis codd. ut in Orvilliano scriptum *κοτίνῳ στεφάνῳ*; quorum consensus suspicionem mihi movet vulgatum Aldi conjecturæ deberi. Sane codd. lectio infinitis poëtarum exemplis defendi potest, in quibus nomina substantiva adjectivorum vicem sustinent. Rem notissimam adtigi ad Apollon. iv. 1248.

In hoc etiam cod. hic et infra v. 592. scriptum: *κοτίνῳ στεφάνῳ*. Glossa, *ἐλαΐνῳ*.

589. *λήροις.* Glossa in meo *παιγνίοις*. In C. mendose *λείροις*, cum glossa *ἄνθεσιν*.

592. Hic in membr. scriptum est *κοτίνου στεφάνῳ*. Tres alii, ut supra, *κοτίνῳ στεφάνῳ*.

διὰ τὴν Πενίαν.

Χρεμύλος.

παρὰ τῆς Ἑκάτης ἔξεστιν τοῦτο πυθέσθαι, εἴτε τὸ πλουτεῖν, εἴτε τὸ πεινῆν βέλτιον. φησὶ γὰρ αὐτὴ τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας δεῖπνον κατὰ μῆν' ἀποπέμπειν· τοὺς δὲ πένητας τῶν ἀνθρώπων, ἁρπάζειν, πρὶν καταθεῖναι.
ἀλλὰ φθείρου, καὶ μὴ γρύξῃς
ἔτι μηδ' ὁτιοῦν.
οὐ γὰρ πείσεις, οὐδ' ἢν πείσῃς.

Πε. ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει.

Χρ. Παύσωνα κάλει τὸν ξύσσιτον.

Πε. τί πάθω, τλήμων;

Χρ. ἔρρ' ἐς κόρακας θᾶττον ἀφ' ἡμῶν.

Πε. εἶμι δὲ ποῖ γῆς;

Χρ. ἐς τὸν κύφων'· ἀλλ' οὐ μέλλειν
χρή σ', ἀλλ' ἀνύτειν.

Πε. ἦ μὴν ὑμεῖς γ' ἔτι μ' ἐνταυθοῖ
μεταπέμψεσθον.

Χρ. τότε νοστήσεις· νῦν δὲ φθείρου.
κρεῖττον γάρ μοι πλουτεῖν ἐστὶν,
σὲ δ' ἐᾶν κλάειν μακρὰ τὴν κεφαλήν.

596. κατὰ μῆν' ἀποπέμπειν. Sic bene membr. et B. uti et Suidas in Ἑκάτην. Duo alii perperam προσάγειν, ut Aldus. Quod Bern. Junta edidit προπέμπειν metro quidem satisfacit; sed a re de qua hic agitur aliena est illius verbi significatio.

597. πρὶν καταθεῖναι. Subauditur τινά. *Priusquam aliquis eam adponat.*

598. φθείρου. *Perieris.* Platus Men. ii. 2. 21.

Seu tu Culindrus, seu Coliendrus, perieris.

μὴ γρύξῃς. In A. B. ut vulgo, γρύξῃς. In C. D. γρύζεις. Neutrubi bene. Vide not. ad Lys. 1036.

601. ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει. Occurrit iterum hic versiculus Equit. 813. ubi ait Scholiastes priorem partem sumtam esse ex Euripidis Telepho, posteriorem ex Medea, ubi exstat v. 169.

κλύεθ' οἷα λέγει κἀπιβοᾶται
Θέμιν εὐκταίαν.

607. χρή σ'—Sic A. C. Vulgo χρῆν σ'—ἀνύτειν. Sic bene duæ primariæ editt. Fracinus edidit χρῆ σ' ἀλλ' ἀνύειν. Solus e meis codd. Atticam formam agnoscit C. in quo tamen mendose ἀνύττειν. In B. ἀνύσειν. Glossa in codd. σπεύδειν. Sophocles Antig. 231.

τοιαῦθ' ἑλίσσων ἤνυτον σχολῇ βραδύς.

Eadem forma ibid. 805. Trach. 319. Apud Euripidem Hippol. 403. Bac. 1089. 1094. et alibi passim.

Βλ. νὴ Δί' ἔγωγ' οὖν ἐθέλω πλουτῶν·
εὐωχεῖσθαι μετὰ τῶν παίδων
τῆς τε γυναικὸς, καὶ λουσάμενος,
λιπαρὸς χωρῶν ἐκ βαλανείου,
τῶν χειροτέχνων
καὶ τῆς Πενίας καταπαρδεῖν.
Χρ. αὕτη μὲν ἡμῖν ἡ 'πίτριπτος οἴχεται.
ἐγὼ δὲ καὶ σύ γ' ὡς τάχιστα τὸν θεὸν
ἐγκατακλινοῦντ' ἄγωμεν εἰς Ἀσκληπιοῦ.
Βλ. καὶ μὴ διατρίβωμέν γε, μὴ πάλιν τις αὖ
ἐλθὼν διακωλύσῃ τι τῶν προὔργου ποιεῖν.
Χρ. ὦ παῖ Καρίων, τὰ στρώματ' ἐκφέρειν σ' ἐχρῆν,
αὐτόν τ' ἄγειν τὸν Πλοῦτον, ὡς νομίζεται,
καὶ τἄλλ', ὅσ' ἐστὶν ἔνδον ηὐτρεπισμένα.
Χο. (λείπει ἡ τοῦ Χοροῦ ᾠδή.)

ΚΑΡΙΩΝ, ΧΟΡΟΣ, ΓΥΝΗ, ΧΡΕΜΥΛΟΥ, ΠΛΟΥΤΟΣ, ΧΡΕΜΥΛΟΣ.

Κα. Ὦ πλεῖστα Θησείοισι μεμυστιλημένοι,
γέροντες ἄνδρες, ἐπ' ὀλιγίστοις ἀλφίτοις,
ὡς εὐτυχεῖθ', ὡς μακαρίως πεπράγατε,
ἄλλοι θ', ὅσοις μέτεστι τοῦ χρηστοῦ τρόπου.
Χο. τί δ' ἔστιν, ὦ βέλτιστε τῶν σαυτοῦ φίλων;
φαίνει γὰρ ἥκειν ἄγγελος χρηστοῦ τινος.
Κα. ὁ δεσπότης πέπραγεν εὐτυχέστατα,

624. ἐκφέρειν σ' ἐχρῆν. Sic B. D. In duobus aliis omissum, ut vulgo, pronomen. Vide supra ad 432. iterumque ad 966.

627. Θησείοισι. Sic B. In membr. et in meo recte scriptum μεμυστιλημένοι: alii ut vulgo μεμυστυλημένοι: antiquo errore, cujus origo in prava curiositate etymologias sectantium, ut colligi potest ex iis quæ apud Eustathium leguntur p. 1368. l. 48. Hesychius: μυστιλᾶσθαι, τὸ ἐκροφῆσαι τὸν ζωμὸν τοῖς ψωμίοις. μυστίλη, ὁ κοῖλος ψωμός. ψιχίον. δρὰξ χειρός. Confer Suidam in μυστιλᾶται et μυστίλην. In Eq. v. 1168. vulgo etiam bene legitur:

ἐγὼ δὲ μυστίλας μεμυστιλημένας.

At perperam in ejusd. fabulæ v. 827. vulgatam scripturam retinui μυστιλλᾶται. Nulla ratio est cur λ geminetur: præcedens enim vocalis per se et natura longa est.

μᾶλλον δ' ὁ Πλοῦτος αὐτός· ἀντὶ γὰρ τυφλοῦ,
ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας,
Ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχών.

Χο. λέγεις μοι χαράν· λέγεις μοι βοάν.

Κα. πάρεστι χαίρειν, ἤν τε βούλησθ', ἤν τε μή.

Χο. ἀναβοάσομαι τὸν εὔπαιδα, καὶ
μέγα βροτοῖσι φέγγος, Ἀσκληπιόν.

Γυ. τίς ἡ βοή ποτ' ἐστίν; ἆρά γ' ἀγγελεῖ
χρηστόν τι; τοῦτο γὰρ ποθοῦσ' ἐγὼ πάλαι,
ἔνδον κάθημαι περιμένουσα τουτονί.

Κα. ταχέως, ταχέως φέρ' οἶνον, ὦ δέσποιν', ἵνα
καὐτὴ πίῃς· φιλεῖς δὲ δρῶσ' αὐτὸ σφόδρα·
ὡς ἀγαθὰ συλλήβδην ἅπαντά σοι φέρω.

Γυ. καὶ ποῦ 'στιν;

Κα. ἐν τοῖς λεγομένοις εἴσει τάχα.

Γυ. πέραινε τοίνυν, ὅ τι λέγεις, ἀνύσας ποτέ.

Κα. ἄκουε τοίνυν, ὡς ἐγὼ τὰ πράγματα
ἐκ τῶν ποδῶν ἐς τὴν κεφαλήν σοι πάντ' ἐρῶ.

Γυ. μὴ δῆτ' ἐμοί γ' ἐς τὴν κεφαλήν.

Κα. μὴ τἀγαθά,
ἃ νῦν γεγένηται;

Γυ μὴ μὲν οὖν τὰ πράγματα.

Κα. ὡς γὰρ τάχιστ' ἀφικόμεθα πρὸς τὸν θεὸν,
ἄγοντες ἄνδρα, τότε μὲν ἀθλιώτατον,
νῦν δ', εἴ τιν' ἄλλον, μακάριον κεὐδαίμονα,

635. E Sophoclis Phineo sumtum esse hunc versum observat Scholiastes. Posterius in eo verbum additum ad prioris declarationem, quod contraria duo significat, *oculos elido*, et *illustro, clariorem reddo*. Similiter Euripides in Œdipo quum eodem verbo in priore significatione uteretur, vitando ambiguo aliud ei subjecit:

ἡμεῖς δὲ Πολύβου παῖδ' ἐρείσαντες πέδῳ
ἐξομματοῦμεν καὶ διόλλυμεν κόρας.

Altero sensu, sed metaphorice utitur hoc verbo Æschyl. Prom. 498.

καὶ φλογωπὰ σήματα
ἐξωμμάτωσα, πρόσθεν ὄντ' ἐπάργεμα.

et Suppl. 476.

ξυνῆκας. ὠμμάτωσα γὰρ σαφέστερον.

E NOTIS BERGLERI.

640. φέγγος. Sic iv. codd. cum duabus primariis editt. Recentiores φάος, quod primus in textum intulit Fracinus.

πρῶτον μὲν αὐτὸν ἐπὶ θάλατταν ἤγομεν·
ἔπειτ' ἐλοῦμεν.

Γυ. νὴ Δί' εὐδαίμων ἄρ' ἦν,
ἀνὴρ γέρων ψυχρᾷ θαλάττῃ λούμενος.

Κα. ἔπειτα πρὸς τὸ τέμενος ἤμεν τοῦ θεοῦ.
ἐπεὶ δὲ βωμῷ πόπανα καὶ προθύματα
καθωσιώθη, πέλανος Ἡφαίστου φλογὶ,
κατεκλίνομεν τὸν Πλοῦτον, ὥσπερ εἰκὸς ἦν·
ἡμῶν δ' ἕκαστος στιβάδα παρεκαττύετο.

Γυ. ἦσαν δέ τινες κἄλλοι δεόμενοι τοῦ θεοῦ;

Κα. εἷς μέν γε Νεοκλείδης, ὅς ἐστι μὲν τυφλὸς,
κλέπτων δὲ, τοὺς βλέποντας ὑπερηκόντισεν·
ἕτεροί τε πολλοὶ, παντοδαπὰ νοσήματα
ἔχοντες. ὡς δὲ τοὺς λύχνους ἀποσβέσας
ἡμῖν παρήγγειλεν καθεύδειν τοῦ θεοῦ
ὁ πρόσπολος, εἰπὼν, ἤν τις αἴσθηται ψόφου,
σιγᾶν, ἅπαντες κοσμίως κατεκείμεθα.
κἀγὼ καθεύδειν οὐκ ἐδυνάμην· ἀλλ' ἐμὲ
ἀθάρης χύτρα τις ἐξέπληττε, κειμένη

657. ἐλοῦμεν. Schol. Ms. Ἀττικὸν τὸ ἐλοῦμεν, ἀντὶ τοῦ ἐλούομεν, καὶ κατὰ συγκοπὴν ἐλῶμεν. Mœris: λοῦται, Ἀττικῶς. λούεται, Ἑλληνικῶς. Ad quam notam vide Piersonum.

659. ἤμεν. Glossa in C. ἐπορευόμεθα. Perperam in meo ὑπήρχομεν. Quod subscribi solet ι, in codd. maxime in vetustioribus, perpetuo omittitur. Versum hunc citat Auctor Etym. M. p. 420. l. 3.

661. πέλανος per appositionem et ἀσυνδέτως additum. Vox est sacrorum propria, quam declarant præcedentia nomina πόπανα et προθύματα. Vide Toupium ad Suidam i. 36. Non observarunt Scholiastæ quanam ex Tragœdia hi versus desumti essent. Satius tamen hoc fuisset quam ad v. 639. monere ἀναβοάσομαι vocem esse tragicam.

663. παρεκαττύετο. Gl. συνετίθει.

670. ὁ πρόσπολος. Sic iv. codd. quibus consentientibus eo magis obsequi debui, quod sic suaviores fiunt numeri. Vulgo πρόπολος. Perpetua in his formis librorum varietas, quæ jam observari potuit ad Ran. 1333.—ἤν τις αἴσθηται. Sic tres codd. in B. ἤ τις. Solœce vulgo εἴ τις αἴσθηται. Poterat scribere εἴ τις αἴσθοιτο ψόφου. Sed cum verbo subjunctivo omnino esse debet ἤν.

673. ἀθάρης. Membr. et C. hic et in sequentibus ubi hæc vox occurrit, habent ἀθάρας, male. Suidas: ἀθάρα, ἄλευρον ἡψημένον. κλίνεται δὲ παρὰ μὲν Ἀττικοῖς διὰ τοῦ η, ἀθάρης· οἱ δὲ κοινοὶ διὰ τοῦ α, ἀθάρας. Id C. et in meo adscriptum hoc margini scholion: ἀθάρα λέγεται ἡ ἰδιωτικῶς λεγομένη κουρκούτη. ἤγαγε δὲ αὐτὴν γραῦς τις τῷ Ἀσκληπιῷ· εἰκότως. αἱ

ὀλίγον ἄπωθεν τῆς κεφαλῆς του γρᾳδίου,
ἐφ' ἣν ἐπεθύμουν δαιμονίως ἐφερπύσαι.
ἔπειτ' ἀναβλέψας ὁρῶ τὸν ἱερέα
τοὺς φθοῖς ἀφαρπάζοντα καὶ τὰς ἰσχάδας
ἀπὸ τῆς τραπέζης τῆς ἱερᾶς. μετὰ τοῦτο δὲ
περιῆλθε τοὺς βωμοὺς ἅπαντας ἐν κύκλῳ,
εἴ που πόπανον εἴη τι καταλελειμμένον·
ἔπειτα ταῦθ' ἥγιζεν εἰς σάκταν τινά.
κᾀγὼ νομίσας πολλὴν ὁσίαν τοῦ πράγματος,
ἐπὶ τὴν χύτραν τὴν τῆς ἀθάρης ἀνίσταμαι.
Γυ. ταλάντατ' ἀνδρῶν, οὐκ ἐδεδοίκεις τὸν θεόν;
Κα. νὴ τοὺς θεοὺς ἔγωγε, μὴ φθάσειέ με
ἐπὶ τὴν χύτραν ἐλθὼν, ἔχων τὰ στέμματα.
ὁ γὰρ ἱερεὺς αὐτοῦ με προὐδιδάξατο.
τὸ γρᾴδιον δ', ὡς ᾔσθετο δή μου τὸν ψόφον,
τῇ χεῖρ' ὑφῄρει· κᾆτα συρίξας ἐγὼ

γὰρ γρᾶιαι τοὺς ὀδόντας ἀποβαλοῦσαι, οὐκ ἄλλο τι ἐσθίουσιν ἢ ἀθάραν. τοιοῦτον ἐχρῆν καὶ δῶρον αὐτὰς προσφέρειν θεῷ.

674. τῆς κεφαλῆς του γρᾳδίου. Perperam vulgo τοῦ. Encliticum est pro τινός. Præterea male vulgo excusum γραϊδίου. Trisyllaba vox est γρᾴδιον. Vide not. ad Thesm. 1194. et confer Piersonum ad Mœrin in v. οἰστὸς, p. 276.

677. Mœris: φθοῖς, 'Αττικῶς, μονοσυλλάβως. ἔστι δὲ πέμμα πλατὺ ἔχον ὀμφαλόν. πόπανον, Ἕλληνες. Ad quam notam vide Piersonum.

681. ἥγιζεν. Glossa in C. ἐτίθει, ὡς ἅγια ἐνέβαλεν. Simplex ἁγίζειν, ut et compositum καθαγίζειν, verba sunt ad sacra pertinentia, significantque *aliquid diis offerre, consecrare*. Menander apud Bentleium p. 40.

ἐγὼ μὲν οὖν ἂν γε θεὸς οὐκ εἴασα τὴν
ὀσφὺν ἂν ἐπὶ τὸν βωμὸν ἐπιθεῖναί ποτε,
εἰ μὴ καθήγιζέν τις ἅμα τὴν ἐγχέλυν.

Vide Lys. 238. Av. 566.

682. πολλὴν ὁσίαν τοῦ πράγματος. Glossa: κατὰ πολὺ ὅσιον δηλαδὴ τὸ λαμβάνειν τι τῶν ἱερῶν.

688. ὡς ᾔσθετο δή μου τὸν ψόφον. Particulam δὴ quam habent editt. priores, omisit in Kusteriana typotheta, proindeque deest etiam in novissima Batava, cum versus labe. Eandem mendam observo in tribus e meis codd. particulam enim illam solæ exhibent membr.

689. τῇ χεῖρ' ὑφῄρει, scilicet τὴν χύτραν. Vulgo τὴν χεῖρ' ὑφῄρει, quod manifesto mendosum est, nec ullam interpretationem admittit. Sic etiam tres codd. Glossa in meo: κατεῖχε λάθρα. At in C. τὴν χεῖρ' ἀφῄρει, cum glossa λάθρα ἐκείνη, quæ etiam ad ὑφῄρει pertinet. Stabat olla prope aniculæ caput: simulac servi eam attingentis strepitum audit, manu clam exserta ollam propius ad se reducit. Quæ sequuntur ὀδὰξ ἐλαβόμην referuntur ad propius substantivum, e quo repetendum αὐτῆς τῆς χειρός. Idem etiam Reiskio placuisse video.

ὀδὰξ ἐλαβόμην, ὡς παρείας ὢν ὄφις.
ἡ δ' εὐθέως τὴν χεῖρα πάλιν ἀνέσπασε,
κατέκειτο δ', αὑτὴν ἐντυλίξασ' ἡσυχῇ,
ὑπὸ τοῦ δέους βδέουσα δριμύτερον γαλῆς.
κἀγὼ τότ' ἤδη τῆς ἀθάρης πολλὴν ἔφλων·
ἔπειτ', ἐπειδὴ μεστὸς ἦν, ἀνεπαυόμην.
Γυ. ὁ δὲ θεὸς ὑμῖν οὐ προσήειν;
Κα. οὐδέπω.
μετὰ τοῦτο δ' ἤδη καὶ γελοῖον δῆτά τι
ἐποίησα. προσιόντος γὰρ αὐτοῦ, μέγα πάνυ
ἀπέπαρδον· ἡ γαστὴρ γὰρ ἐπεφύσητό μου.
Γυ. ἤπου σε διὰ τοῦτ' εὐθὺς ἐβδελύττετο.
Κα. οὐκ· ἀλλ' Ἰασὼ μέν τις ἀκολουθοῦσ' ἅμα,
ὑπηρυθρίασε, χ' ἡ Πανάκει' ἀπεστράφη,
τὴν ῥῖν' ἐπιλαβοῦσ'· οὐ λιβανωτὸν γὰρ βδέω.
Γυ. αὐτὸς δ' ἐκεῖνος;
Κα. οὐ μὰ Δί' οὐδ' ἐφρόντισε.
Γυ. λέγεις ἄγροικον ἄρα σύ γ' εἶναι τὸν θεόν.
Κα. μὰ Δί' οὐκ ἔγωγ', ἀλλὰ σκατοφάγον.
Γυ. αἶ τάλαν.
Κα. μετὰ ταῦτ' ἐγὼ μὲν εὐθὺς ἐνεκαλυψάμην,
δείσας· ἐκεῖνος δ' ἐν κύκλῳ τὰ νοσήματα

696. προσήειν. Plusquam perfecti singularis tertia apud Atticos exit in ει contractum ab εε, et ν in fine adsciscit, sequente vocali aut diphthongo: sic πεποίθειν, Nub. 1347. ᾔδειν, Vesp. 635. et Pac. 1182. Prima autem in η ex εα contractum desinit. ᾔδη, ἐπεχήνη, aliaque. Vide Etymol. M. auctorem in ἐπεποιήκειν p. 386. l. 14. et Dawesium p. 231. Male in membr. προσῄει.

707. μετὰ ταῦτ' ἐγὼ μὲν εὐθὺς ἐνεκαλυψάμην. Vulgo legitur profligato metro:

μετὰ ταῦτά γ' εὐθὺς ἐγὼ μὲν συνεκαλυψάμην.

In eo tantum differt B. quod ταῦτα δ' habet. Membr. μετὰ ταῦτ' εὐθὺς ἐγὼ μὲν συνεκαλυψάμην. Meus: μετὰ ταῦτ' ἐγὼ μὲν εὐθὺς συνεκαλυψάμην. Quod nec suave est nec rotundum, quum in senariorum legem peccet, dactylo quartam sedem tenente: sed inde proclive erat veram lectionem restituere, quam demum confirmat codex C. In eo eadem est scriptura, quæ in membranis: sed verbi συνεκαλυψάμην primis syllabis superscriptum ab eadem manu εν, quod nostrum dat ἐνεκαλυψάμην. Hoc autem composito poëtam hic usum fuisse, præter metri rationem, sermonisque

σκοπῶν περιῄει πάντα κοσμίως πάνυ.
ἔπειτα παῖς αὐτῷ λίθινον θυείδιον
παρέθηκε, καὶ δοίδυκα, καὶ κιβώτιον.
Γυ. λίθινον;
Κα. μὰ Δί' οὐ δῆτ' οὐχὶ τό γε κιβώτιον.
Γυ. σὺ δὲ πῶς ἑώρας, ὦ κάκιστ' ἀπολούμενε,
ὃς ἐγκεκαλύφθαι φῄς;
Κα. διὰ τοῦ τριβωνίου.
ὀπὰς γὰρ εἶχεν οὐκ ὀλίγας, μὰ τὸν Δία.
πρῶτον δὲ πάντων τῷ Νεοκλείδῃ φάρμακον
καταπλαστὸν ἐνεχείρησε τρίβειν, ἐμβαλὼν
σκορόδων κεφαλὰς τρεῖς Τηνίων. ἔπειτ' ἔφλα
ἐν τῇ θυείᾳ ξυμπαραμιγνύων ὀπὸν,
καὶ σχῖνον· εἶτ' ὄξει διέμενος Σφηττίῳ,
κατέπλασεν αὐτοῦ τὰ βλέφαρ' ἐκστρέψας, ἵνα
ὀδυνῷτο μᾶλλον. ὁ δὲ κεκραγὼς καὶ βοῶν,
ἔφευγ' ἀνᾴξας· ὁ δὲ θεὸς γελάσας ἔφη·
Ἐνταῦθα νῦν κάθησο καταπεπλασμένος,
ἵν' ἐπομνύμενον παύσω σε τῆς ἐκκλησίας.

proprietatem, manifesto ostendit v. 714. ubi hera dicit, ὃς ἐγκεκαλύφθαι φῄς, non vero ὃς συγκεκαλύφθαι. Nub. 11.

ἀλλ', εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι. 735.

οὐκ ἐγκαλυψάμενος ταχέως τι φροντιεῖς;

709. περιῄει πάντα. Nulla hic erat ratio cur scriberetur περιῄειν, sequente consonante. Hoc quidem edidit Aldus: at melius Bern. Junta περιῄει, licet supra dedisset προσῄειν. Sic etiam tres codd. In B. quæ primum omissa fuerat litera ν, superne addita fuit postmodo.

713. σὺ δὲ πῶς ἑώρας. In B. et C. σὺ δὲ πῶς ἑώρακας. Ut hic commutata fuerunt ἑώρας et ἑώρακας, sic etiam Thesm. 32. admodumque probabile est grassatam fuisse etiam librariorum libidinem in versu hujus fabulæ 98.

715. μὰ hic negativum est; refertur enim ad præcedens οὐκ ὀλίγας.—ὀπὰς γὰρ εἶχεν οὐκ ὀλίγας, οὐ μὰ Δία. Sic supra v. 400. οὐ τῷ μεταδοῦναι;—οὐ μὰ Δία. Negatio utroque in loco omissa e præcedentibus adsumenda est.

721. κατέπλασεν. Sic quatuor codd. recte. Vulgo κατέπλασσεν. Geminationem istam literæ σ non admittit Attica scena. Ut autem esset temporis imperfecti, scriptum oporteret κατέπλαττεν. Quia præcessit ἔφλα, minime necesse est sequens verbum in eodem esse tempore: præcesserat enim jam antea aoristus ἐνεχείρησε. Sic solent ubique, non sine quadam venustate, tempora permutare.

723. ἀνᾴξας. Perperam vulgo ἀναΐξας.

725. Codd. omnes ἐπομνύμενον. Solus C. τὰς ἐκκλησίας, articulo superscripta

Γυ. ὡς φιλόπολίς τις ἔσθ' ὁ δαίμων καὶ σοφός.
Κα. μετὰ τοῦτο τῷ Πλούτωνι παρεκαθέζετο,
καὶ πρῶτα μὲν δὴ τῆς κεφαλῆς ἐφήψατο·
ἔπειτα καθαρὸν ἡμιτύβιον λαβὼν,
τὰ βλέφαρα περιέψησεν· ἡ Πανάκεια δὲ
κατεπέτασ' αὐτοῦ τὴν κεφαλὴν φοινικίδι
καὶ πᾶν τὸ πρόσωπον· εἶθ' ὁ θεὸς ἐπόππυσεν.
ἐξηξάτην οὖν δύο δράκοντ' ἐκ τοῦ νεὼ,
ὑπερφυεῖς τὸ μέγεθος.
Γυ. ὦ φίλοι θεοί.
Κα. τούτω δ' ὑπὸ τὴν φοινικίδ' ὑποδύνθ' ἡσυχῆ,
τὰ βλέφαρα περιέλειχον, ὥς γ' ἐμοὶ 'δόκει·
καὶ πρίν σε κοτύλας ἐκπιεῖν οἴνου δέκα,
ὁ Πλοῦτος, ὦ δέσποιν', ἀνεστήκει βλέπων·
ἐγὼ δὲ τὼ χεῖρ' ἀνεκρότησ' ὑφ' ἡδονῆς,
τὸν δεσπότην τ' ἤγειρον. ὁ θεὸς δ' εὐθέως
ἠφάνισεν αὐτὸν, οἵ τ' ὄφεις, ἐς τὸν νεών.
οἱ δ' ἐγκατακείμενοι παρ' αὐτῷ, πῶς δοκεῖς,
τὸν Πλοῦτον ἠσπάζοντο, καὶ τὴν νύχθ' ὅλην
ἐγρηγόρεσαν, ἕως διέλαμψεν ἡμέρα.
ἐγὼ δ' ἐπῄνουν τὸν θεὸν πάνυ σφόδρα,

litera ν, ut sit τῆς, quod sincerum est. Glossa in meo τοῦ συνεδρίου. Ceterum probabile est Comicum scripsisse ἵν' ὑπομνύμενον. Vide Harpocrationem in ὑπωμοσία, et Petitum Leg. Att. p. 182. et 407. Bergleri versio quam retinui a sententia aberrat: refertur enim ad ἐξομνύμενον, quod non admittit metrum. Sensus est: *Ut mea opera desinas quævis promulgata plebiscita interposito jurejurando in concione abrogare.*

729. ἡμιτύβιον. Sic C. Tres alii ἡμιτύμβιον. Glossæ μανδύλιον, μανδήλιον. Vide Hesychii interpretes ad hanc vocem.

736. ὥς γ' ἐμοὶ 'δόκει. A. C. ὥστ' ἐμοὶ δοκεῖ. B. D. ὥς γ' ἐμοὶ δοκεῖ. Hinc mutato accentu sponte nascitur nostra lectio. Vulgo ὥς γε μοι δοκεῖν.

738. ὦ δέσποιν', ἀνεστήκει. Sic meus, ut vulgo. At tres Regii: ὦ δέσποινά γ' ἑστήκει, cum glossa in C. ἀνεστηκὼς ἦν.

742. πῶς δοκεῖς. Gl. in C. θαυμαστικόν. λίαν. Euripides Iphig. A. 1590.

πρὸν τῷδε Κάλχας, πῶς δοκεῖς χαίρων, ἔφη.

Ad quem versum sic Marklandus: *Delevi interrogationem post* δοκεῖς, *præeunte magno magistro Hemsterhusio ad Lucian. Necyom. p. 475.* πῶς δοκεῖς χαίρων est summo gaudio affectus.

ὅτι βλέπειν τὸν Πλοῦτον ἐποίησεν ταχὺ,
τὸν δὲ Νεοκλείδη μᾶλλον ἐποίησεν τυφλόν.
Γυ. ὅσην ἔχεις τὴν δύναμιν, ὦ ̓ναξ δέσποτα.
ἀτὰρ φράσον μοι, ποῦ 'σθ' ὁ Πλοῦτος;
Κα. ἔρχεται.
ἀλλ' ἦν περὶ αὐτὸν ὄχλος ὑπερφυὴς ὅσος.
οἱ γὰρ δίκαιοι πρότερον ὄντες, καὶ βίον
ἔχοντες ὀλίγον, αὐτὸν ἠσπάζοντο, καὶ
ἐδεξιοῦνθ' ἅπαντες ὑπὸ τῆς ἡδονῆς·
ὅσοι δ' ἐπλούτουν, οὐσίαν τ' εἶχον συχνὴν,
οὐκ ἐκ δικαίου τὸν βίον κεκτημένοι,
ὀφρῦς ξυνῆγον, ἐσκυθρώπαζόν θ' ἅμα.
οἱ δ' ἠκολούθουν κατόπιν ἐστεφανωμένοι,
γελῶντες, εὐφημοῦντες· ἐκτυπεῖτο δὲ
ἐμβὰς γερόντων εὐρύθμοις προβήμασιν.
ἀλλ' εἶ' ἁπαξάπαντες ἐξ ἑνὸς λόγου
ὀρχεῖσθε, καὶ σκιρτᾶτε, καὶ χορεύετε·
οὐδεὶς γὰρ ὑμῖν εἰσιοῦσιν ἀγγελεῖ,
ὡς ἄλφιτ' οὐκ ἔνεστιν ἐν τῷ θυλάκῳ.
Γυ. νὴ τὴν Ἑκάτην, κἄγωγ' ἀναδῆσαι βούλομαι
εὐαγγέλιά σ' ἐν κριβανωτῶν ὁρμαθῷ,

746. ὅτι βλέπειν τὸν Πλοῦτον ἐποίησεν ταχύ. Collocatæ hoc ordine voces in B: quam scripturam ob sequentem versum prætuli. Vulgo: ὅτι βλέπειν ἐποίησε τὸν Πλοῦτον ταχύ.

762. ὑμῖν. Sic meus. Vulgo ἡμῖν. In B. inverso vocum ordine, εἰσιοῦσιν ἡμῖν.

764. νὴ τὴν E. Perperam C. μὰ τὴν— Haud infrequens librariorum hic error. Vide not. ad Lys. 465.

765. ἐν κριβανωτῶν ὁρμαθῷ. Sic membr. In B. D. ἐν κριβανωτῷ ὁρμαθῷ. In C. mira lectio. ἐν κλιβάνῳ τῶν ὁρμαθῶν. Glossæ: στεφανῶσαι—ἐκ κριθίνων μαζῶν—διαβάλλει δὲ αὐτὸν ὡς λαίμαργον. Interpretationis hujus auctor sic verba ordinabat: βούλομαί σε στεφανῶσαι ἐν ὁρμαθῷ ἐκ κριθίνων μαζῶν: neque inde colligi potest apud Comicum unquam lectum fuisse, σ' ἐκ κριβανωτῶν ὁρμαθῷ. Si quid mutandum esset, mallem expuncta præpositione, εὐαγγέλια σὲ κριβανωτῶν ὁρμαθῷ.

Etiamsi potuisset scribere poëta εὐαγγέλιά σε κριβανωτῶν ὁρμαθῷ, nollem tamen ideo præpositionem expungi. Quin vulgatam lectionem sinceram puto. ἐν apud Atticos etiam sic ex abundanti positum occurrit. Vide Luciani Interpretem tom. i. p. 835. Noster in Av. 1735. ξυνεκοίμισαν ἐν τοιῷδ' ὑμεναίῳ, ubi præpositio abesse possit sine sententiæ

τοιαῦτ' ἀπαγγείλαντα.
Κα. μή νυν μέλλ' ἔτι,
ὡς ἄνδρες ἐγγύς εἰσιν ἤδη τῶν θυρῶν.
Γυ. φέρε νῦν ἰοῦσ' εἴσω κομίσω καταχύσματα
ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς ἐγώ.
Κα. ἐγὼ δ' ἀπαντῆσαί γ' ἐκείνοις βούλομαι.
Χο. (λείπει κομμάτιον τοῦ Χοροῦ.)
Πλ. καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν Ἥλιον,
ἔπειτα σεμνῆς Παλλάδος κλεινὸν πέδον,
χώραν τε πᾶσαν Κέκροπος, ἥ μ' ἐδέξατο.
αἰσχύνομαι δὲ τὰς ἐμαυτοῦ ξυμφορὰς,
οἵοις ἄρ' ἀνθρώποις ξυνὼν ἐλάνθανον·
τοὺς ἀξίους δὲ τῆς ἐμῆς ὁμιλίας
ἔφευγον, εἰδὼς οὐδὲν ὁ τλήμων ἐγώ.
ὡς οὐδ' ἐκεῖν' ἄρ', οὐδὲ ταῦτ' ὀρθῶς ἔδρων·
ἀλλ' αὖ τὰ πάντα πάλιν ἀναστρέψας ἐγὼ
δείξω τολοιπὸν πᾶσιν ἀνθρώποις, ὅτι
ἄκων ἐμαυτὸν τοῖς πονηροῖς ἐνεδίδουν.
Χρ. βάλλ' ἐς κόρακας· ὡς χαλεπόν εἰσιν οἱ φίλοι,
οἱ φαινόμενοι παραχρῆμ', ὅταν πράττῃ τις εὖ.
νύττουσι γὰρ, καὶ φλῶσι τἀντικνήμια,
ἐνδεικνύμενοι ἕκαστος εὔνοιάν τινα.

detrimento. Ejusd. fabulæ v. 906. abundat etiam in istis κλῆσον τιαῖς ἐν ὕμνων ᾠδαῖς. Alia exempla suppeditabit index.

777. εἰδὼς οὐδὲν ὁ τλήμων ἐγώ. Non sane hic versus eorum in numero veniet, quorum exemplo quis forte probare conabitur vocalem brevem produci posse ante tenuem et liquidam. Nam manifestum est scriptum oportuisse εἰδὼς οὐδὲν, ὢ τλήμων ἐγώ. Qua ratione augetur etiam affectus.

οὐδὲν ὁ τλήμων. Sic etiam scriptum fuit in hoc codice a prima manu. Ab emendatore postmodo brevis ο in longam ω mutata fuit, ut legendum esse dixi. Nullibi apud Comicum ante τλήμων brevis vocalis producitur. Recte in Pace 723.

πόθεν οὖν ὁ τλήμων ἐνθάδ' ἕξει σιτία;

779. ἀλλ' αὖ τὰ πάντα. Sic recte Hemsterhusius e Bentleii emendatione. Male in codd. scriptum ἀλλ' αὐτὰ πάντα.

785. ἐνδεικνύμενοι ἕκαστος. Elegans est constructio et passim obvia singularis ἕκαστος cum verbo vel participio plurali. Exempla vel lexica suppeditant. Nescio cur in Demosthenis Or. i. contra Philippum p. 54. l. 7. edit. Reiskii ἕκαστοι pro ἕκαστος viri docti maluerint.

ἐμὲ γὰρ τίς οὐ προσεῖπε; ποῖος οὐκ ὄχλος
περιεστεφάνωσεν ἐν ἀγορᾷ πρεσβυτικός;
Γυ. ὦ φίλτατ' ἀνδρῶν, καὶ σὺ, καὶ σὺ, χαίρετον.
φέρε νῦν, νόμος γάρ ἐστι, τὰ καταχύσματα
ταυτὶ καταχέω σου λαβοῦσα.
Πλ. μηδαμῶς.
ἐμοῦ γὰρ εἰσιόντος ἐς τὴν οἰκίαν
πρώτιστα, καὶ βλέψαντος, οὐδὲν ἐκφέρειν
πρεπῶδές ἐστιν, ἀλλὰ μᾶλλον εἰσφέρειν.
Γυ. εἶτ' οὐχὶ δέξει δῆτα τὰ καταχύσματα;
Πλ. ἔνδον γε παρὰ τὴν ἑστίαν, ὥσπερ νόμος·
ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν.
οὐ γὰρ πρεπῶδές ἐστι τῷ διδασκάλῳ,
ἰσχάδια καὶ τρωγάλια τοῖς θεωμένοις
προβαλόντ', ἐπὶ τούτοισιν ἐπαναγκάζειν γελᾶν.
Γυ. εὖ πάνυ λέγεις· ὡς Δεξίνικος οὑτοσὶ

788. ὦ φίλτατ' ἀνδρῶν. Sic codd. omnes. Glossa in C. Πλοῦτε. In meo ad καὶ σὺ, καὶ σὺ, gl. Χρεμύλε, Πλοῦτε. Unde satis liquet priora verba ὦ φίλτατ' ἀνδρῶν ad Plutum directa esse: quod confirmat etiam Suidas, qui non ἀνδρῶν, sed ἄνερ legebat. Ad hunc enim versum respicit in hac nota: Ἄνερ. παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ· Φίλτατ' ἄνερ. χρῆσις τοῦ ἄνερ οὐκ ἐπὶ τοῦ ἀνδρὸς τῆς γυναικὸς εὑρέθη κλητικὴ, ὥσπερ ἐκεῖ ἐστι παρὰ τῷ ποιητῇ· (Ἰλ. ω'. 725.) ἄνερ, ἀπ' αἰῶνος νέος ὤλεο. Ex Suidæ observatione manifestum est eum in φίλτατ' ἄνερ Plutum intellexisse. Quod vero statuit vocativo ἄνερ mulieres solitas non fuisse maritos suos compellare, hujus rei penes eum fides esto. Sane apud Comicum occurrit vocativus ὦ ἄνερ Lys. 518. Conc. 531. aliisque forte in locis, quos excutere non vacat.

χαίρετον. Vulgo χαίρετε. Dualem præfert B.

794. εἶτ' οὐχὶ δέξει δῆτα. Perperam vulgo δέξῃ ταῦτα. Tres Regii δέξῃ δῆτα. Atticam terminationem reposui e perpetuo Comici usu.

796. τὸν φόρτον. Suidas exponit τὴν χλεύην, *irrisionem*. Glossæ, ψόγον, χλεύην, μέμψιν. Significat *molestas, odiosas ineptias*; ut Pace 748.

τοιαῦτ' ἀφελὼν κακὰ καὶ φόρτον, καὶ βωμολοχεύματ' ἀγεννῆ.

Hinc Vesp. 66. φορτικὴ κωμῳδία.

800. ὡς Δεξίνικος οὑτοσί. Sic perspicue membr. et C. optime. In B. δεξήνικος: in meo δεξύνεικος ;- ducta in utroque superne linea, qua indicatur nomen esse proprium. Vulgo ὡς δὲ Ξένικος οὑτοσὶ, labante versu: nam in Ξένικος, etiamsi nomen esset proprium, media corripi deberet. Glossa in C. ad ὡς, ὅτι: ad viri nomen, διαβάλλει τοῦτον ὡς ἅρπαγα. Optima est et plana sententia, nec quidquam conjecturis opus erat, inter quas duæ sunt, quas metri lex prorsus respuit. Ista Bentleii:

εὖ πάνυ λέγεις· ὄχλος δὲ ξενικὸς οὑτοσί.

ἀνίσταθ᾽, ὡς ἁρπασόμενος τὰς ἰσχάδας.

Χο. (λείπει ἡ τοῦ Χοροῦ ᾠδή.)

ΚΑΡΙΩΝ, ΑΝΗΡ ΔΙΚΑΙΟΣ, ΧΡΕΜΥΛΟΣ, ΣΥΚΟΦΑΝΤΗΣ, ΧΟΡΟΣ.

Κα. ΩΣ ἡδὺ πράττειν, ὦ ̓̓νδρες, ἔστ᾽ εὐδαιμόνως,
καὶ ταῦτα μηδὲν ἐξενεγκόντ᾽ οἴκοθεν.
ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν οἰκίαν
ἐπεισπέπαικεν οὐδὲν ἠδικηκόσιν.
ἡ μὲν σιπύη μεστή ᾽στι λευκῶν ἀλφίτων·
οἱ δ᾽ ἀμφορῆς, οἴνου μέλανος ἀνθοσμίου.
ἅπαντα δ᾽ ἡμῖν ἀργυρίου καὶ χρυσίου

Clerico, non Bentleio dignus senarius, quem dactylus in quarta sede deturpat. Altera Hemsterhusii pejori adhuc malo laborat, quæ creticum habet in quarta sede:

εὖ πάνυ λέγεις· ἄλλως Δεξίνικος οὑτοσί.

Nomen Δεξίνικος ex δέχομαι et νίκη compositum, penultimam necessario producit. Atque ista excogitata fuere, ne ὡς bis in duobus continuis versibus conspiceretur, licet diverso sensu: prius enim significat *nam*; alterum *tanquam*. Hoc si vitium esset, nescio quot versus apud Comicum mutandi venirent, qui tamen memini correctione indigere visi sunt, nec revera indigent.

ὡς Δεξίνικος οὑτοσί. Sic liquido in hoc etiam cod. scriptum, superducta nomini lineola, proprium esse indicante, cum eadem glossa, quam ex alio codice protulimus.

805. Post hunc versum vulgo legitur insertus iste:

οὕτω τὸ πλουτεῖν ἐστιν ἡδὺ πρᾶγμά τι.

quem tanquam parallelum primo Carionis versui librarius olim margini adscripserat, unde ab alio in textum fuit illatus. Merito eum expunxit Bentleius. Alibi observavi solitos olim fuisse librarios in codicum margine versus qui sententias continerent scribere, præfixo lemmate γνώμη, horumque versuum complures maxime in Scenicorum scriptis in textum postea intrusos fuisse; quod hic accidisse jamdudum mihi fuit persuasum. Ecce vero manifestum interpolationis indicium ostendit cod. C. In eo versus in lineas non sunt distincti, sed, tanquam si soluta esset oratio, continuata scriptura est, cujus specimen hic subjicio:

ἐπεισπέπαικεν οὐδὲν ἠδικη
κόσιν· Γνω″ οὕτω τὸ πλου-
τεῖν, ἡδύ ἐστι
πρᾶγμα που. ἡ μὲν γὰρ
σιπύη.

Vides librarium non solum marginalem versum, sed etiam illius lemma in contextus seriem intulisse. In meo et in B. idem lemma versui præfixum est. Ceterum in eo versu tres Regii habent *πρᾶγμά που.*

807. *ἀμφορῆς.* Sic bene Aldus edidit. Perperam in iv. codd. scriptum *ἀμφορεῖς.*

τὰ σκευάρια πλήρη 'στιν, ὥστε θαυμάσαι.
τὸ φρέαρ δ' ἐλαίου μεστόν· αἱ δὲ λήκυθοι
μύρου γέμουσι· τὸ δ' ὑπερῷον, ἰσχάδων.
ὀξὶς δὲ πᾶσα, καὶ λοπάδιον, καὶ χύτρα,
χαλκῆ γέγονε· τοὺς δὲ πινακίσκους τοὺς σαπροὺς,
τοὺς ἰχθυηροὺς, ἀργυροῦς πάρεσθ' ὁρᾶν.
ὁ δ' ἶπος ἡμῖν ἐξαπίνης ἐλεφάντινος.

813. τοὺς σαπρούς. Cod. σαθρούς. Has voces sæpissime commutari notum est.

815. ὁ δ' ἶπος ἡμῖν ἐξαπίνης ἐλεφάντινος. Vulgo legitur ὁ δ' ἰπνὸς ἡμῖν. Utraque lectio ἶπος et ἰπνὸς ab Aristophane est. Illud erat in priore fabulæ editione, hoc in posteriore. Qui priore Pluto usus est Jul. Pollux, ut v. 513. pro τροχοποιεῖν legebat ζυγοποιεῖν, quod in nullo codice nunc comparet, ita hoc in versu ἶπος habebat, non ἰπνός. Vide eum p. 1340. et interpretes. ἶπος seu ἰπὸς, utroque enim modo notatur accentu, primam producit, quapropter sæpe occurrit εἰπὸς, e librariorum more, qui pro ι longo solebant ει scribere: significat autem instrumentum omne, quo *stipatur*, *comprimitur*, *exprimitur*, *opprimitur*. Hinc ἶπος vocatur fullonum instrumentum, quo premuntur, stipantur vestes. Pollux p. 1317. καὶ ἰπὸς, τὸ πιέζον τὰς ἐσθῆτας ἐν τῷ γναφείῳ, ὡς Ἀρχίλοχος· κέαται δ' ἐν ἰπῷ. Hic autem *muscipulam* significat. Pollux priore loco: καὶ μυάγρα. Ἀριστοφάνης δ' ἐν Φοινίσσαις κέχρηται τῷ ὀνόματι· ἐν δὲ Πλούτῳ εἰπὸν τὴν μυάγραν καλεῖ. Idem p. 715. καὶ ἶπος δὲ τὸ τῶν κναφέων ἐργαλεῖον. ἔστι δὲ καὶ μυάγρα οὕτω καλουμένη. Auctor Etym. M. p. 473. ἶπος σημαίνει τὴν παγίδα τῶν μυῶν, καὶ τὸ πρεισσόριον. παρὰ τὸ ἴπτω τὸ βλάπτω, γίνεται ἶπος. καὶ γὰρ τοῦτο εἶδος φθαρτικόν ἐστι τῶν μυῶν. καὶ παρὰ τὸ ἶπος γίνεται ἰπῶ ῥῆμα, σημαῖνον τὸ θλίβω. καὶ Ἀριστοφάνης, ἰπούμενος ταῖς συμφοραῖς. (lege εἰσφοραῖς ex Equit. 924.) ὡς κόπτω κόπος, οὕτω ἴπτω ἶπος. Perperam vulgo initio hujus notæ legitur καὶ τὸ πραιτώριον. Infimæ græcitatis vox est πραισσόριον. Vide Car. Du Fresne Glossarium p. 1218. Veteres glossæ: ἶπος, *prensurium*. Corrigendum forte *pressorium*. Quod autem supra dixi, in posteriore Pluti editione ἰπνὸς repositum fuisse, id hoc solo nititur argumento, quod hanc lectionem exhibent codd. qui nunc exstant omnes, agnoscuntque eam etiam Grammatici aliquot veteres. Sed facile fieri potuit, ut ante horum ætatem menda irrepserit, ἰπνὸς pro ἰπὸς, ut et apud Æschylum in Prometheo ἰπνούμενος pro ἰπούμενος, quod observavi ad Lys. 291. Sane apud Athenæum p. 229. F. ubi profertur hic versus istoque modo legitur:

ὁ δ' ἰπνὸς γέγονεν ἐξαπίνης ἐλεφάντινος.

In veteri Athenæi codice scriptum reperi ὁ δεῖπνος, quod mendosum quidem est, sed antiquæ scripturæ indicium dare possit, ὁ δ' εἰπός. Nam si ἰπνὸς prior librarius legisset, nulla erat causa cur εἰπνὸς scriberet. Utut hæc sunt, vere, meo judicio, veterem lectionem ἶπος revocandam censuit Bentleius, cujus argumentis, si quæ opponi possint, non sane illa sunt quæ obmovet Dawesius. ἰπνὸν ille tuetur, *laternum*que significare contendit, ut exponunt Scholiastes et Suidas, φανός. Laternis utebantur veteres e cornu vel e vesica factis. Notus est ille Plauti versus in Amphitr.

Quo ambulas tu, qui Volcanum in
cornu conclusum geris?

Sed ebur translucidum non est, proindeque eburnea laterna res est plane in-

στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν
χρυσοῖς· ἀποψώμεσθα δ' οὐ λίθοις ἔτι,
ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.
καὶ νῦν ὁ δεσπότης μὲν ἔνδον βουθυτεῖ
ὗν καὶ τράγον καὶ κριὸν, ἐστεφανωμένος·
ἐμὲ δ' ἐξέπεμψεν ὁ καπνός. οὐχ οἷός τε γὰρ
ἔνδον μένειν ἦν. ἔδακνε γὰρ τὰ βλέφαρά μου.

Δι. ἕπου μετ' ἐμοῦ, παιδάριον, ἵνα πρὸς τὸν θεὸν

epta et absurda. Quod autem ait *Bentleii commento perquam incommode accidere*, genus scilicet nominis ἰπνὸς femininum, id nullius est momenti. Nam substantiva sunt multa quæ utroque genere efferuntur; neque, si apud Pindarum ἶπνος femininum occurrit, inde conficitur femininum etiam Atticis fuisse. Sane Polluci masculinum est, cujus hæc sunt verba p. 1317. καὶ περιστροφίδα δ' ἂν εἴποις τὸ ξύλον τὸ τὸν ἰπνὸν περιστρέφον. Non itaque Bentleii *rationes profligavit Dawesius*. ἰπνὸν si concederem poëtam scripsisse, probarem potius Toupii interpretationem ad Suidam ii. 36. *latrinam*, sive *sellam familiarem, une chaise perçée d'ivoire*, intelligentis. Pollux p. 527. τὸν δὲ κοπρῶνα καὶ ἶπνον Ἀριστοφάνης καλεῖ. Eo sensu posita erat hæc vox in Cocalo, cujus ultimum fragm. vide. Quominus autem eam sic a Poëta hoc loco adhibitam fuisse credam, obstat prioris syllabæ modulus, quam ille semper corripit. Vide Pac. 536. Av. 436. Vesp. 139. Nec objiciendus est ejusd. fabulæ v. 837. quem protuli supra in nota ad v. 98. Manifestum est enim legi debere:

ὁ κυὼν παρᾴξας εἰς τὸν ἰπνὸν, ἐξαρπάσας—

et in superiore, qui in Pace est 892. poëtam scripsisse:

διὰ ταῦτα καὶ κεκάπνικεν ἄρ' ἐνταῦθα γάρ—

Hæc recte emendata esse tam absurdum esset negare, quam si quis contenderet in nomine δίκη primam rite produci, quia sic vulgo legitur in Vesp. v. 400.

οὐ ξυλλήψεσθ', ὁπόσοις δίκαι τῆτες μέλλουσιν ἔσεσθαι;

Eo ineptiarum redigi se patiantur, qui in veterum scriptis apicem mutari nolunt absque codicis auctoritate: nam sic etiam in duobus ad quos fabulam illam contuli scriptum est. At me piget mendam eam prætermisse; novitiosque tirones moneo, quod, etiam me indicente, paulo peritiores videbunt, legendum esse:

οὐ ξυλλήψεσθ', ὁπόσοισι δίκαι τῆτες μέλλουσιν ἔσεσθαι.

Dawesius autem, ne sibi e manibus laterna sua eriperetur, lectionem prorsus immutare coactus fuit, novamque ex ea quam codices exhibent, et misere depravata illa, quæ apud Athenæum fertur, concinnare, cujus parum suaves sunt numeri:

ὁ δ' ἰπνὸς γέγον' ἡμῖν ἐξαπίνης ἐλεφάντινος.

Quanto satius erat optima in lectione acquiescere, quam commendabant sententiæ et metri venustas, tuebaturque doctissimi Grammatici fides! Sed virum ingeniosum abripiebat livor et Bentleii laudum obtrectatio.

816. ἀρτιάζομεν. Glossa: τὸ ἐν συνηθείᾳ λεγόμενον μονὰ ἢ ζυγά. Scholion: τὰ ἄρτια καὶ τὰ περιττὰ παίζομεν, τὰ κοινῶς λεγόμενα παρὰ τοῖς ἰδιώταις, μονὰ, ζυγά.

ἴωμεν.

Χρ. ἔα, τίς ἔσθ' ὁ προσιὼν οὑτοσί;
Δι. ἀνὴρ πρότερον μὲν ἄθλιος, νῦν δ' εὐτυχής.
Χρ. δηλονότι τῶν χρηστῶν τις, ὡς ἔοικας, εἶ.
Δι. μάλιστ'.
Χρ. ἔπειτα τοῦ δέει;
Δι. πρὸς τὸν θεὸν
ἥκω· μεγάλων γάρ μοι 'στὶν ἀγαθῶν αἴτιος.
ἐγὼ γὰρ ἱκανὴν οὐσίαν παρὰ τοῦ πατρὸς
λαβὼν, ἐπήρκουν τοῖς δεομένοις τῶν φίλων,
εἶναι νομίζων χρήσιμον πρὸς τὸν βίον.
Χρ. ἦπου σε ταχέως ἐπέλιπεν τὰ χρήματα.
Δι. κομιδῆ μὲν οὖν.
Χρ. οὐκοῦν μετὰ ταῦτ' ἦσθ' ἄθλιος.
Δι. κομιδῆ μὲν οὖν. κἀγὼ μὲν ᾤμην, οὓς τέως
εὐηργέτησα δεομένους, ἕξειν φίλους
ὄντως βεβαίους, εἰ δεηθείην ποτέ·
οἱ δ' ἐξετρέποντο, κοὐκ ἐδόκουν ὁρᾷν μ' ἔτι.
Χρ. καὶ κατεγέλων γ', εὖ οἶδ' ὅτι.
Δι. κομιδῆ μὲν οὖν.

824. Personam hic et deinceps in toto hoc colloquio Chremyli pono, ubi vulgo persona est Carionis, idque ex trium codd. auctoritate. Solus B. famulo tribuit, quæ manifesto heri esse nemo non sentit, certissimisque argumentis ostendit Hemsterhusius, qui pravam priorum editionum personarum distinctionem retinere non debuerat.

Interlocutores hujus scenæ notati sunt in codice Justus et Chremylus, ut apud nos. Minus bonum est, quod versui 860. Chremyli, 863. Carionis præfixa sit persona. Versui 864. adscripta persona Ἕτερος συκοφάντης, ut etiam est in B. et in meo. Melius ceteri codd. unicum Sycophantam agnoscunt.

827. τοῦ δέει. Vulgo δέῃ. Atticam formam habent A. C.

828. μοι 'στίν. Sic meus: in C. μοι ἐστίν. Duo alii, ut vulgo, μοὐστίν.

832. ἐπέλιπεν τὰ χρήματα. Sic optime membr. ut et Kusterus legendum esse viderat. In C. ἀπέλιπεν. Duo alii, ut vulgo, ἀπέλιπε.

834. τέως. Glossæ, πρώην, πρότερον.

837. κοὐκ ἐδόκουν ὁρᾷν μ' ἔτι. *Et me videre se dissimulabant.* Græcorum vim non perceperat Berglerus. Vide Valckenarium ad Eurip. Hippol. p. 217. Pace 1051. μὴ νῦν ὁρᾷν δοκῶμεν αὐτόν. *Fesons semblant de ne pas le voir.* Plautus Epid. ii. 2. 54. *Dissimulabam me harum sermoni operam dare:* οὐκ ἐδόκουν ὑπακούειν αὐτῶν.

αὐχμὸς γὰρ ὢν τῶν σκευαρίων μ' ἀπώλεσεν.
Χρ. ἀλλ' οὐχὶ νῦν.
Δι. ἀνθ' ὧν ἐγὼ πρὸς τὸν θεὸν
προσευξόμενος ἥκω δικαίως ἐνθάδε.
Χρ. τὸ τριβώνιον δὲ, τί δύναται πρὸς τὸν θεὸν,
ὃ φέρει μετὰ σοῦ τὸ παιδάριον τουτί; φράσον.
Δι. καὶ τοῦτ' ἀναθήσων ἔρχομαι πρὸς τὸν θεόν.
Χρ. μῶν οὖν ἐμυήθης δῆτ' ἐν αὐτῷ τὰ μεγάλα;
Δι. οὔκ· ἀλλ' ἐνεῤῥίγωσ' ἔτη τρία καὶ δέκα.
Χρ. τὰ δ' ἐμβάδια;
Δι. καὶ ταῦτα συνεχειμάζετο.
Χρ. καὶ ταῦτ' ἀναθήσων ἔφερες οὖν;
Δι. νὴ τὸν Δία.
Χρ. χαρίεντά γ' ἥκεις δῶρα τῷ θεῷ φέρων.
Συ. οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος,
καὶ τρισκακοδαίμων, καὶ τετράκις, καὶ πεντάκις,
καὶ δωδεκάκις, καὶ μυριάκις· ἰοὺ, ἰού.
οὕτω πολυφόρῳ ξυγκέκραμαι δαίμονι.
Χρ. Ἄπολλον ἀποτρόπαιε, καὶ θεοὶ φίλοι,
τί ποτ' ἐστὶν, ὅ τι πέπονθεν ὤνθρωπος κακόν;
Συ. οὐ γὰρ σχέτλια πέπονθα νυνὶ πράγματα,
ἀπολώλεκὼς ἅπαντα τἀκ τῆς οἰκίας
διὰ τὸν θεὸν τοῦτον, τὸν ἐσόμενον τυφλὸν
πάλιν αὖθις, ἤνπερ μὴ 'λλίπωσιν αἱ δίκαι;

839. Participium ὢν hic, ut sæpe, abundat. Hemsterhusii notæ lucem affundet Scholion ineditum, quod profero e Cod. C. Τὸ ὢν ἢ ἀντὶ τοῦ οὖν νοητέον, τρεπομένης Δωρικῶς τῆς ου διφθόγγου εἰς ω μέγα· ἢ ἀντὶ τοῦ ὑπάρχων, οὕτω. ἀπώλεσε γάρ ἐμὲ αὐχμὸς τῶν σκευαρίων ὢν καὶ ὑπάρχων ἐμοί. πέπρακα γὰρ ταῦτα, καὶ διὰ τοῦτο εἰς γέλωτα πᾶσι προὐκείμην. Παρὰ τὸ μὴ ἔχειν τὰ σκευάριά τι, ἀπολώλειν. ἐχόντων γάρ τι τῶν σκευαρίων, ἤδη ἠρδευόμην. διακρίνων δ' οὕτω αὖος καὶ ξηρὸς ἦν ὑπὸ τῆς ψυχρᾶς πενίας, ὃ γοῦν ἔπασχεν ὁ δίκαιος οὗτος, ἀντιστρόφως τοῦτο τὰ σκευάρια, φησὶν, ἀπώλεσεν.

842. τί δύναται πρὸς τὸν θεόν; *quid facit ad Deum?* Sic ingeniose Hemsterhusius. Frigidum est quod vulgo legitur: τί δύναται, πρὸς τῶν θεῶν.—

853. πολυφόρῳ. Glossa, πολλαπλασίῳ, πολλὰ κακὰ φέροντι.

854. Carioni tributa hæc vulgo, Chremylo adsignant tres codices, ut supra v. 824.

859. ἤνπερ μὴ 'λλίπωσιν. Sic bene Dawesius. Vulgo μὴ λίπωσιν.

Δι. ἐγὼ σχεδὸν τὸ πρᾶγμα γιγνώσκειν δοκῶ.
προσέρχεται γάρ τις κακῶς πράττων ἀνήρ.
ἔοικε δ' εἶναι τοῦ πονηροῦ κόμματος.
Χρ. νὴ Δία· καλῶς τοίνυν ποιῶν ἀπόλλυται.
Συ. ποῦ, ποῦ 'σθ' ὁ μόνος ἅπαντας ἡμᾶς πλουσίους
ὑποσχόμενος οὗτος ποιήσειν εὐθέως,
εἰ πάλιν ἀναβλέψειεν ἐξαρχῆς; ὁ δὲ
πολὺ μᾶλλον ἐνίους ἐστὶν ἐξολωλεκώς.
Χρ. καὶ τίνα δέδρακε ταῦτα δῆτ';
Συ. ἐμὲ τουτονί.
Χρ. ἦ τῶν πονηρῶν ἦσθα καὶ τοιχωρύχων;
Συ. μὰ Δί', οὐμενοῦν ἔσθ' ὑγιὲς ὑμῶν οὐδενός,
κοὐκ ἔσθ' ὅπως οὐκ ἔχετέ μου τὰ χρήματα.
Κα. ὡς σοβαρός, ὦ Δάματερ, εἰσελήλυθεν
ὁ συκοφάντης. δῆλον ὅτι βουλιμιᾷ.
Συ. σὺ μὲν εἰς ἀγορὰν ἰὼν ταχέως οὐκ ἂν φθάνοις;
ἐπὶ τοῦ τροχοῦ γὰρ δεῖ σ' ἐκεῖ στρεβλούμενον
εἰπεῖν ἃ πεπανούργηκας.

860. In tribus Regiis Chremylo hæc tribuuntur: melius in meo Justo.

863. Huic versui in tribus Regiis præfixa persona Carionis: melius in meo tribuitur Chremylo.

868. καὶ τίνα. Quæstionem hanc Chremylo adsignant tres codd. ut et v. 869.

870. οὐμενοῦν ἔσθ' ὑγιὲς ὑμῶν οὐδενός. Gl. ἀντὶ τοῦ, οὐδεὶς ὑμῶν ἔχει τι ἀγαθόν. Supra 362. ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν οὐδενός.

872. ὦ Δάματερ, licet forma Dorica, Comicis usurpatum fuisse observat Eustathius ad Odyss. p. 1385. l. 53. ubi de θάτερος et θατέρα mira quædam tradit ab aliorum Grammaticorum placitis discrepantia. εἰ δὲ τὰ τοιαῦτα Δωρικά, καὶ ἡ λοιπὴ τούτων ἀνάλογος κίνησις, Ἀττικοῖς γέγονε φίλα, καινὸν οὐδὲν εἴ τις ἐνθυμοῖτο καὶ τό, ὦ Δάματερ, τὸ θαυμαστικόν, ὃ κεῖται καὶ παρὰ τῷ Κωμικῷ, Δωρικὸν μὲν ὄν, φιληθὲν δὲ εἰς κοινὴν χρῆσιν τοῖς Ἀττικοῖς. Occurrit jam supra vers. 555. Mox verba δῆλον ὅτι βουλιμιᾷ in iv. codd. ut et in vett. editt. plerisque famulo continuata sunt: aliæ ea Justo minus bene tribuunt.

873. Verba δῆλον ὅτι βουλιμιᾷ tribuit hic cod. Justo, ut fecit etiam Bern. Junta. Recte in Aldina et in altera Juntina, quam curavit Ant. Fracinus, continuantur famulo, ut in quatuor primum inspectis codd. Nescio cur in priore Basileensi inserta fuerit Justi persona, unde recepta fuit in duas Venetas. Altera Basileensis, hac in re, ut in aliis fere omnibus, Fracini editionem refert. Operarum culpa aliquid turbatum fuit in Hemsterhusii super hac re nota.

Κα. οἴμωζ᾽ ἆρα σύ.
Δι. νὴ τὸν Δία τὸν Σωτῆρα, πολλοῦ γ᾽ ἄξιος
ἅπασι τοῖς Ἕλλησιν ὁ θεὸς ἔσθ᾽, ὅτι
τοὺς συκοφάντας ἐξολεῖ κακοὺς κακῶς.
Συ. οἴμοι τάλας· μῶν καὶ σὺ μετέχων καταγελᾷς;
ἐπεὶ πόθεν θοιμάτιον εἴληφας τοδί;
ἐχθὲς δ᾽ ἔχοντ᾽ εἶδόν σ᾽ ἐγὼ τριβώνιον.
Δι. οὐδὲν προτιμῶ σου. φορῶ γὰρ πριάμενος
τὸν δακτύλιον τονδὶ παρ᾽ Εὐδάμου δραχμῆς.
Χρ. ἀλλ᾽ οὐκ ἂν ἔστι συκοφάντου δήγματος.
Συ. ἆρ᾽ οὐχ ὕβρις ταῦτ᾽ ἐστὶ πολλή; σκώπτετον,
ὅ τι δὲ ποιεῖτον ἐνθάδ᾽, οὐκ εἰρήκατον.
οὐκ ἐπ᾽ ἀγαθῷ γὰρ ἐνθάδ᾽ ἐστὸν οὐδενί.
Χρ. μὰ τὸν Δί᾽ οὔκουν τῷ γε σῷ, σάφ᾽ ἴσθ᾽ ὅτι.

876. ἆρα priori longa, metro sic flagitante: perperam vulgo excusum ἄρα, In C. Chremylo male tributa hæc imprecatio.

878. In tribus codd. scriptum ὁ θεὸς ἔσθ᾽ οὑτοσὶ εἰ τοὺς συκοφάντας. Quartus B. in eo tantum differt quod habet οὑτοσὶν—Inde apparet sinceram lectionem sic reconcinnandam esse, ejecto verbo substantivo:

ἅπασι τοῖς Ἕλλησιν ὁ θεὸς οὗτος, εἰ
τοὺς συκοφάντας ἐξολεῖ κακοὺς κακῶς.

In hoc etiam cod. scriptum ὁ θεὸς ἔσθ᾽ οὑτοσὶ, εἰ τοὺς—

882. εἶδον. Sic bene meus et B. ut impressi. Perperam in A. C. ἴδον.

Aliter hunc versum exhibet cod. numeris concinnioribus:

ἐχθὲς δ᾽ ἔχοντά σ᾽ εἶδον ἐγὼ τριβώνιον.

884. Anulos *physicos* dictos gestabant veteres, quibus inesse putabant vim sanandi aut avertendi morbos, et quævis mala. Vide Casaubonum in Athenæum iii. 34. ad hos Antiphanis versus:

ἐν χύτρᾳ δ᾽ ἐμοὶ
ὅπως ὕδωρ ἕψοντα μηδέν᾽ ὄψομαι.
οὐ γὰρ κακὸν ἔχω, μηδ᾽ ἔχοιμ᾽. ἐὰν δ᾽ ἄρα
στρέφῃ με περὶ τὴν γαστέρ᾽, ἢ τὸν ὀμφαλὸν,
παρὰ Φιρτάτου δακτύλιός ἐστ᾽ ἐμοὶ δραχμῆς.

885. ἀλλ᾽ οὐκ ἂν ἔστι. Perperam vulgo ἀλλ᾽ οὐκ ἔνεστι. Vide Toupium ad Suidam in fine T. ii. Nubium versum, quem eundem ad modum emendat, nos aliter legimus. ἂν potentiale cum præsente etiam indicativi construitur. Noster Av. 1069.

ἑρπετά τι καὶ δάκεθ᾽, ὁπόσα περ ἂν
ἔστιν, ὑπ᾽ ἐμᾶς πτέρυγος
ἐν φοναῖς ὄλλυται.

quocunque esse possint numero: et hic; *sed anulus esse non possit adversus sycophantæ morsum*. Nub. 395. ἀλλ᾽ ὁ κεραυνὸς πόθεν ἂν φέρεται; *undenam venire possit?* Hunc autem versum Chremylo recte tribuit cod. meus. In tribus Regiis famulo adscriptus est.

Huic versui, ut et 889. præfixa in cod. Carionis persona.

886. ἆρ᾽ οὐχ ὕβρις ταῦτ᾽ ἐστὶ πολλή; Vulgo pessumdato metro, ἆρ᾽ οὐχ ὕβρις πολλὴ ταῦτ᾽ ἐστι;

889. Hic versus in tribus Regiis famulo tributus: melius in meo Chremylo.

Συ. ἀπὸ τῶν ἐμῶν γὰρ, ναὶ μὰ Δαί, δειπνήσετον.
Χρ. ὡς δὴ 'π' ἀληθείᾳ, σὺ μετὰ τοῦ μάρτυρος
διαῤῥαγείης, μηδενὸς ἐμπεπλησμένος.
Συ. ἀρνεῖσθον; ἔνδον ἐστὶν, ὦ μιαρωτάτω,
πολὺ χρῆμα τεμαχῶν καὶ κρεῶν ὠπτημένων.
ὒ ὖ, ὒ ὖ, ὒ ὖ, ὒ ὖ, ὒ ὖ, ὒ ὖ.
Χρ. κακόδαιμον, ὀσφραίνει τι;
Δι. τοῦ ψύχους γ' ἴσως
ἐπεὶ τοιοῦτόν γ' ἀμπέχεται τριβώνιον.
Συ. ταῦτ' οὖν ἀνάσχετ' ἐστὶν, ὦ Ζεῦ καὶ θεοὶ,
τούτους ὑβρίζειν εἰς ἔμ'; οἴμ', ὡς ἄχθομαι,
ὅτι χρηστὸς ὢν καὶ φιλόπολις, πάσχω κακῶς.
Χρ. σὺ φιλόπολις καὶ χρηστός;
Συ. ὡς οὐδείς γ' ἀνήρ.
Χρ. καὶ μὴν ἐπερωτηθεὶς ἀπόκριναί μοι.
Συ. τὸ τί;
Χρ. γεωργὸς εἶ;
Συ. μελαγχολᾷν μ' οὕτως οἴει;
Χρ. ἀλλ' ἔμπορος;

891. Hi versus vulgo Justo tribuuntur, consentientibus duobus Regiis: in B. famulo adscripti sunt: in meo Chremylo.

892. Scriptum in cod. μηδενός γ' ἐμπεπλησμένος. Sic est etiam in membr. nec aliter in C. scriptum esse opinor. Non temere inserta comparet illa particula γε. Scripserat Comicus:

διαῤῥαγείης, μηδενός γ' ἐμπλήμενος.

Librarius hic, ut sæpe alias, ἐμπλήμενος mutavit in ἐμπεπλησμένος. Vide not. ad Conc. 56.

895. Sexies repetita olfaciendi interjectio ὒ ὖ perperam vulgo et contra metri rationem duplici circumflexo notatur: prima brevis est, altera longa.

896. κακόδαιμον — Verba hæc tres Regii hero tribuunt, melius quam meus, qui ea, ut impressi, famulo adscribit.

897. ἐπεὶ τοιοῦτόν γ' ἀμπέχεται. Particulam γε in membr. eleganter insertam recepi. Si minus placeat, delenda est etiam in sup. v. Neutram agnoscit C. priorem habent tres alii: posteriorem solæ membr. Verba hæc in A. C. famulo tributa: in B. D. ut in impressis, Justo.

901. In toto hoc diverbio, quæ vulgo Justo tribuuntur, meus et B. Chremylo adscribunt; quam personarum distinctionem decoro congruam et veteris codicis auctoritate confirmatam non probare solum, sed et reponere debebat Hemsterhusius. Vide eruditissimi viri notam p. 292.—ὡς οὐδείς γ' ἀνήρ. Particulam, quæ vulgo abest, hic rursus insertam exhibent membr.

Quæ ab hoc versu Chremylo tribuimus, in cod. Justo adscripta sunt.

904. A muneribus publicis mercato-

Συ. ναὶ, σκήπτομαί γ', ὅταν τύχω.
Χρ. τί δαί; τέχνην τιν' ἔμαθες.
Συ. οὐ μὰ τὸν Δία.
Χρ. πῶς οὖν διέζης, ἢ πόθεν, μηδὲν ποιῶν;
Συ. τῶν τῆς πόλεώς εἰμ' ἐπιμελητὴς πραγμάτων,
καὶ τῶν ἰδίων πάντων.
Χρ. σύ; τί παθών;
Συ. βούλομαι.
Χρ. πῶς οὖν ἂν εἴης χρηστὸς, ὦ τοιχωρύχε,
εἴ, σοι προσῆκον μηδὲν, εἶτ' ἀπεχθάνει;
Συ. οὐ γὰρ προσήκει τὴν ἐμαυτοῦ μοι πόλιν
εὐεργετεῖν μ', ὦ κέπφε, καθ' ὅσον ἂν σθένω;
Χρ. εὐεργετεῖν οὖν ἐστι τὸ πολυπραγμονεῖν;
Συ. τὸ μὲν οὖν βοηθεῖν τοῖς νόμοις τοῖς κειμένοις,
καὶ μὴ 'πιτρέπειν, ἐάν τις ἐξαμαρτάνῃ.
Πρ. οὐκοῦν δικαστὰς ἐξεπιτηδὲς ἡ πόλις
ἄρχειν καθίστησιν;
Συ. κατηγορεῖ δὲ τίς;
Χρ. ὁ βουλόμενος.
Συ. οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
ὥστ' εἰν ἔμ' ἥκει τῆς πόλεως τὰ πράγματα.
Χρ. νὴ Δία, πονηρόν γ' ἄρα προστάτην ἔχει.
ἐκεῖνο δ' οὐ βούλοι' ἂν, 'συχίαν ἔχων,
ζῆν ἀργός;
Συ. ἀλλὰ προβατίου βίον λέγεις,

res Athenis immunes erant, ob operam quam præstabant invehendo frumento. Ideo Sycophanta hic dicit mercaturam se causari, si quando usus veniat. Facete adolescens in Concion. quem anus ut secum concumbat cogere vult, ait v. 1027. *ἀλλ' ἔμπορος εἶναι σκήψομαι.*

908. *βούλομαι, volo.* Publica crimina cuilibet licebet Athenis exsequi; quod notum e solemni legum formula, quæ toties apud oratores occurrit, ut: *ἀπογραφέτω δὲ τὸν μὴ ποιοῦντα ταῦτα ὁ βουλόμενος. δοκιμασίαν μὲν ἐπαγγειλάτω Ἀθηναίων ὁ βουλόμενος.* Hinc jocus qui mox sequitur.

912. Cod. *εὐεργετεῖν, ὦ*—omisso pronomine.

913. *τὸ πολυπραγμονεῖν, male curiosum, ardelionem esse:* idem ac *πολλὰ πράττειν*, Ran. 749.

εἰ μὴ φανεῖται διατριβή τις τῷ βίῳ.
Χρ. οὐδ' ἂν μεταμάθοις;
Συ. οὐδ' ἂν, εἰ δοίης γ' ἐμοὶ
τὸν Πλοῦτον αὐτὸν, καὶ τὸ Βάττου σίλφιον.
Χρ. κατάθου ταχέως θοἰμάτιον.
Κα. οὗτος, σοὶ λέγει.
Χρ. ἔπειθ' ὑπόλυσαι.
Κα. ταῦτα πάντα σοὶ λέγει.
Συ. καὶ μὴν προσελθέτω πρὸς ἔμ' ὑμῶν ἐνθαδὶ
ὁ βουλόμενος.
Κα. οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
Συ. οἴμοι τάλας, ἀποδύομαι μεθ' ἡμέραν.
Κα. σὺ γὰρ ἀξιοῖς τἀλλότρια πράττων ἐσθίειν.
Συ. ὁρᾷς ἃ ποιεῖ; ταῦτ' ἐγὼ μαρτύρομαι.
Χρ. ἀλλ' οἴχεται φεύγων, ὃν ἦγες μάρτυρα.
Συ. οἴμοι περιείλημμαι μόνος.
Κα. νυνὶ βοᾷς;
Συ. οἴμοι μάλ' αὖθις.
Κα. δὸς σύ μοι τὸ τριβώνιον,
ἵν' ἀμφιέσω τὸν συκοφάντην τουτονί.
Δι. μὴ δῆθ'· ἱερὸν γάρ ἐστι τοῦ Πλούτου πάλαι.
Κα. ἔπειτα ποῦ κάλλιον ἀνατεθήσεται,
ἢ περὶ πονηρὸν ἄνδρα καὶ τοιχωρύχον;
Πλοῦτον δὲ κοσμεῖν ἱματίοις σεμνοῖς πρέπει.
Δι. τοῖς δ' ἐμβαδίοις τί χρήσεταί τις; εἴπ' ἐμοί.
Κα. καὶ ταῦτα πρὸς τὸ μέτωπον αὐτίκα δὴ μάλα,
ὥσπερ κοτίνῳ, προσπατταλεύσω τουτῳΐ.
Συ. ἄπειμι· γιγνώσκω γὰρ ἥττων ὢν πολὺ

927. ταῦτα πάντα. Sic membr. concinnius quam πάντα ταῦτα, quod est in impressis.

932. ὁρᾷς ἃ ποιεῖ. Hoc dicit Sycophanta tanquam ad testem, quem secum adduxerat. Si enim ad Chremylum directus esset hic sermo, dixisset, ὅρα τί ποιεῖς. Perperam vulgo ὁρᾷς ἃ ποιεῖς, quod mendosum esse declaravit Hemsterhusius. Facilis in istis terminationibus librariorum lapsus. Sic Thesm. 809. male φύσεις editum pro φύσει.

944. γιγνώσκω. Sic membr.

ὑμῶν· ἐὰν δὲ σύζυγον λάβω τινὰ,
καὶ σύκινον, τοῦτον τὸν ἰσχυρὸν θεὸν
ἐγὼ ποιήσω τήμερον δοῦναι δίκην,
ὅτι καταλύει περιφανῶς, εἷς ὢν μόνος,
τὴν δημοκρατίαν, οὔτε τὴν Βουλὴν πιθὼν
τὴν τῶν πολιτῶν, οὔτε τὴν ἐκκλησίαν.

Δι. καὶ μὴν, ἐπειδὴ τὴν πανοπλίαν τὴν ἐμὴν
ἔχων βαδίζεις, εἰς τὸ βαλανεῖον τρέχε·
ἔπειτ᾽ ἐκεῖ κορυφαῖος ἑστηκὼς, θέρου.
κἀγὼ γὰρ εἶχον τὴν στάσιν ταύτην ποτέ.

Χρ. ἀλλ᾽ ὁ βαλανεὺς ἕλξει θύραζ᾽ αὐτὸν, λαβὼν
τῶν ὀρχιπέδων· ἰδὼν γὰρ αὐτὸν, γνώσεται,
ὅτι ἔστ᾽ ἐκείνου τοῦ πονηροῦ κόμματος.
νὼ δ᾽ εἰσίωμεν, ἵνα προσεύξῃ τὸν θεόν.

Χο. (λείπει ἡ τοῦ Χοροῦ ᾠδή.)

ΓΡΑΥΣ, ΧΟΡΟΣ, ΧΡΕΜΥΛΟΣ, ΝΕΑΝΙΑΣ.

Γρ. ΑΡ᾽, ὦ φίλοι γέροντες, ἐπὶ τὴν οἰκίαν

946. τοῦτον τὸν ἰσχυρὸν θεόν. Sic recte tres Regii, ut legendum esse monuerat Bentleius, cui morem gessit Hemsterhusius. Vulgo inverso ordine et profligato metro, τὸν ἰσχυρὸν τοῦτον θεόν.—Ad verba καὶ σύκινον, vetus hoc est scholion : χαῦνον φυτὸν ἡ συκῆ. καὶ διὰ τοῦτο ἔστι παροιμία· Συκίνη ἐπικουρία, ἀντὶ τοῦ ἀσθενὴς, καὶ ἀνωφελής. Quæ istis subjecta in vulgatis scholiis leguntur, multo sunt recentiora, et ut quod sentio aperte profitear, inepta. Nullam enim ad nomen συκοφάντης allusionem hic reperire possis, nisi fingas eum qui loquitur semetipsum sugillare voluisse : σύκινος σύζυγος opponitur ἰσχυρῷ θεῷ. Hoc satis argutum est, nec aliud quærendum.

955. Huic versui in meo codice recte præfixa persona Chremyli.

957. ὅτι ἔσ᾽—Sic bene membr. Vulgo ὅτ᾽ ἔσ᾽—In C. ὡς ἔσ᾽—

958. προσεύξῃ τὸν θεόν. In B. τῷ θεῷ.

959. Hæc, ut pleraque hujus dramatis, manifesto sunt e Pluto priore, in quo Chorus suas agebat partes. Chremylus abducto secum Viro Justo domum ingressus fuerat : solus erat in scena Chorus, canticumque canebat. Supervenit anus, quæ scire cupiens ubinam habitaret novus Deus, nullos alios, quam Chori personas percunctari poterat. Male Hemsterhusius verba ὦ φίλοι γέροντες ad Chremylum et Justum Virum refert, versuique 962. Chremyli personam præponit. Sic quidem est in B. At verius tres alii duos illos versus Choro tribuunt. In scenam non prodit amplius Vir Justus. In C. textui inserta παρεπιγραφὴ, sic : Γραῦς τίς φησι πρὸς τὸν Χορόν. Γραῦς. ἆρ᾽ ὦ φίλοι γέροντες.

ἀφίγμεθ' ὄντως τοῦ νέου τούτου θεοῦ,
ἢ τῆς ὁδοῦ τοπαράπαν ἡμαρτήκαμεν;

Χρ. ἀλλ' ἴσθ' ἐπ' αὐτὰς τὰς θύρας ἀφιγμένη,
ὦ μειρακίσκη· πυνθάνει γὰρ ὡρικῶς.

Γρ. φέρε νυν, ἐγὼ τῶν ἔνδοθεν καλέσω τινά.

Χρ. μὴ δῆτ'· ἐγὼ γὰρ αὐτὸς ἐξελήλυθα.
ἀλλ' ὅ τι μάλιστ' ἐλήλυθας, λέγειν σ' ἐχρῆν.

Γρ. πέπονθα δεινὰ καὶ παράνομ', ὦ φίλτατε.
ἀφ' οὗ γὰρ ὁ θεὸς οὗτος ἤρξατο βλέπειν,
ἀβίωτον εἶναί μοι πεποίηκε τὸν βίον.

Χρ. τί δ' ἔστιν; ἦπου καὶ σὺ συκοφάντρια
ἐν ταῖς γυναιξὶν ἦσθα;

Γρ. μὰ Δί' ἐγὼ μὲν οὔκ.

Χρ. ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι;

Γρ. σκώπτεις· ἐγὼ δὲ κατακέκνησμαι δείλακρα.

Χρ. οὔκουν ἐρεῖς ἀνύσασα τὸν κνησμὸν τίνα;

Γρ. ἄκουε νῦν. ἦν μοι τι μειράκιον φίλον,
πενιχρὸν μὲν, ἄλλως δ' εὐπρόσωπον, καὶ καλὸν,
καὶ χρηστόν. εἰ γάρ του δεηθείην ἐγὼ,
ἅπαντ' ἐποίει κοσμίως μοι καὶ καλῶς·
ἐγὼ δὲ ἐκείνῳ ταὐτὰ πάνθ' ὑπηρέτουν.

Χρ. τί δ' ἦν, ὅ τι σου μάλιστ' ἐδεῖθ' ἑκάστοτε;

964. τῶν ἔνδοθεν. Sic iv. codd. recte. Perperam impressi τῶν ἔνδοθι. Sic supra v. 228. τῶν ἔνδοθέν τις εἰσενεγκάτω λαβών.—καλέσω. Sic codd. Mallem hic etiam καλῶ. Vide ad Ran. 298. et ad Lys. 851.

966. λέγειν σ' ἐχρῆν. Sic B. recte. In C. λέγειν σε χρή. Vulgo pronomen omissum. Vide notam ad v. 432. et 624. ubi eodem modo peccatum fuerat.

972. Scholion Ms. ἴδιον εἰπεῖν, Ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι, ὡς ἔμπροσθεν τὴν ἱστορίαν εἴπομεν εἰς τὸ, Ἐν τῇ σορῷ νυνὶ λαχὼν τὸ γράμμα σου. ὁ δὲ διαβάλλων αὐτὴν ὡς μέθυσον, φησίν· Ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι.

973. κατακέκνησμαι, et v. seq. κνησμόν. Scripturam hanc alteri per ι prætuli ad membranarum fidem, itemque Eustathii. Sic ille ad Ἰλ. λ'. pag. 872. l. 5. τοῦ δέ γε κνίζειν χρῆσις παρά τε ἄλλοις καὶ παρὰ τῷ Κωμικῷ, ἔνθα παίζων παρηχεῖ τὸν διὰ τοῦ ἦτα γραφόμενον κνησμὸν ἐκ τοῦ κνίζειν. Hunc locum respicit, ubi saltem κνησμὸν legebat. Utro modo scribatur, parum interest.

979. Vulgo legitur πάντα ταῦθ'. Concinnius in membr. ταῦτα πάνθ'—Sed pro ταῦτα sententia flagitat ταὐτὰ, id est τὰ αὐτὰ, vel κατὰ τὰ αὐτά.

Γρ. οὐ πολλά· καὶ γὰρ ἐκνομίως μ' ᾐσχύνετο.
ἀλλ' ἀργυρίου δραχμὰς ἂν ᾔτησ' εἴκοσιν
εἰς ἱμάτιον· ὀκτὼ δ' ἂν εἰς ὑποδήματα·
καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον
ἐκέλευσεν ἄν, τῇ μητρί θ' ἱματίδιον·
πυρῶν τ' ἂν ἐδεήθη μεδίμνων τεττάρων.
Χρ. οὐ πολλὰ τοίνυν, μὰ τὸν Ἀπόλλω, ταῦτά γε
εἴρηκας· ἀλλὰ δῆλον, ὅτι σ' ᾐσχύνετο.
Γρ. καὶ ταῦτα τοίνυν οὐχ ἕνεκεν μισητίας

983. εἰς ἱμάτιον. Inutilem particulam γε vulgo subjungunt, ἱμάτιόν γ'— Eam nullus agnoscit Regiorum. Qui versui fulcrum hoc addidit librarius, arbitrabatur primam in ἱμάτιον corripi, quæ producitur semper. Vide supra 530. 540. Thesm. 656. Ran. 1061. Eadem prosodiæ ignorantia occasionem dedit pervertendæ sententiæ in versu abhinc secundo.

984. χιτώνιον. In B. χιτώνια, ex inutili librarii emendatione ob præcedens ἀδελφαῖς. De hoc nomine quædam lectu digna habet Eustathius, quæ describere eo minus pigebit, quod in eis Comici versum proferat, quem in fragmentis omissum fuisse credo. Sic ille p. 1166. l. 50. σημείωσαι δὲ ὅτι περὶ χιτώνων καὶ τοιαῦτα φασὶν οἱ παλαιοί. Χιτὼν, ὁ ζωστὸς καὶ γυναικεῖος· ὁ δὲ ἀνδρεῖος, χιτωνίσκος, ὃ τινὲς ἐπενδύτην· τὸ δὲ βραχὺ, χιτωνισκάριον. χιτώνιον δὲ καὶ χιτωνάριον, λεπτὸν ἔνδυμα γυναικεῖον πολυτελές. Μένανδρος·

λελουμένη γὰρ ἑτέρα, καὶ διαφανὲς
χιτωνάριον ἔχουσα.

Ἀριστοφάνης·

ἐνδὺς τὸ γυναικεῖον τοδὶ χιτώνιον.

985. τῇ μητρί θ' ἱματίδιον. Vulgo τῇ μητρί τε θοἰματίδιον. Articulum respuit sensus et linguæ indoles. Θοἰματίδιον significat *la robe*: ἱματίδιον, *une robe*. Quam perite hic mendam sustulit Dawesius, eandem relinquere non debebam in Nub. v. 179. ubi legendum:

ἐκ τῆς παλαίστρας ἱμάτιον ὑφείλετο.

Si versum hunc conferas cum ejusd. fabulæ v. 1498. intelliges quid intersit inter ἱμάτιον et θοἰμάτιον, seu substantivum definitum per articulum, et indefinitum sine articulo. Ad differentiam inter ἀγαθὸν et τὸ ἀγαθὸν non adtenderunt docti viri, qui Philemonis fragmenta vel ediderunt, vel emendarunt, in versibus e Pyrrho e Stobæo servatis in Floril. Grotii p. 211. quos, quia *Almæ Pacis*, qua nihil est quod nunc bonorum omnium votis magis expetatur, laudes continent, emendatos hic subjungam:

οἱ φιλόσοφοι ζητοῦσιν, ὡς ἀκήκοα,
περὶ τοῦτό τ' αὐτοῖς πολὺς ἀναλοῦται
χρόνος,
τί τἀγαθόν ἐστι· κοὐδὲ εἷς εὕρηκέ πω,
τί ἐστιν. ἀρετὴν καὶ φρόνησίν φασι, καὶ
λέγουσι πάντα μᾶλλον, ἢ τί τἀγαθόν.
ἐν ἀγρῷ διατρίβων, τήν τε γῆν σκάπτων
ἐγὼ,
νῦν εὗρον. εἰρήνη 'στιν. ὦ Ζεῦ φίλτατε,
τῆς ἐπαφροδίτου, καὶ φιλανθρώπου θεοῦ.
γάμους, ἑορτὰς, ξυγγενεῖς, παῖδας, φίλους,
πλοῦτον, ὑγίειαν, σῖτον, οἶνον, ἡδονὴν
αὐτὴ δίδωσι. ταῦτα πάντ' ἂν ἐκλίπῃ,
τέθνηκε κοινῇ πᾶς ὁ τῶν ζώντων βίος.

989. οὐχ ἕνεκεν μισητίας. In iv. codd. scriptum μισγητίας; Gl. μίξεως, πορνείας: quod ineptum est. μισητίας legebat Eustathius, sed perperam interpretabatur, significationem huic nomini tribuens, quam non admittit hujus loci sententia.

αἰτεῖν μ' ἔφασκεν, ἀλλὰ φιλίας οὕνεκα,
ἵνα τοὐμὸν ἱμάτιον φορῶν, μεμνῇτό μου.
Χρ. λέγεις ἐρῶντ' ἄνθρωπον ἐκνομιώτατα.
Γρ. ἀλλ' οὐχὶ νῦν γ' ὁ βδελυρὸς ἔτι τὸν νοῦν ἔχει
τὸν αὐτόν· ἀλλὰ πολὺ μεθέστηκεν πάνυ.
ἐμοῦ γὰρ αὐτῷ τὸν πλακοῦντα τουτονὶ,
καὶ τἄλλα τἀπὶ τοῦ πίνακος τραγήματα
ἐπόντα πεμψάσης, ὑπειπούσης θ', ὅτι
εἰς ἑσπέραν ἥξοιμι - - -
Χρ. τί σ' ἔδρασ'; εἶπ' ἐμοί.
Γρ. ἄμητα προσαπέπεμψεν ἡμῖν τουτονὶ,
ἐφ' ᾧ τ' ἐκεῖσε μηδέποτέ μ' ἐλθεῖν ἔτι,

Sic ille ad Odyss. κ'. p. 1640. extrema. *αὐτὸ δέ γε τὸ μισεῖν, καινότερον ἐπὶ τοῦ ἐχθραίνειν τεθὲν, ἡ κωμικὴ σεμνότης ἐπὶ μίξεων ἔθετο ἀσέμνων. Ἀριστοφάνης γοῦν μισητίαν ἐπὶ καταφερείας ἔφη, ἤγουν ῥοπῆς ἀσχέτου τῆς περὶ μίξεις.* Rursus occurrit istud nomen in Av. v. 1620.

ἐάν τις ἀνθρώπων ἱερεῖόν τῳ θεῶν
εὐξάμενος, εἶτα διασοφίζηται λέγων,
ΜΕΝΕΤΟΙ ΘΕΟΙ, *καὶ μὴ 'ποδιδῷ, μισητίαν,*
ἀναπράξομεν καὶ ταῦτα.

ubi Scholiastes, post inepta quædam, ex Eustathii loco citato supplenda, veram dubitabundus profert interpretationem: *μήποτε μέντοι γενικώτερόν ἐστιν ἀπληστία, ὃ καὶ νῦν ἐμφαίνεται.* Hoc etiam in loco *ἀπληστίαν* libidinosæ mulieres *μισῆται* appellantur, ut in hoc versu quem profert Eustathius:

περὶ σφυρὸν παχεῖα μισήτη γυνή.

Et in hoc Cratini, qui est apud Hesychium:

μισῆται δὲ γυναῖκες ὀλίσβοισι χρήσονται.

Nihil hoc nomen cum verbo *μίσγειν* commune habet, nec ab eo derivatur. *μισγητία* vox est nihili, ab imperitis librariis conficta, quamque non agnoscit græcus sermo. De postremo *μισήτη* vide Valckenarii elegantes in Ammonium animadversiones, ii. 18.

991. *μεμνῇτο.* Præteritum optativi. Vide not. ad Lys. 253. In B. *μεμνεῖτο.*

993. Vulgo sic legitur hic versus:

ἀλλ' οὐχὶ νυνί γ' ὁ βδελυρὸς τὸν νοῦν ἔχει.

In B. D. *ἀλλ' οὐχὶ νῦν γ' ὁ βδελυρὸς τὸν νοῦν ἔχει.* Sic etiam membr. nisi quod post *νῦν* particula *γε* in iis omissa, quam expunxisse vellem. Demum in C. ut in Orviliiano:

ἀλλ' οὐχὶ νῦν ὁ βδελυρὸς ἔτι τὸν νοῦν ἔχει.

994. *μεθέστηκεν.* Gl. *μετετέθη τῆς διαθέσεως, μετηλλάγη.*

997. *ὑπειπούσης* nihil aliud significat, quam *προειπούσης,* eandem potestatem habente in hoc composito præpositione, quam in *ὑπᾴδειν,* Ran. 874. nec ullam aliam significationem sententia admittit. Ineptam interpretationem retinuimus, *et subindicassem.* Verti debebat: *et prædixissem ad vesperum me venturam.*

999. *ἄμητα προσαπέπεμψεν ἡμῖν τουτονί.* Vulgo *ἄμητά τι προσέπεμψεν.* Copulam nullus agnoscit codicum, qui pariter omnes habent, *ἄμητα προσέπεμψεν.* Veram lectionem servavit auctor Etymol. M. in *ἄμης.* p. 83.

καὶ πρὸς ἐπὶ τούτοις εἶπεν ἀποπέμπων, ὅτι
ΠΑΛΑΙ ΠΟΤ' ΗΣΑΝ ΑΛΚΙΜΟΙ ΜΙΛΗΣΙΟΙ.

Χρ. δῆλον ὅτι τοὺς τρόπους τις οὐ μοχθηρὸς ἦν.
ἔπειτα πλουτῶν, οὐκέθ' ἥδεται φακῇ·
πρότου δ' ὑπὸ τῆς πενίας ἅπαντ' ἐπήσθιε.

Γρ. καὶ μὴν πρότου γ' ὁσημέραι, νὴ τὼ θεώ,
ἐπὶ τὴν θύραν ἐβάδιζεν αἰεὶ τὴν ἐμήν.

Χρ. ἐπ' ἐκφοράν;

Γρ. μὰ Δί', ἀλλὰ τῆς φωνῆς μόνον
ἐρῶν ἀκοῦσαι.

Χρ. τοῦ λαβεῖν μὲν οὖν χάριν.

Γρ. καί, νὴ Δί', εἰ λυπουμένην γ' αἴσθοιτό με,
νηττάριον ἂν καὶ φάττιον ὑπεκορίζετο.

Χρ. ἔπειτ' ἴσως ᾔτησ' ἂν εἰς ὑποδήματα;

Γρ. μυστηρίοις δὲ τοῖς μεγάλοις ὀχουμένην
ἐπὶ τῆς ἁμάξης ὅτι προσέβλεψέν με τις,
ἐτυπτόμην διὰ τοῦθ' ὅλην τὴν ἡμέραν.
οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν.

Χρ. μόνος γὰρ ἥδεθ', ὡς ἔοικεν, ἐσθίων.

Γρ. καὶ τάς γε χεῖρας παγκάλας ἔχειν μ' ἔφη.

1005. *ἅπαντ' ἐπήσθιε.* Vulgo *ἅπαντα κατήσθιε.* Venustam Toupii conjecturam recepi, quem vide ad Suidam iii. 272. Elegans usus est præpositionis *ἐπὶ* cum verbis comedendi, nominibusque cibi et obsonii. Pace 123.

κολλύραν μεγάλην, καὶ κόνδυλον ὄψον
ἐπ' αὐτῇ.

Acharn. 835.

παίειν ἐφ' ἁλὶ τὰν μάδδαν, αἴκα τις
διδῷ.

Supra 628. *μεμυστιλημένοι ἐπ' ὀλιγίστοις ἀλφίτοις.* Eadem hic est vis præpositionis in composito *ἐπήσθιε.*

1008. *ἐκφοράν.* Gl. *ἐνταφιασμόν.*

1011. *νηττάριον ἂν καὶ φάττιον ὑπεκορίζετο.* Sic optime Bentleius, cui præluxerat Tan. Faber ad Lucretium iv. 1164. Nihil mendosius vulgata lectione *νιτάριον ἂν καὶ βάτιον*, quæ absurdissimas peperit interpretationes. In meo scriptum *νιττάριον*: in C. *αἴσθοιτο μὲν ἠτάριον*, superscripto *ι* primæ literæ postremæ vocis.

1012. *ἔπειτ' ἴσως ᾔτησ' ἂν εἰς ὑποδήματα.* Sic optime duo Regii. Ipsa sunt vetulæ verba, v. 983. quæ facete ei regerit Chremylus. In meo *ᾔτησεν ἂν εἰς ὑ*—quod eodem redit. Minus bene in membr. *ᾔτησεν εἰς ὑ*—omisso *ἄν*. Male vulgo *ἔπειτ' ἴσως ᾔτησεν ἄν σ' ὑποδήματα.*

1018. *παγκάλας.* Sic membr. Vulgo *παγκάλους.*

Χρ. ὁπότε προτείνειάν γε δραχμὰς εἴκοσιν.
Γρ. ὄζειν τε τῆς χρόας ἔφασκεν ἡδύ με.
Χρ. εἰ Θάσιον ἐνέχεις, εἰκότως γε, νὴ Δία.
Γρ. τὸ βλέμμα δ᾽ ὡς ἔχοιμι μαλακὸν καὶ καλόν.
Χρ. οὐ σκαιὸς ἦν ἄνθρωπος· ἀλλ᾽ ἠπίστατο
γραὸς καπρώσης τἀφόδια κατεσθίειν.
Γρ. ταῦτ᾽ οὖν ὁ θεὸς, ὦ φίλ᾽ ἄνερ, οὐκ ὀρθῶς ποιεῖ,
φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις ἀεί.
Χρ. τί γὰρ ποιήσει, φράζε, καὶ πεπράξεται.
Γρ. ἀναγκάσαι δίκαιόν ἐστι, νὴ Δία,
τὸν εὖ παθόνθ᾽ ὑπ᾽ ἐμοῦ, πάλιν μ᾽ ἀντευποιεῖν·
ἢ μηδ᾽ ὁτιοῦν ἀγαθὸν δίκαιος ἔστ᾽ ἔχειν.

1019. ὁπότε προτείνειάν γε δραχμὰς εἴκοσιν. Sic membr. Vulgo προτείνοιεν. Mendose in C. προτείνειεν. Non alium apud Comicum versum esse credo, in quo nominis δραχμὴ prior producatur. Alterum in Pace 1201. quem unicum esse credebat Dawesius, emendavimus. Forte hic olim legebatur :

ὁπότε προτείνειαν τάχα δραχμὰς εἴκοσιν.

1020. ὄζειν τε τῆς χρόας ἔφασκεν ἡδύ με. Vulgo constructione admodum intricata, si modo aliqua est, ἡδύ μου. Si pronomen in genitivo sit, nomen a quo pendet debet esse in accusativo, quod diu ante Hemsterhusium intellexit librarius, cujus manu descriptus fuit cod. C. In eo enim exstat : ὄζειν δὲ τὰς χρόας ἔφασκεν ἡδύ μου. Sed ad aliam lectionem refertur glossa, ὀσμὴν ἐξιέναι ἀπὸ τοῦ σώματος, scilicet ad eam, quam reposuimus: καὶ ἔφασκεν ὄζειν με ἡδὺ τῆς χρόας. Verbum ὄζω neutrum construitur cum genitivo partis illius quæ odorem emittit, per ellipsin præpositionis ἀπό. Acharn. 852. ὄζων κακὸν τῶν μασχάλων. Ineptum fuisset addere ἑαυτῶ, ut nec additur in his Pherecratis versibus apud Athenæum p. 159. F.

μή μοι φάκους μὰ τὸν Δί᾽· οὐ γὰρ ἥδομαι.
ἢν γὰρ τράγῃ τις, τοῦ στόματος ὄζει κακόν.

Concion. 524. εἰ τῆς κεφαλῆς ὄζω μύρου. Non vero τῆς κεφαλῆς μου. Quo in exemplo vides ὄζειν construi etiam cum altero genitivo odoris, seu nominis quod odoris speciem definit. Confer Lys. 616. 663. 687. Alibi ὄζει impersonale est, itidemque cum duobus genitivis construitur, ut Pace 529. Vesp. 1058.

1022. τὸ βλέμμα δ᾽ ὡς—Sic A. B. D. Vulgo τὸ βλέμμα θ᾽ ὡς—

1030. Sic vulgo legitur hic versus :

ἢ μηδ᾽ ὁτιοῦν δίκαιον ἀγαθὸν ἔστ᾽ ἔχειν.

Intricatior obscuriorque structura, quam ut in ea poëtæ manum agnoscas. Nil tamen discrepabant quos contuleram tres codd. Vero propius accedit Hemsterhusii conjectura : ἢ μηδ᾽ ὁτιοῦν ἀγαθὸν δίκαιον ἔστ᾽ ἔχειν. Quam verborum collocationem vulgata meliorem demum reperio in C. Sed pro δίκαιον dubium non est quin scripserit poëta multo elegantius δίκαιος :

ἢ μηδ᾽ ὁτιοῦν δίκαιος ἀγαθὸν ἔστ᾽ ἔχειν.

Nub. 1283.

πῶς οὖν ἀπολαβεῖν τἀργύριον δίκαιος εἶ;

1434.

—ἐπεὶ σὲ μὲν δίκαιός εἰμ᾽ ἐγὼ κολάζειν.

Eurip. Supplic. 188.

ἐγὼ δίκαιός εἰμ᾽ ἀφηγεῖσθαι τάδε.

Χρ. οὐκοῦν καθ' ἑκάστην ἀπεδίδου τὴν νύκτα σοι;
Γρ. ἀλλ' οὐδέποτέ με ζῶσαν ἀπολείψειν ἔφη.
Χρ. ὀρθῶς γε· νῦν δέ γ' οὐκέτι ζῆν σ' οἴεται.
Γρ. ὑπὸ τοῦ γὰρ ἄλγους κατατέτηκ', ὦ φίλτατε.
Χρ. οὔκ· ἀλλὰ κατασέσηπας, ὥς γ' ἐμοὶ δοκεῖς.
Γρ. διὰ δακτυλίου μὲν οὖν ἐμέ γ' ἂν διελκύσαις.
Χρ. εἰ τυγχάνοι γ' ὁ δακτύλιος ὢν τηλία.
Γρ. καὶ μὴν τὸ μειράκιον τοδὶ προσέρχεται,
οὗπερ πάλαι κατηγοροῦσα τυγχάνω·
ἔοικε δ' ἐπὶ κῶμον βαδίζειν.
Χρ. φαίνεται.
στέφανόν γέ τοι καὶ δᾷδ' ἔχων πορεύεται.

Heracl. 143.

—δίκαιοι δ' ἐσμὲν, οἰκοῦντες πόλιν,
αὐτοὶ καθ' αὑτῶν κυρίους κραίνειν δίκας.

Nihil apud quosvis scriptores hac constructione frequentius.

1037. εἰ τυγχάνοι γ'—Vulgo εἰ τυγχάνει, KUSTERUS: *Potius εἰ τυγχάνοι in modo optativo.* HEMSTERHUSIUS: *τυγχάνοι cur mallet* Kusterus, *causa non erat: utrumvis æque ex usu linguæ græca ponere licebat.* Mira observatio! Si quid ex usu scriptorum Atticorum compertum habeo, illud est, τυγχάνει hic plane solœcum esse. εἰ conditionale cum optativo semper construitur, quando in altero membro præcedit vel sequitur verbum ejusdem modi cum particula ἄν: nec aliter usquam Comicus. Lys. 111.

ἐθέλοιτ' ἂν οὖν, εἰ μηχανὴν ΕΥΡΟΙΜ' ἐγὼ—

Thesm. 773.

τί δ' ἂν, εἰ ταδὶ τἀγάλματ' ἀντὶ τῶν πλατῶν
γράφων ΔΙΑΡΡΙΠΤΟΙΜΙ;

1221.

ἵτ' ἂν καταλάβοις, εἰ ΔΙΩΚΟΙΣ ταυτηΐ.

Ran. 533.

ἐμοῦ δεηθείης ἂν, εἰ θεὸς ΘΕΛΟΙ.

Ubi vide notam. Ran. 585.

κἂν εἴ γε ΤΥΠΤΟΙΣ μ', οὐκ ἂν ἀντείποιμί σοι.

Quatuor paginas exemplis e solo Aristophane implere possem. Æschyl. S. Th. 405.

εἰ γὰρ θανόντι νὺξ ἐπ' ὀφθαλμοῖς ΠΕΣΟΙ,
τῷ τοι φέροντι, σῆμ' ὑπέρκομπον τόδε
γένοιτ' ἂν ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον.

Sophocles Philoct. 1047.

πόλλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τοῦδ' ἔπη,
εἴ μοι ΠΑΡΕΙΚΟΙ.

Nullum est horum verborum optativorum, quod in indicativum modum translatum, orationem solœcam non reddat. Lysias contra Ergoclem p. 818. καὶ γὰρ δεινὸν ἂν εἴη, εἰ νῦν μὲν οὕτως αὐτοὶ πιεζόμενοι ταῖς εἰσφοραῖς, συγγνώμην τοῖς κλέπτουσι καὶ τοῖς δωροδοκοῦσιν ΕΧΟΙΤΕ. In Xenophontis Hierone i. 8. prava est editionum lectio, e Stobæo sic reformanda: καὶ ὁ Σιμωνίδης εἶπεν· ἀλλ' ἐν τοῖσδε διαφέροι ἄν, εἰ πολλαπλάσια μὲν δι' ἑκάστου τούτων ΕΥΦΡΑΙΝΟΙΤΟ, πολὺ δὲ μείω τὰ λυπηρὰ ΕΧΟΙ. Quod ad hunc locum attinet, litem dirimunt duo Regii codd. In B. scriptum εἰ τυγχάνοι γ'—In C. εἰ τυγχάνοι δ' ὁ δακτύλιος τηλία. Glossa ad postremam

Νε. ἀσπάζομαι.
Γρ. τί φησιν;
Νε. ἀρχαία φίλη,
πολιὰ γεγένησαι ταχύ γε, νὴ τὸν οὐρανόν.
Γρ. τάλαιν' ἐγὼ τῆς ὕβρεος, ἧς ὑβρίζομαι.
Χρ. ἔοικε διὰ πολλοῦ χρόνου σ' ὡρακέναι.
Γρ. ποίου χρόνου, τάλανταθ', ὃς παρ' ἐμοὶ χθὲς ἦν;
Χρ. τοὐναντίον πέπονθε τοῖς πολλοῖς ἄρα.
μεθύων γάρ, ὡς ἔοικεν, ὀξύτερον βλέπει.
Γρ. οὔκ· ἀλλ' ἀκόλαστός ἐστιν αἰεὶ τοὺς τρόπους.
Νε. ὦ Ποντοπόσειδον, καὶ θεοὶ πρεσβυτικοί,
ἐν τῷ προσώπῳ τῶν ῥυτίδων ὅσας ἔχει.
Γρ. (ἆ, ἆ·) τὴν δᾶδα μή μοι πρόσφερ'.
Χρ. εὖ μέντοι λέγει.
ἐὰν γὰρ αὐτὴν εἷς μόνος σπινθὴρ λάβῃ,
ὥσπερ παλαιὰν εἰρεσιώνην καύσεται.
Νε. βούλει διὰ χρόνου πρός με παῖσαι;
Γρ. ποῖ, τάλαν;
Νε. αὐτοῦ, λαβοῦσα κάρυα.
Γρ. παιδιὰν τίνα;
Νε. πόσους ἔχεις ὀδόντας;
Χρ. ἀλλὰ γνώσομαι
κἄγωγ'. ἔχει γὰρ τρεῖς ἴσως, ἢ τέτταρας.
Νε. ἀπότισον· ἕνα γὰρ γόμφιον μόνον φορεῖ.
Γρ. ταλάντατ' ἀνδρῶν, οὐχ ὑγιαίνειν μοι δοκεῖς,
πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν.

---

vocem, κοσκίνου κύκλος: in meo κοσκινόγυρος.

1044. τῆς ὕβρεος. Sic vett. editt. recte. Perperam in minoribus Batavis ὕβριος. Atticam formam ὕβρεως codicum consensus contra metri legem tueri non potest. Male eam reposuit Kusterus.

1045. ὡρακέναι. Vulgo, reclamante metro, ἑωρακέναι.

1061. πλυνόν με ποιῶν. Gl. ἐφύβριστον, καταπεπλυμένην ὀνείδεσι καὶ μυκτηρισμοῖς. Pollux vii. 38. καὶ πλυνεὺς δ' ἂν αὐτοὺς εἴποις, καὶ τὸν τόπον πλυνούς. ἀφ' οὗ καὶ τὸ λοιδορεῖν, ΠΛΥΝΕΙΝ. καὶ ΠΛΥΝΟΝ ΜΕ ΠΟΙΕΙΣ ἡ κωμῳδία φησιν, ἤγουν ἐξονειδίζεις, ἢ αἰσχύνεις. Verbum πλύνειν eo sensu occurrit Acharn. 381.

Νε. ὄναιο μέντ' ἄν, εἴ τις ἐκπλύνειέ σε.
Χρ. οὐ δῆτ', ἐπεὶ νῦν μὲν καπηλικῶς ἔχει.
εἰ δ' ἐκπλυνεῖται τοῦτο τὸ ψιμύθιον,
ὄψει κατάδηλα τοῦ προσώπου τὰ ῥάκη.

1062. *μέντ' ἄν.* Sic A. B. recte. Vulgo *μέν γ' ἄν.*

1063. *ἐπεὶ νῦν μὲν*—Sic iv. codd. Vulgo *ἐπεὶ μὲν νῦν.*

1064. *εἰ δ' ἐκπλυνεῖται—ὄψει*—Quia supra de particula *εἰ* cum optativo constructione egi, hujus loci occasione monebo, eam sæpe cum futuro indicativo construi, tumque in redditione sententiæ, alterum verbum etiam in futuro indicativo poni. Solœcismus est in Philemonis versibus e Rhodia apud Stobæum, Floril. Grotii pag. 449.

εἰ πάντες ἀποθανοίμεθ', εἷς μὴ γίνεται
ἃ βουλόμεθα, πάντες ἀποθανοίμεθα.

Dedisset saltem *ἀποθανοίμεθ' ἄν.* Sed e veteri codice legendum:

εἰ πάντες ἀποθανούμεθ', οἷς μὴ γίγνεται
ἃ βουλόμεσθα, πάντες ἀποθανούμεθα.

1065. *τοῦ προσώπου τὰ ῥάκη.* Sic recte iv. codd. Ab imperito homine, sive is librarius fuerit, sive Aldinæ officinæ corrector, fulcrum subditum versui, quo non indigebat, *τοῦ προσώπου γε τὰ ῥάκη.* Eandem particulam insulse inferserunt aliis in Comici nostri versibus, ex ignorantia proprietatis literæ ῥ. In Vesp. 982.

ἐς κόρακας. ὡς οὐκ ἀγαθόν ἐστι τὸ ῥοφεῖν.

Nub. 416.

μήτε ῥιγῶν ἄχθει λίαν, μήτ' ἀριστᾷν ἐπιθυμεῖς.

Vulgo legitur *ἐστί γε τὸ ῥοφεῖν.* et *μήτε γε ῥιγῶν.* Ibid. v. 647. edidi:

ταχύ γ' ἂν δύναιο μανθάνειν περὶ ῥυθμῶν.

ubi vulgo *σὺ περὶ ῥυθμῶν.* Bene tamen in impressis ferebatur v. 344.

κοὐχὶ γυναιξὶν, μὰ Δί' οὐδ' ὁτιοῦν. αὗται δὲ ῥῖνας ἔχουσιν.

in quo mendosos esse plerosque codd. ostendam. In Pace v. 740. bene etiam vulgo legitur:

ἐς τὰ ῥάκια σκώπτοντας ἀεὶ, καὶ τοῖς φθειρσὶν πολεμοῦντας.

At ejusd. fabulæ v. 699. in notissimo versu proverbiali, qui nullibi non recte scriptus occurrit:

κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι.

ineptissime Comici editores articulum inferserunt *ἐπὶ τῆς ῥιπός.* Erudite Parisinus Professor ad Sophoclis Œd. T. versum 866. cujus sinceram scripturam adserueram in nota ad Eurip. Or. 857. observat, *omnes voces ab ῥ incipientes* IN ATTICA DIALECTO *duplicis ῥῥ potestatem habere, quod indubitatæ fidei exemplis probavisse Cl. Dawes, Miscell. Crit. p.* 159. Si, quum illa scriberet, ei ad latus adstitissem, aurem ei vellissem, submonuissemque, ut verba illa IN ATTICA DIALECTO deleret. Nam quicunque græcæ linguæ indolem et dialectorum discrimina novit, is compertum habet, hoc non magis Atticæ dialecti, quam cujusvis alius, proprium esse; nisi forte Theocritus etiam in censum Atticorum poëtarum veniat. Sic enim ille in Adoniazusis 138.

τὰν μὲν Κύπρις ἔχει, τὰν δ' ὁ ῥοδόπαχυς Ἄδωνις.

et in colloquio Daphnidis et puellæ 48.

τί ῥέσδεις, σατυρίσκε; τί δ' ἔνδοθεν ἅψαο μασδῶν;

et in Epigrammate i.

τὰ ῥόδα τὰ δροσόεντα, καὶ ἁ κατάπυκνος ἐκείνα.

Vide Idyll. i. 125. Atticus etiam poëta fuerit Callimachus, cujus hic est versus Epigr. xii.

τὸ τρίτον ἠνίδ' ἔπινε· τὰ δὲ ῥόδα φυλλοβολεῦντα—

Γρ. γέρων ἀνὴρ ὢν, οὐχ ὑγιαίνειν μοι δοκεῖς.
Νε. πειρᾷ μὲν οὖν ἴσως σε, καὶ τῶν τιτθίων
ἐφάπτεταί σου, λανθάνειν δοκῶν ἐμέ.
Γρ. μὰ τὴν Ἀφροδίτην, οὐκ ἐμοῦ γ', ὦ βδελυρὲ σύ.
Χρ. μὰ τὴν Ἑκάτην, οὐ δῆτα· μαινοίμην γὰρ ἄν.
ἀλλ', ὦ νεανίσκ', οὐκ ἐῶ τὴν μείρακα
μισεῖν σε ταύτην.
Νε. ἀλλ' ἔγωγ' ὑπερφιλῶ.
Χρ. καὶ μὴν κατηγορεῖ γέ σου.
Νε. τί κατηγορεῖ;
Χρ. εἶναί σ' ὑβριστὴν φησὶ, καὶ λέγειν, ὅτι
ΠΑΛΑΙ ΠΟΤ' ΗΣΑΝ ΑΛΚΙΜΟΙ ΜΙΛΗΣΙΟΙ.
Νε. ἐγὼ περὶ ταύτης οὐ μαχοῦμαί σοι.
Χρ. τὸ τί;
Νε. αἰσχυνόμενος τὴν ἡλικίαν τὴν σὴν, ἐπεὶ
οὐκ ἄν ποτ' ἄλλῳ τοῦτ' ἐπέτρεπον ποιεῖν·
νῦν δ' ἄπιθι χαίρων, ξυλλαβὼν τὴν μείρακα.
Χρ. οἶδ', οἶδα τὸν νοῦν· οὐκέτ' ἀξιοῖς ἴσως
εἶναι μετ' αὐτῆς.
Γρ. ὁ δ' ἐπιτρέψων ἐστὶ τίς;
Νε. οὐκ ἂν διαλεχθείην διεσπλεκωμένῃ

Scilicet apud poëtas græcos omnes ab Homero inde usque ad Nonnum vocales breves producuntur ante vocem ab ῥ incipientem, idque ex vi hujus literæ, quæ in pronuntiando geminabatur. Vide notam ad v. 51.

1078. οὐκ ἄν ποτ' ἄλλῳ τοῦτ' ἐπέτρεπον ποιεῖν. Secunda in ἐπέτρεπον hic producta est contra artem et Comici usum. Quis dubitet, quin ille scripserit

οὐκ ἄν ποτ' ἄλλῳ τοῦτό γ' ἐπέτρεπον ποιεῖν.

1082. διαλεχθείην. Gl. ὁμιλήσαιμι. Pollux ii. 125. Ὑπερίδης δὲ, διειλεγμένος ἐπὶ ἀφροδισίων. Ἀριστοφάνης δὲ, διαλέξασθαι ἔφη. Hic διαλεχθῆναι, pro ὁμιλῆσαι, μιχθῆναι accipi quidem possit. Non tamen alium sensum Comici animo obversatum fuisse credo, ac Nub. 425. ubi de Diis, quos vulgus hominum colebat, Strepsiades ait:

οὐδ' ἂν διαλεχθείην ἀτεχνῶς τοῖς ἄλλοις, οὐδ' ἂν ἀπαντῶν.

διεσπλεκωμένῃ. Perperam vulgo legitur διεσπεκλωμένῃ. Σπλεκοῦν agnoscit Pollux v. 93. Hesych. σπλεκοῦν, πλησιάζειν, συνουσιάζειν, περαίνειν. In Lys. v. 152. στύοιντ' ἂν ἄνδρες, κἀπιθυμοῖεν σπλεκοῦν. Sic ibi scriptum est in codd.

ὑπὸ μυρίων ἐτῶν γε καὶ τρισχιλίων.
Χρ. ὅμως δ', ἐπειδὴ καὶ τὸν οἶνον ἠξίους
πίνειν, ξυνεκποτέ' ἐστί σοι καὶ τὴν τρύγα.
Νε. ἀλλ' ἔστι κομιδῇ τρὺξ παλαιὰ καὶ σαπρά.
Χρ. οὐκοῦν τρύγοιπος ταῦτα πάντ' ἰάσεται.
Νε. ἀλλ' εἴσιθ' εἴσω· τῷ θεῷ γὰρ βούλομαι
ἐλθὼν ἀναθεῖναι τοὺς στεφάνους τούσδ', οὓς ἔχω.
Γρ. ἐγὼ δέ γ' αὐτῷ καὶ φράσαι τι βούλομαι.
Νε. ἐγὼ δέ γ' οὐκ εἴσειμι.
Χρ. θάῤῥει, μὴ φοβοῦ.
οὐ γὰρ βιάσεται.
Νε. πάνυ καλῶς τοίνυν λέγεις.
ἱκανὸν γὰρ αὐτὴν πρότερον ὑπεπίττουν χρόνον.

Glossa in B. συνουσιάζειν, ἤτοι πλέκεσθαι. Eandem scripturam exhibet princeps editio, πλικοῦν. Zanettus vero, nescio qua auctoritate edidit σπλικοῦν. Si codicis alicujus fidem secutus est, in eo librarii errore, ut in hoc loco, transpositæ erant literæ; debebat scribere σπλικοῦν. Idem autem est πλικοῦν et σπλικοῦν, ut μικρὸς et σμικρὸς, μίλαξ et σμίλαξ, aliaque multa. Glossa ad hunc locum in C. συνουσιασμένη, διεφθαρμένη. Nescio cur Joanni Alberti, Viro eruditissimo, Miscellan. Crit. p. 285. visum fuerit, melius lectum iri διεσπλικουμένη. Sane participium præteriti, non præsentis, requirit sententia. In μυρίων ἐτῶν jocus est ex ambiguo, quia postremum nomen et *annos* et *amicos* significat.

1085. ξυνεκποτέ' ἐστί. Sic bene membr. Tres alii, reclamante metro, συνεκποτέον ἐστι. Eleganter Attici verbalia in τέον numero plurali efferunt, quod observatum fuit Corintho de Dial. Attic. §. lxiii. Lys. 124.

ἀφικτέα τοίνυν ἐστὶν ἡμῖν τοῦ πέους.

411.

ἐμοὶ μὲν οὖν ἴτ' ἐς Σαλαμῖνα πλευστέα.

Acharn. 394.

κἀμοὶ βαδιστέ' ἐστὶν ὡς Εὐριπίδην.

Sophocles Antig. 677.

οὕτως ἀμυντέ' ἐστὶ τοῖς κοσμουμένοις,
κοὔτοι γυναικὸς οὐδαμῶς ἡσσητέα.

Quorum versuum posteriorem imitatus est Noster Lys. 450.

ἀτὰρ οὐ γυναικῶν οὐδέποτ' ἔσθ' ἡττητέα.

Nihil apud Atticos poëtas frequentius.

1087. τρύγοιπος. Glossa: τὸ σακελιστήριον.

1093. ὑπεπίττουν. Tres Regii claudicante metro ἐπίττουν. Sic etiam in meo a prima manu: sed omissam syllabam ὑπ idem librarius superne reposuit. Glossa: ἐγάμουν. Vide Kusteri notam ad Schol. 1082. Hoc exemplo confirmatur observatio quam feci ad Lys. 408. In scholiis codicis C. licet contextus exhibeat ἐπίττουν, legitur: ἐπίττων] συνίεσαν ἐφίλουν, ἐμιγνύμην. πιττῶ δὲ κυρίως ἐστὶ τὸ τὰς ναῦς πίσσῃ χρίω, καὶ τὸ τὰ διεῤῥωγότα τῶν ξύλων ἑνοῦν. Advertas verbum φιλεῖν adhibitum eadem significatione, qua in Ran. emendato versu 543. Vide notam supra p. 230. Formam πιττοῦν Atticis scriptoribus usitatam fuisse ostendit Hemsterhusius: altera πιττᾶν e solis Grammaticis nota.

Γρ. βάδιζ'· ἐγὼ δέ σου κατόπιν εἰσέρχομαι.
Χρ. ὡς εὐτόνως, ὦ Ζεῦ βασιλεῦ, τὸ γρᾴδιον,
ὥσπερ λεπὰς, τῷ μειρακίῳ προσίσχεται.
Χο. (λείπει ἡ τοῦ Χοροῦ ᾠδή.)

ΚΑΡΙΩΝ, ΕΡΜΗΣ, ΙΕΡΕΥΣ ΔΙΟΣ, ΧΡΕΜΥΛΟΣ, ΓΡΑΥΣ, ΧΟΡΟΣ.

Κα. ΤΙΣ ἔσθ' ὁ κόπτων τὴν θύραν; τουτὶ τί ἦν;
οὐδεὶς ἔοικεν· ἀλλὰ δῆτα τὸ θύριον
φθεγγόμενον ἄλλως κλαυσιᾷ.
Ερ. σέ τοι, σέ τοι
λέγω, Καρίων, ἀνάμεινον.

1096. λεπάς. Scholion Ms. in meo cod. Λεπάς ἐστιν εἶδος ὀστρέου, ὅπερ λαβόμενον πέτρας ἐπισχυρίζεται, (in C. ἀπισχυρίζεται) καὶ δυσαποσπάστως ἔχει. καὶ

οὐκ ἄν τις αὐτὸ ῥᾳδίως ἀποσπάσοι,
πρὶν ἄν τι τῆς πέτρας ἀποῤῥήξῃ μέρος.

τοῦτο καὶ ἐπὶ τῶν πολύποδος λέγεται. (in C. γίνεται) Cujusnam sint poëtæ duo illi haud invenusti senarii nescio. In priore male C. habet ἀποσπάσῃ. In posteriore male uterque cod. πρὶν ἂν καὶ τῆς---Meus, ἀποῤῥήξει.

1097. ὁ κόπτων. Non minus bene B. ὁ κόψας. Nub. 133. τίς ἐσθ' ὁ κόψας τὴν θύραν;

1099. ἄλλως. Gl. μή τινος κινοῦντος. μάτην.---κλαυσιᾷ, ἠχεῖ.---σέ τοι, σέ τοι λέγω, Καρίων---In membr. ita constitutus hic locus:

σέ τοι λέγω,
ὁ Καρίων, ἀνάμεινον.—

In C σέ τι λέγω, Καρίων, ἀνάμεινον. Quin membran. lectionem, quæ mihi valde arridebat, tanquam sinceram amplecterer, expuncto altero σέ τοι, obstitit v. 624.

ὦ παῖ Καρίων, τὰ στρώματ' ἐκφέρειν σ' ἐχρῆν.

Nunc meæ me socordiæ piget pudetque. In illo versu edendum erat:

παῖ Καρίων, τὰ στρώματ' ἐκφέρειν σ' ἐχρῆν.

Hic vero poëtæ vera manus restitui sic debuit:

Ἑρμῆς.
σέ τοι λέγω,
ὁ Καρίων, ἀνάμεινον.

Prima in Καρίων necessario producitur, quum servile hoc nomen derivetur a regionis nomine Καρία, unde Κᾶρες, prima in utroque semper producta. In v. 624. iv. codd. exhibent παῖ Καρίων: in nullo comparet ὦ, ne quidem superne scriptum pro signo vocativi, quem glossatorum fuisse morem ad v. 366. observavi. Ad codicum cum impressis discrepantiam non satis adtenderam, Hemsterhusio, cui vulgata lectio suspecta non fuerat, plus, quam par erat, tribuens. Nunc occasione hujus versus, codices qui ad manum sunt rursus adii, et in nullo ὦ παῖ scriptum esse testor. In hoc versu elegans est lectio σέ τοι λέγω, ὁ Καρίων, ἀνάμεινον. Sic sæpe qui famulum vocat articulum addit nomini: vide Ran. 40. 271. 521. quibus in locis nominativus est pro vocativo, quod Atticis solemne est.

Jam si quis Comicorum quæ supersunt reliquias omnes excutiat, nullibi, opinor, nomen illud Καρίων prima cor-

Κα. οὗτος, εἰπ' ἐμοὶ,
σὺ τὴν θύραν ἔκοπτες οὑτωσὶ σφόδρα;
Ερ. μὰ Δί', ἀλλ' ἔμελλον· εἶτ' ἀνέῳξάς, με φθάσας.
ἀλλ' ἐκκάλει τὸν δεσπότην τρέχων ταχὺ,
ἔπειτα τὴν γυναῖκα καὶ τὰ παιδία,
ἔπειτα τοὺς θεράποντας, εἶτα τὴν κύνα,
ἔπειτα σαυτὸν, εἶτα τὴν ὗν.
Κα. εἰπ' ἐμοὶ,
τί δ' ἐστίν;
Ερ. ὁ Ζεὺς, ὦ πόνηρε, βούλεται,
ἐς ταυτὸν ὑμᾶς ξυγκυκήσας τρυβλίον,
ἁπαξάπαντας εἰς τὸ βάραθρον ἐμβαλεῖν.
Κα. ἡ γλῶττα τῷ κήρυκι τούτων τέμνεται.
ἀτὰρ διὰ τί γε ταῦτ' ἐπιβουλεύει ποιεῖν
ἡμᾶς;
Ερ. ὅτιὴ δεινότατα πάντων πραγμάτων,
εἴργασθ'. ἀφ' οὗ γὰρ ἤρξατ' ἐξαρχῆς βλέπειν
ὁ Πλοῦτος, οὐδεὶς οὐ λιβανωτὸν, οὐ δάφνην,
οὐ ψαιστὸν, οὐχ ἱερεῖον, οὐκ ἄλλ' οὐδὲ ἓν
ἡμῖν ἐπιθύει τοῖς θεοῖς.
Κα. μὰ Δί', οὐδέ γε
θύσει. κακῶς γὰρ ἐπεμελεῖσθ' ἡμῶν τότε.
Ερ. καὶ τῶν μὲν ἄλλων μοι θεῶν ἧττον μέλει·
ἐγὼ δ' ἀπόλωλα κἀπιτέτριμμαι.
Κα. σωφρονεῖς.
Ερ. πρότερον γὰρ εἶχον μὲν παρὰ ταῖς καπηλίσι
πάντ' ἀγάθ' ἕωθεν εὐθὺς, οἰνοῦτταν, μέλι,

repta reperiet. In Euphronis Synepheborum fragmento apud Athenæum p. 337. D. duo isti leguntur senarii:

ὅταν ε | ῥανισ | ταις, Κα | ριων | δια | κονης.
εγκεφα | λος ηλ | λοιω το, δυ | δι Κα | ριων.

1105. τὴν κύνα. Perperam in membr. τὸν κύνα.

1117. τότε, *tunc*, scilicet quando ista vobis sacrificia fiebant: seu simpliciter, *olim, antea*. Vide not. ad Lys. 1023. Thesm. 13. Minus bene interpretatur Berglerus: *tunc, quum cæcus esset Plutus.*

1121. οἰνοῦτταν. Scholion. Ms. οἰνοῦτ-

ἰσχάδας, ὅσ' εἰκός ἐστιν Ἑρμῆν ἐσθίειν·
νυνὶ δὲ πεινῶν, ἀναβάδην ἀναπαύομαι.

Κα. οὔκουν δικαίως, ὅστις ἐποίεις ζημίαν
ἐνίοτε, τοιαῦτ' ἀγάθ' ἔχων;

Ερ. οἴμοι τάλας,
οἴμοι πλακοῦντος, τοῦ 'ν τετράδι πεπεμμένου.

Κα. ΠΟΘΕΙΣ ΤΟΝ ΟΥ ΠΑΡΟΝΤΑ ΚΑΙ ΜΑΤΗΝ ΚΑΛΕΙΣ.

Ερ. οἴμοι δὲ κωλῆς, ἧς ἐγὼ κατήσθιον.

Κα. ἀσκωλίαζ' ἐνταῦθα πρὸς τὴν αἰθρίαν.

Ερ. σπλάγχνων τε θερμῶν, ὧν ἐγὼ κατήσθιον.

Κα. ὀδύνη σε πρὸς τὰ σπλάγχν' ἔοικ' ἐπιστρέφειν.

Ερ. οἴμοι δὲ κύλικος ἴσον ἴσῳ κεκραμένης.

Κα. ταύτην ἐπιπιὼν, ἀποτρέχων οὐκ ἂν φθάνοις;

τα μέν ἐστιν ἡ κοινῶς λεγομένη μονοπόπιττα. μελιττοῦττα (vide ad Lys. 601.) *δὲ, ὃ κοινῶς εἰώθασι λέγειν ἀπόθερμον.*

1123. *ἀναβάδην.* Glossæ: *ὕπτιος. τιθέμενος τὸν ἕνα πόδα ἐπάνω τοῦ ἑτέρου.*

1128. *οἴμοι δὲ κωλῆς, ἧς ἐγὼ κατήσθιον.* Vulgo *ἣν*, contra Atticismi rationem et Comici usum. Bene Hemsterhusius, etsi nullo suffragante codice, *ἧς* reposuit. Vide not. ad Thesm. 835. In Vesp. 467.

τῶν νόμων ἡμᾶς ἀπείργεις, ὧν ἔθηκεν ἡ πόλις.

Non *οὓς*—Mox sequitur

σπλάγχνων τε θερμῶν, ὧν ἐγὼ κατήσθιον.

1129. *ἀσκωλίαζ'.* Jocus in paronomasia e nomine *κωλῆ*. De verbi significatione vide Meursium Gr. Fer. in *ἀσκώλια*; et Virgilii interpretes ad illa in Georg. ii.

Atque inter pocula læti
mollibus in pratis unctos saluere per utres.

1132. *ἴσον ἴσῳ κεκραμένης.* Sic bene in codd. scriptum: at in impressis perperam *ἴσον ἴσῳ*: unde sic versum dimetiri necesse est:

οιμοι | δε κωλι | κος ι | σον ισῳ | κεκραμενης.

Quod ad v. 514. recte observaverat Hemsterhusius, miror ad id hoc loco eum non adtendisse, *perquam incommode cadere ἴσον eodem in versu repetitum variata syllabæ quantitate.* Quod etiamsi commode in aliis vocibus fieri posset, tamen in *ἴσον* locum non haberet, cujus semper apud Comicum prima corripitur. Id jam observaverat Bentleius in Menandreis p. 108. Confer not. ad 225.

1133. Aliquid præcipientes, jubentes, verbo *φθάνω* utuntur cum negatione per interrogationem. Sic Euripides Iph. in T. 245.

*χέρνιβας δὲ καὶ κατάργματα
οὐκ ἂν φθάνοις ἂν εὐτρεπῆ ποιουμένη;*

Quod nihil aliud valet, quam *ταχέως εὐτρεπῆ ποιοῦ.* Heracl. 722.

*ὅπλων μὲν ἤδη τήνδ' ὁρᾷς πανοπλίαν·
φθάνοις δ' ἂν οὐκ ἂν τοῖσδε συγκρύπτων δέμας;*

id est *ταχέως τοῖσδε σύγκρυπτε δέμας.* Sic supra 874.

σὺ μὲν εἰς ἀγορὰν ἰὼν ταχέως οὐκ ἂν φθάνοις;

Ερ. ἆρ' ὠφελήσαις ἄν τι τὸν σαυτοῦ φίλον;
Κα. εἴ του δέει γ', ὧν δυνατός εἰμί σ' ὠφελεῖν.
Ερ. εἴ μοι πορίσας ἄρτον τιν' εὖ πεπεμμένον
δοίης καταφαγεῖν, καὶ κρέας νεανικὸν,
ὧν θύεθ' ὑμεῖς ἔνδον.
Κα. ἀλλ' οὐκ ἔκφορα.
Ερ. καὶ μὴν ὁπότε τι σκευάριον τοῦ δεσπότου
ὑφέλοι', ἐγώ σε λανθάνειν ἐποίουν ἀεί.
Κα. ἐφ' ᾧ τε μετέχειν καὐτὸς, ὦ τοιχωρύχε.
ἧκεν γὰρ ἄν σοι ναστὸς εὖ πεπεμμένος.

1139. *ὁπότε—ὑφέλοι'*. Sic bene Dawesius emendat. Quod vulgo legitur *ὑφείλου* solœcum est, et metrum pessumdat: nec illud est in vetustioribus libris. In B. C. *ὑφίλου* cum glossa haud parum inepta, *ὑφείλου*, *ἐκβολῇ τοῦ ι*. At in membr. perspicue scriptum *ὑφίλοις*, ad veram lectionem multo propius, posito saltem verbo in eo modo, quo poni debuit. Sed *surripiendi*, *suffurandi* significatio in formam activam non cadit. *ὑφαιρεῖν subtrahere*, *subruere* significat, ut supra 689. et in hoc Luciani exemplo T. ii. p. 151. *καὶ ταῦτα ὑπορυττούσης, καὶ τοὺς θεμελίους ὑφαιρούσης τῆς διαβολῆς*. Sic *ἀφαιρεῖν eximere*, *demere*, nullo ad agentis commodum respectu. In Lys. 1028. ubi senex mulierem orans, ut sibi culicem ex oculo eximat, ait:

ἐκσκάλευσον αὐτό· κᾆτα δεῖξον ἀφελοῦσά μοι.

In Ran. 657. ubi Xanthias ait, *τὴν ἄκανθαν ἔξελε*: salva linguæ indole dici non potuisset *ἀφελουμένη* et *ἐξελοῦ*. In Philemonis versibus apud Stobæum p. 453. ubi Grotius edidit,

τὸ κακὸν ἀφαιρεῖται, ἀγαθὸν δὲ λαμβάνει.

Veram lectionem, quam ingenio adsecutus est Bentleius, cod. Regius exhibet.

τὸ κακὸν ἀφαιρεῖ, τἀγαθὸν δὲ λαμβάνει.

At vero ubi quis quid capit, quod in commodum suum vertat, quo utatur, fruatur, tum forma media adhibetur, nec amplius activa. Vide Thesm. 761. 812. 844. 935. Sophocles Philoct. 376.

εἰ τἀμὰ κεῖνος ὅπλ' ἀφαιρήσοιτό με.

Nub. 179.

ἐκ τῆς παλαίστρας ἱμάτιον ὑφείλετο.

Nub. 1199.

ἵν' ὡς τάχιστα τὰ πρυτάνει' ὑφελοίατο.

Bene Vesp. 556. legitur ad metri et constructionis legem, *εἰ καὐτὸς πώποθ' ὑφείλου*. Vide ibid. 958. 1201. Ran. 148.

ἢ παῖδα κινῶν τἀργύριον ὑφείλετο.

1242.

μεταξὺ θύων; καὶ τίς αὔθ' ὑφείλετο;

Infinita cum ex Aristophane aliisque Comicis, tum ex oratoribus, colligi possent exempla, quibus constat *suffurandi* notionem soli verbo medio competere, quod paulo longius exsecutus sum, ne ex iis, qui neminem hodie plus sapere arbitrantur, quam sapuerunt, olim librarii, quispiam cavilletur, contendatque a membranis oblatum *ὑφίλοις* retineri debuisse. Nihil aliud est quam scribæ error, cujus geminus gemellus observatus fuit ad Ran. 437. ubi *αἴροις* e suo codice Aldus ediderat, pro *αἴροι'*, ut hic scriptum *ὑφίλοις* pro *ὑφίλοι'*.

1141. *μετέχειν καὐτός*. Sic iv. codd. Vulgo *αὐτός*.

Ερ. ἔπειτα τοῦτόν γ' αὐτὸς ἂν κατήσθιες.
Κα. οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοὶ,
ὁπότε τι ληφθείην πανουργήσας ἐγώ.
Ερ. μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες.
ἀλλὰ ξύνοικον, πρὸς θεῶν δέξασθ' ἐμέ.
Κα. ἔπειτ', ἀπολιπὼν τοὺς θεοὺς, ἐνθάδε μενεῖς;
Ερ. τὰ γὰρ παρ' ὑμῖν ἐστὶ βελτίω πολύ.
Κα. τί δέ; ταὐτομολεῖν ἀστεῖον εἶναί σοι δοκεῖ;
Ερ. ΠΑΤΡΙΣ ΓΑΡ ΕΣΤΙ ΠΑΣ' ΙΝ' ΑΝ ΠΡΑΤΤΗ ΤΙΣ ΕΥ.
Κα. τί δῆτ' ἂν εἴης ὄφελος ἡμῖν ἐνθάδ' ὤν.
Ερ. παρὰ τὴν θύραν Στροφαῖον ἱδρύσασθ' ἐμέ.
Κα. Στροφαῖον; ἀλλ' οὐκ ἔργον ἔστ' οὐδὲν στροφῶν.
Ερ. ἀλλ' Ἐμπολαῖον.
Κα. ἀλλὰ πλουτοῦμεν· τί οὖν
Ἑρμῆν παλιγκάπηλον ἡμᾶς δεῖ τρέφειν;
Ερ. ἀλλὰ Δόλιον τοίνυν.
Κα. Δόλιον; ἥκιστά γε.
οὐ γὰρ δόλου νῦν ἔργον, ἀλλ' ἁπλῶν τρόπων.
Ερ. ἀλλ' Ἡγεμόνιον.
Κα. ἀλλ' ὁ θεὸς ἤδη βλέπει,
ὥσθ' ἡγεμόνος οὐδὲν δεησόμεσθ' ἔτι.
Ερ. Ἐναγώνιος τοίνυν ἔσομαι. καὶ τί ἔτ' ἐρεῖς;
Πλούτῳ γάρ ἐστι τοῦτο συμφορώτατον,

1146. Phylen occupavit Thrasybulus anno 4. Olymp. xciv. Proinde in priore Pluto versus hic esse non potuit, nec v. 550. Vide not. ad v. 113.

1147. ἀλλὰ ξύνοικον. In B. C. ἀλλὰ σύνοικον. In membr. ἀλλά γε σύνοικον. Vulgo ἀλλ' ἐν σύνοικον. Vide not. ad Thesm. 601.

1150. τί δέ; ταὐτομολεῖν. Vulgo legitur τί δέ γ' αὐτομολεῖν, perperam omisso articulo, quem loquendi recta ratio neutiquam abesse patitur. In membr. τί δαὶ ταὐτομολεῖν—Emendatius in C. τί δὲ ταὐτομολεῖν. In meo idem quod in membr. scripturæ vitium, sed melior distinctio. τί δαί. ταὐτομολεῖν. Scholion Ms. αὐτόμολός ἐστιν ὁ οἰκείᾳ θελήσει λιπὼν ἐκείνους, μεθ' ὧν ἦν, καὶ πρὸς ἄλλους ἐλθών. Τὸ ἐξέρχεσθαι ἀπὸ τῶν οἰκείων, καὶ εἰσέρχεσθαι πρὸς τοὺς ἀλλοτρίους, ἀστεῖον ἐστίν;

1161. τοίνυν ἔσομαι. Sic iv. codd. sine inserta quam impressi exhibent particula.

ποιεῖν ἀγῶνας μουσικοὺς καὶ γυμνικούς.
Κα. ὡς ἀγαθόν ἐστ' ἐπωνυμίας πολλὰς ἔχειν·
οὗτος γὰρ ἐξεύρηκεν αὑτῷ βιότιον.
οὐκ ἐτὸς ἅπαντες οἱ δικάζοντες θαμὰ
σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν.
Ερ. οὐκοῦν ἐπὶ τούτοις εἰσίω.
Κα. καὶ πλῦνέ γε
αὐτὸς προσελθὼν πρὸς τὸ φρέαρ τὰς κοιλίας,
ἵν' εὐθέως διακονικὸς εἶναι δοκῇς.
Ιε. τίς ἂν φράσειε ποῦ 'στι Χρεμύλος μοι σαφῶς;
Χρ. τί δ' ἐστὶν, ὦ βέλτιστε;
Ιε. τί γὰρ ἄλλ', ἢ κακῶς;
ἀφ' οὗ γὰρ ὁ Πλοῦτος οὗτος ἤρξατο βλέπειν,
ἀπόλωλ' ὑπὸ λιμοῦ. καταφαγεῖν γὰρ οὐκ ἔχω,
καὶ ταῦτα τοῦ Σωτῆρος ἱερεὺς ὢν Διός.
Χρ. ἡ δ' αἰτία τίς ἐστιν, ὦ πρὸς τῶν θεῶν;
Ιε. θύειν ἔτ' οὐδεὶς ἀξιοῖ.
Χρ. τίνος οὕνεκα;
Ιε. ὅτι πάντες εἰσὶ πλούσιοι· καίτοι τότε,
ὅτ' εἶχον οὐδὲν, ὁ μὲν ἂν ἥκων ἔμπορος
ἔθυσεν ἱερεῖόν τι σωθείς· ὁ δέ τις ἂν
δίκην ἀποφυγών· ὁ δ' ἂν ἐκαλλιερεῖτό τις,

1167. ἐν πολλοῖς γεγράφθαι γράμμασιν. Gl. ἐγγεγραμμένοι εἶναι δικαστηρίοις. Supra 972. ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι;

1170. ἵν' εὐθέως διακονικὸς εἶναι δοκῇς. Vulgo εἶναί μοι δοκῇς. Pronomen sententiæ inutile est: immo melior ea, si generalior sit: *ut statim idoneus exsequendis ministeriis videaris*, non mihi solum, sed quibuscunque, qui te opus facientem videbunt. At numeros prorsus corrumpit: ab imperito homine insertum fuit, cui versus hoc tibicine indigere videbatur, quia secundæ in διακονικὸς syllabæ modulum ignorabat: producitur ea semper apud quosvis poëtas. Vide Av. 73, 74. Euphronis versum citatum supra ad 1099. Menander apud Athenæum p. 172. D.

τί τοῦτο, παῖ; διακονικῶς γὰρ, νὴ Δία, προσελήλυθας.

Strato Epigr. xxxvi. ad probatissimorum apographorum fidem:

αἰετὸς ἂν πτερύγεσσιν Ἀγρίππαν τὸν καλὸν ἡμῶν
ἤδη πρὸς μακάρων ἦγε διακονίας.

α, quia longum est, in η vertunt Iones, διήκονος.

1172. τί δ' ἐστὶν—Hæc et quæ in sequentibus famulo vulgo tribuuntur, in heri partes transferunt tres Regii.

καὶ μετεκάλει τὸν ἱερέα· νῦν δ' οὐδὲ εἷς
θύει τοπαράπαν οὐδὲν, οὐδ' εἰσέρχεται,
πλὴν ἀποπατησόμενοί γε πλεῖν ἢ μυρίοι.
Κα. οὔκουν τὰ νομιζόμενα σὺ τούτων λαμβάνεις;
Ιε. τὸν οὖν Δία τὸν Σωτῆρα κἀυτός μοι δοκῶ
χαίρειν ἐάσας, ἐνθάδ' αὐτοῦ καταμενεῖν.
Χρ. θάῤῥει. καλῶς ἔσται γὰρ, ἢν θεὸς θέλῃ.
ὁ Ζεὺς ὁ Σωτὴρ γὰρ πάρεστιν ἐνθάδε,
αὐτόματος ἥκων.
Ιε. πάντ' ἀγαθὰ τοίνυν λέγεις.
Χρ. ἱδρυσόμεθ' οὖν αὐτίκα μάλ', ἀλλὰ περίμενε,
τὸν Πλοῦτον, οὗπερ πρότερον ἦν ἱδρυμένος,
τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς θεοῦ.
ἀλλ' ἐκδότω τις δεῦρο δᾷδας ἡμμένας,
ἵν' ἔχων προηγῇ τῷ θεῷ σύ.
Ιε. πάνυ μὲν οὖν
δρᾷν ταῦτα χρή.
Χρ. τὸν Πλοῦτον ἔξω τις κάλει.
Γρ. ἐγὼ δὲ τί ποιῶ;
Χρ. τὰς χύτρας, αἷς τὸν θεὸν
ἱδρυσόμεθα, λαβοῦσ' ἐπὶ τῆς κεφαλῆς, φέρε
σεμνῶς· ἔχουσα δ' ἦλθες αὐτὴ ποικίλα.
Γρ. ὧν δ' οὕνεκ' ἦλθον;
Χρ. πάντα σοι πεπράξεται.
ἥξει γὰρ ὁ νεανίσκος ὥς σ' εἰς ἑσπέραν.

1185. Hic versus etiam Chremylo tribuitur in membr. et in C. nec ulla est decori ratio quæ eum illi abjudicet. In B. persona est famuli. τὰ νομιζόμενα. Gl. τὰ κατὰ τοὺς νόμους ὀφειλόμενα. Schol. νόμος ἦν τὰ ὑπολειπόμενα τοῦ ἱερείου τὸν ἱερέα λαμβάνειν, δέρματα καὶ κῶλα. (leg. κωλᾶς) παίζων οὖν κἀνταῦθα φησὶ λαμβάνειν αὐτὸν τὰ νομιζόμενα ἐκ τῶν ἀφοδευμάτων. Vide not. ad Thesm. 758.

1187. χαίρειν ἐάσας. Gl. φθείρεσθαι ἀφείς. Thesm. 64. ὦ δαιμόνιε, τοῦτον μὲν ἔα χαίρειν.

1191. ἱδρυσόμεθ' οὖν αὐτίκα μάλ', ἀλλὰ περίμενε. Sic iv. codd. Vulgo ἱδρυσόμεσθ' οὖν αὐτίκ', ἀλλὰ—Vide Meursii Cecropiam capp. 26, 27.

1198. ἱδρυσόμεθα. Sic rursus iv. codd. Vulgo ἱδρυσόμεσθα. Vide Danaïdum fragm. xii.

Γρ. ἀλλ' εἴ γε μέντοι, νὴ Δί', ἐγγυᾷ σύ μοι
ἥξειν ἐκεῖνον ὥς ἔμ', οἴσω τὰς χύτρας.
Κα. καὶ μὴν πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία
αὗται ποιοῦσι. ταῖς γὰρ ἄλλαις μὲν χύτραις
ἡ γραῦς ἔπεστ' ἀνωτάτω· ταύτης δὲ νῦν
τῆς γραὸς ἐπιπολῆς ἔπεισιν αἱ χύτραι.

Χορός.

οὐκ ἔτι τοίνυν εἰκὸς μέλλειν οὐδ' ἡμᾶς, ἀλλ' ἀναχωρεῖν
ἐς τοὔπισθεν· δεῖ γὰρ κατόπιν τούτων ᾄδοντας ἕπεσθαι.

1204. In tribus Regiis hi versus Chremylo tributi sunt: unde satis liquet librarii errore in B. positam fuisse Carionis personam ante v. 1185. Utroque in loco Hemsterhusii judicium secutus sum, probabile illud quidem, ingeniosisque suffultum rationibus. Nunc tamen video nullas in extrema fabula Carionis partes esse debere. Is cum Mercurio domum ingreditur post v. 1170. nec amplius in scenam prodit. Tollatur itaque binis in locis ejus persona, eique sufficiatur Chremylus. In meo cod. Sacerdos primum cum famulo confabulatur: inducitur herus v. 1191. tribuunturque ei rursus verba τὸν Πλοῦτον, v. 1196. τὰς χύτρας, v. seq. πάντα σοι, v. 1201. reliqua famulo. Hæc distinctio vulgata, cujus vitium scite exsecutus est Hemsterhusius, utique est melior; sed ingenio librarii debetur: conjecturisque illis omnibus potior est trium Reg. codd. fides, præsertim antiquissimorum A. C. qui nullas prorsus famulo partes tribuunt, postquam Sacerdos scenam ingressus est.

1205. ταῖς γὰρ ἄλλαις μὲν χύτραις. Perverse in iv. codd. ταῖς μὲν γὰρ ἄλλαις. Vulgo ταῖς μὲν ἄλλαις γὰρ—Concinniore ordine voces disposuimus.

1207. ἐπιπολῆς ἔπεισιν. Sic bene Hemsterhusius in notis. Vulgo ἔνεισιν. Supra 185.

ἐφ' οἷς ἂν οὗτος ἐπικαθέζηται μόνος.

996.

καὶ τἄλλα τἀπὶ τοῦ πίνακος τραγήματα
ἐπόντα.

Ran. 928.

ἐπ' ἀσπίδων ἐπόντας γρυπαιέτους.

1046.

ἀλλ' ἐπὶ σοί τοι καὶ τοῖς σοῖσιν πολλὴ
πολλοῦ 'πικαθοῖτο.

Licet nihil frequentius occurrat, præpositionis repetitio librarium offendisse videtur, qui in locum idonei et proprii verbi ἔπεισι, alienum ἔνεισι supposuit.

1208. τοίνυν εἰκὸς—Sic C. In duobus aliis Regiis τοίνυν μέλλειν, omisso in A. εἰκὸς, quod B. habet in versus fine.

ΤΕΛΟΣ

ΤΟΥ ΠΛΟΥΤΟΥ.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΠΡΑΞΑΓΟΡΑ.
ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ.
ΧΟΡΟΣ.
ΒΛΕΠΥΡΟΣ *ἀνὴρ Πραξαγόρας.*
ΑΝΗΡ ΤΙΣ.
ΧΡΕΜΗΣ.
Ο ΚΑΤΑΘΕΙΣ.
Ο ΜΗ ΚΑΤΑΘΕΙΣ.
ΚΗΡΥΞ.
ΓΡΑΕΣ ΤΙΝΕΣ.
ΝΕΑΝΙΣ.
ΝΕΑΝΙΑΣ.
ΘΕΡΑΠΑΙΝΑ.
ΔΕΣΠΟΤΗΣ.

ΥΠΟΘΕΣΙΣ.

ΑΙ γυναῖκες συνέθεντο πάντα μηχανήσασθαι εἰς τὸ δόξαι ἄνδρες εἶναι, καὶ ἐκκλησιάσασαι πεῖσαι παραδοῦναι σφίσι τὴν πόλιν, δημηγορησάσης μιᾶς ἐξ αὐτῶν· αἱ δὲ μηχαναὶ τοῦ δόξαι αὐτὰς ἄνδρας εἶναι, τοιαῦται. πώγωνας περιθέτους ποιοῦνται, καὶ ἀνδρείαν ἀναλαμβάνονται στολὴν, προνοήσασαι, καὶ προασκήσασαι τὸ σῶμα ἑαυτῶν, ὡς ὅτι μάλιστα ἀνδρικὸν εἶναι δόξαι. μία δὲ αὐτῶν Πραξαγόρα, λύχνον ἔχουσα, προέρχεται κατὰ τὰς συνθήκας, καὶ φησὶν, Ω ΛΑΜΠΡΟΝ ΟΜΜΑ.

ARGUMENTI l. 2. ἐκκλησιάσασαι. Sic membr. Vulgo ἐκκλησιάζουσαι.

L. 5. πώγωνας περιθέτους ποιοῦνται, καὶ—Hæc, quibus carent impressi, verba addunt membr. in quibus etiam ἀναλαμβάνονται pro vulgato ἀναλαμβάνουσι. Quæ mox sequuntur duo participia in ordinem suum reposui.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

ΕΝ τοῖς Σκίροις τὰ γύναι' ἔκρινεν ἐν στολαῖς
ἀνέρων προκαθίζοντα, γενομένης ἐκκλησίας,
περιθέμεναι πώγωνας ἀλλοτρίων τριχῶν.
ἐποίησαν οὕτως. ὑστεροῦντες οὖν στολαῖς
ἄνδρες γυναικῶν ἐκάθισαν· καὶ δὴ μία
δημηγορεῖ περὶ τοῦ λαβούσας τῶν ὅλων
τὴν ἐπιτροπὴν βέλτιον ἄρξειν μυρίῳ·
ἐκέλευσέ τ' εἰς τὸ κοινὸν εἰσφέρειν ὅλα
τὰ χρήματ' ἄνδρας· ὡς κεκρῖσθαι τοῖς νόμοις.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

ΠΡΑΞΑΓΟΡΑ, ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ, ΧΟΡΟΣ.

Πρ. Ω ΛΑΜΠΡΟΝ ὄμμα τοῦ τροχηλάτου λύχνου,
κάλλιστ' ἐν εὐσκόποισιν ἐξηρτημένον,
(γονάς τε γὰρ σὰς καὶ τύχας δηλώσομεν·
τροχῷ γὰρ ἐλαθεὶς κεραμικῆς ῥύμης ἄπο,
μυκτῆρσι λαμπρὰς ἡλίου τιμὰς ἔχεις.)
ὅρμα φλογὸς σημεῖα τὰ ξυγκείμενα.
σοὶ γὰρ μόνῳ δηλοῦμεν· εἰκότως, ἐπεὶ
κἀν τοῖσι δωματίοισιν Ἀφροδίτης τρόπων

2. ἐν εὐσκόποισιν ἐξηρτημένον. Sic legi debere in patulo est. Vide Jo. Jensii Lect. Lucian. p. 41. Mendose codd. et impressi ἐξητημένον, quod nihili prorsus est.

3. γονάς τε γὰρ σάς. Mendose in codd. γονάς τε γὰρ δισσάς.

8. Ἀφροδίτης τρόπων πειρωμέναισι. Depravata in codd. lectio τρόπω. Qui olim de *Schemis Venereis* scripsere, eorum in numerum perperam refert ingeniosus Faber Cyrenen meretricem, cujus mentio in Ran. 1327. Ad figuras quascunque opus illa quidem edebat, sed de illis aliquid scripsisse non comperitur. Obscenarum istius generis descriptionum auctor nobilissimus fuit Polycrates Atheniensis, qui Philænidis nomen commentationi suæ inscripsit, ut castam mulierem libidinis infamaret: at ejus calumniam contudit Æschrio Samius in choliambis qui apud Athenæum leguntur p. 335. Quod addit Faber de *fratrum Caracciorum* elaboratissimo opere, id vero non est consentaneum. Nam XVI. quas innuit figuræ ex *Julii Romani* delineatione æri incisæ fuerunt a *Marco Antonio Bononiensi*. (*v. Dictionn. de Bayle art.* ARETIN.) Exstant Bern. Monetæ in XV. tabulas disticha, cum præfatione, et disticho in *P. Aretini imaginem*. Venustos elegos impuros nescio quis bibliopola non ita pridem in lucem edidit, fœdissimis mendis contaminatos. Lectoribus rem gratam facturum me arbitror, si illorum partem aliquam hic exhibeam.

πειρωμέναισι πλησίον παραστατεῖς·
λορδουμένων τε σωμάτων ἐπιστάτην
ὀφθαλμὸν οὐδεὶς τὸν σὸν ἐξείργει δόμων.
μόνος δὲ μηρῶν εἰς ἀποῤῥήτους μυχοὺς
λάμπεις, ἀφεύων τὴν ἐπανθοῦσαν τρίχα·
στοάς τε, καρποῦ βακχίου τε νάματος
πλήρεις, ὑποιγνύσαισι συμπαραστατεῖς·
καὶ ταῦτα συνδρῶν, οὐ λαλεῖς τοῖς πλησίον.
ἀνθ' ὧν ξυνείσει καὶ τὰ νῦν βουλεύματα,
ὅσα Σκίροις ἔδοξε ταῖς ἐμαῖς φίλαις.
ἀλλ' οὐδεμία πάρεστιν, ἃς ἥκειν ἐχρῆν.
καί τοι πρὸς ὄρθρον ἐστίν· ἡ δ' ἐκκλησία
αὐτίκα μάλ' ἔσται· καταλαβεῖν δ' ἡμᾶς ἕδρας,

Aretine, tuæ memorantur ubique figuræ:
nam solet has vulgi dicere lingua tuas,
et quod scalptoris fieri commune decebat,
in solum vatem transtulit illa decus.
Tu versus patrios sub imagine quaque locaras
bis septem, quos nunc vix reperire datur.
His ego, jacturæ parva heu solatia magnæ,
substitui Latio disticha tincta sale,
hortorum placitura Deo, qui, rustica quamvis
suetus verba loqui, frater Amoris erat.

IN P. ARETINI IMAGINEM.

Excudit Veneres Marcus, quas Julius ante
pinxerat; has scribens vicit utrumque Petrus.

10. λορδουμένων. Sic bini codd. recte. Vulgo χορδουμένων, quod frustra tuetur Faber. Vide Suidam in λορδουμένη et λορδουμένων, collato Toupio tom. ii. p. 134.

13. ἀφεύων. Sic bini codd. recte. Vulgo ἀφαύων. Vide Thesm. 216. 590. maxime vero Lys. 825. ubi gloriatur mulier se τὸν σάκανδρον habere οὐ κομήτην, ἀλλ' ἀπεψιλωμένον τῷ λύχνῳ.

14. βακχίου τε νάματος. Sic codd. editio Bern. Juntæ, et Venetæ. Perperam Aldus, quem recentiores sequuntur, βακχείου, metro repugnante. De binis hujus nominis formis videndus præstantissimus Valckenarius in egregio ad Eurip. Phœn. commentario p. 11.

17. ἀνθ' ὧν ξυνείσει. Sic Berglerus ad Biseti aliorumque sententiam: certa est emendatio. Codd. etiam male συνοίσει.

18. Σκίρα, ἑορτὴ παρ' Ἀθηναίοις, ἀφ' ἧς καὶ ὁ μὴν Σκιροφοριών. Videndus de hoc festo Meursius in Græcia Feriata.

20. πρός ὄρθρον ἐστίν. Sic alter Reg. omissa particula, quam, ut impressi, insertam exhibent membr. Post hæc verba in utroque cod. distinctum, scriptumque ἡ δ' ἐκκλ—Vulgo totus versus sic legitur, tanquam absoluta phrasis:

καί τοι πρὸς ὄρθρον γ' ἐστὶν ἤδ' ἐκκλησία.

21. καταλαβεῖν δ' ἡμᾶς. Sic bini codd. Omissa vulgo particula connexiva. Subauditur δεῖ, aut repetendum proximum verbum ἔσται.

ὡς Σφυρόμαχός ποτ' εἶπεν, εἰ μέμνησθ' ἔτι·
ΔΕΙ ΤΑΣ ΕΤΑΙΡΑΣ ΕΓΚΑΘΙΖΟΜΕΝΑΣ
ΛΑΘΕΙΝ.
τί δῆτ' ἂν εἴη; πότερον οὐκ ἐῤῥαμμένους
ἔχουσι τοὺς πώγωνας, οὓς εἴρητ' ἔχειν;
ἢ θαἰμάτια τἀνδρεῖα κλεψάσαις λαβεῖν
ἦν χαλεπὸν αὐταῖς; ἀλλ' ὁρῶ τονδὶ λύχνον
προσιόντα. φέρε νυν ἐπαναχωρήσω πάλιν,
μὴ καί τις ὢν ἀνὴρ ὁ προσιὼν τυγχάνῃ.
Γυ. α'. ὥρα βαδίζειν, ὡς ὁ κήρυξ ἀρτίως,
ἡμῶν προσιόντων, δεύτερον κεκόκκυκεν.
Πρ. ἐγὼ δέ γ' ὑμᾶς προσδοκῶσ' ἐγρηγόρουν
τὴν νύκτα πᾶσαν. ἀλλὰ, φέρε, τὴν γείτονα
τήνδ' ἐκκαλέσωμαι, τρυγονῶσα τὴν θύραν.
δεῖ γὰρ τὸν ἄνδρ' αὐτῆς λαθεῖν.
Γυ. β'. ἤκουσά τοι

22. ὡς Σφυρόμαχος. Vulgo ὡς Σφ— contra loci sensum. Alluditur ad plebiscitum quoddam rogante Sphyromacho latum, cujus nescio an alibi mentio occurrat.

23. ἐγκαθιζομένας λαθεῖν, idem est quod ἐγκαθίζεσθαι λάθρα, Thesm. 184. Sic recte emendasse videtur Scaliger. In codd. scriptum: δεῖ τὰς ἑταίρας καθαγιαζομένας τας λαθεῖν. Aldus edidit δεῖ τὰς ἑταίρας καθαγιζομένας λαθεῖν, quæ lectio per ceteras deinceps editiones propagata fuit.

24. Hic versus et duo seqq. in neutro cod. leguntur. Horum in ultimo male vulgo excusum θαιμάτια, et κλεψάσαις λαθεῖν. Frequens in permutatione verborum λαθεῖν, λαβεῖν, λαλεῖν librariorum lapsus.

29. μὴ καί τις ὢν ἀνὴρ ὁ προσιὼν τυγχάνῃ. Sic in altero Regio: at in membr. τυγχάνεις. Scribere debuit librarius τυγχάνει, quod et genuinum esse possit. μὴ, eo quo hic ponitur sensu, cum indicativo construi potest: quod alibi ostendetur.

31. ἡμῶν προσιόντων. Bene interpres ad manifestum loci sensum, poëtæque mentem, *prodeuntibus nobis domo*: sed leviter græca depravata sunt. Legendum προϊόντων. προσιὼν bene positum erat v. 29. quod librario fraudi fuit. Nihil frequentius permutatione verborum προϊέναι, προσιέναι: προελθεῖν, προσελθεῖν. Vide Abreschium ad Aristænetum p. 24. Quia autem mulier hic de se loquitur, non ideo plurale participium genere feminino poni debuit, quod censebat Faber. Vide quæ notavimus ad Euripidis Med. 316.

32. ἐγρηγόρουν. Sic alter Reg. In membr. ἐγρηγορεῖν. Vulgo ἐγρηγορῶ.

34. τρυγονῶσα τὴν θύραν. Sic alter Reg. In membr. τρυγανῶσα. Primariæ editt. θρυγονῶσα: recentiorum quædam θρυγανῶσα. Postremam scripturam tuetur Hesychius: θρυγανᾷ. κνᾶται, ξύει. Nostram Suidas: τρυγονῶσα, ἡσύχως κνῶσα. Ἀριστοφάνης· τρυγονῶσα τὴν θύραν.

ὑποδουμένη τὸ κνῦμά σου τῶν δακτύλων,
ἅτ' οὐ καταδαρθοῦσ'. ὁ γὰρ ἀνήρ, ὦ φιλτάτη,
(Σαλαμίνιος γάρ ἐστιν, ᾧ ξύνειμ' ἐγὼ)
τὴν νύχθ' ὅλην ἤλαυνέ μ' ἐν τοῖς στρώμασιν,
ὥστ' ἄρτι τουτὶ θοιμάτιον αὐτοῦ λαβεῖν.

Γυ. α'. καὶ μὴν ὁρῶ καὶ Κλειναρέτην, καὶ Σωστράτην
προσιοῦσαν ἤδη τήνδε, καὶ Φιλαινέτην.

Πρ. οὔκουν ἐπείξεσθ', ὡς Γλύκη κατώμοσε
τὴν ὑστάτην ἥκουσαν οἴνου τρεῖς χοᾶς
ἡμῶν ἀποτίσειν, κἀρεβίνθων χοίνικα.

Γυ. α'. τὴν Σμικυθίωνος οὐχ ὁρᾷς Μελιστίχην
σπεύδουσαν ἐν ταῖς ἐμβάσιν; κἀμοὶ δοκεῖ
κατὰ σχολὴν παρὰ τἀνδρὸς ἐξελθεῖν μόνη.

Γυ. β'. τὴν τοῦ καπήλου δ' οὐχ ὁρᾷς Γευσιστράτην,
ἔχουσαν ἐν τῇ δεξιᾷ τὴν λαμπάδα;
καὶ τὴν Φιλοδωρήτου τε καὶ Χαιρητάδου;

Πρ. ὁρῶ προσιούσας χ' ἁτέρας πολλὰς πάνυ
γυναῖκας, ὅ τι περ ἔστ' ὄφελος ἐν τῇ πόλει.

Γυ. γ'. καὶ πάνυ ταλαιπώρως ἔγωγ', ὦ φιλτάτη,
ἐκδρᾶσα παρέδυν. ὁ γὰρ ἀνὴρ τὴν νύχθ' ὅλην
ἔβηττε, τριχίδων ἑσπέρας ἐμπλήμενος.

36. τὸ κνῦμα. Sic recte membr. In altero τὸ κνῆμα. Perperam vulgo τὸ κνίσμα. Suidas: κνῦμα, ὁ ἠρεμαῖος κνησμός. ubi hunc Comici locum profert. Nomen derivatum est a κνύω, quo verbo in hoc ipso sensu utitur Comicus Thesm. 481.

οὗτος πόθῳ μου 'κνυεν ἐλθὼν τὴν θύραν.

41. Hic et seq. versus eidem vulgo continuantur mulieri: in membr. diversæ tribuuntur, præfixa persona, γυνή. Similis locus est in Lys. 65.

ἀτὰρ αἵδε καὶ δή σοι προσέρχονταί τινες.

45. ἡμῶν. Sic bini codd. et primariæ editt. Male in aliis ὑμῖν. Ordo est: τὴν ὑστάτην ἡμῶν ἥκουσαν ἀποτίσειν τρεῖς χοᾶς οἴνου. Suidas etiam in χοᾶ, ubi hos versus profert, legit ἡμῶν.

46. Perperam rursus in impressis continuantur Praxagoræ hi versus, quos lineola in membr. præfixa indicat alius esse personæ. At id multo melius adhuc monstrat ipsa dialogi ratio.

48. κατὰ σχολήν. Suidas: ἀντὶ τοῦ μόλις, ἢ ἀψοφητί. Non placent istæ interpretationes. κατὰ σχολὴν est *otiose*, eo sensu quo dixit Terentius in Andria: *aliam otiosus quæret.* ἑτέραν κατὰ σχολὴν ζητήσει. *A son aise.*

51. Φιλοδωρήτου—Χαιρητάδου. Sic recte scripta virorum hæc nomina exhibent membr. In altero Χωρητάδου.

56. ἐμπλήμενος. Membr. ἐμπεπλησμένος: alter, ut vulgo, omisso augmento,

Πρ. κάθησθε τοίνυν, ὡς ἂν ἀνέρωμαι τάδε
ὑμᾶς, ἐπειδὴ ξυλλελεγμένας ὁρῶ,
ὅσα Σκίροις ἔδοξεν, εἰ δεδράκατε.
Γυ. δ'. ἔγωγε. πρῶτον μέν γ' ἔχω τὰς μασχάλας
λόχμης δασυτέρας, καθάπερ ἦν ξυγκείμενον·
ἔπειθ', ὁπότ' ἀνὴρ εἰς ἀγορὰν οἴχοιτό μου,
ἀλειψαμένη τὸ σῶμ' ὅλον, δι' ἡμέρας
ἐχλιαινόμην ἑστῶσα πρὸς τὸν ἥλιον.
Γυ. ε'. κἄγωγε· τὸ ξυρὸν δέ γ' ἐκ τῆς οἰκίας
ἔρριψα πρῶτον, ἵνα δασυνθείην ὅλη,
καὶ μηδὲν εἴην ἔτι γυναικὶ προσφερής.
Πρ. ἔχετε δὲ τοὺς πώγωνας, οὓς εἴρητ' ἔχειν
πάσαισιν ἡμῖν, ὁπότε συλλεγοίμεθα;
Γυ. δ'. νὴ τὴν Ἑκάτην, τὸν καλὸν ἔγωγε τουτονί.

ἐμπλησμένος. Suidas nostram lectionem habet in ἐμπλημένης. At in τριχίδες, ubi locum hunc iterum profert, habet πεπλησμένος. Proba est utraque lectio: at Comicus priorem frequentat. Vide Vesp. 424. 1127. Equit. 935.

57. ὡς ἂν ἀνέρωμαι τάδε. Certissima est Dawesii emendatio. Vulgo ὡς ἀνέρωμαι τάδε, duplici vitio. Primum εἴρομαι vel ἀνέρομαι dialectus Attica respuit. Tum ὡς, ut finale significans, non solet Noster sine particula ἂν cum subjunctivo adhibere, quod observavi ad Lys. 1305. et quantum ad hoc spectat emendatior est binorum codd. scriptura, ὡς ἂν εἴρωμαι τάδε.

61. λόχμης. Nescio quid cogitavit alterius R. librarius, quum scriberet λίχους.

63. δι' ἡμέρας. Hæc verba male vulgo cum ἀλειψαμένη conjunguntur, et in versione ab interprete neglecta fuerant.

65. τὸ ξυρόν. Sic bini codd. editio Bern. Juntæ, et utraque Veneta: at male Aldus τὸν ξυρόν. Neutro genere hoc nomen Comicum nostrum extulisse inde probabile est, quod masculinum ξυρὸς, tanquam rarius, notatione dignum judicaverit Pollux, eoque usum fuisse Archippum observet, l. x. 177. τὸ δὲ ξυρὸν πολλῶν εἰρηκότων, παρατηρητέον, ὅτι Ἄρχιππος ἐν τῷ Ῥίνωνι ἀῤῥενικῶς αὐτὸ εἴρηκε.

70. τὸν καλόν. Vulgo omissus articulus cum metri labe et contra Atticismi rationem. Ignoranti poëtas Atticos in καλὸν primam semper corripere, melior videri posset alterius R. lectio.

νὴ τὴν Ἑκάτην, ἔγωγε καλὸν τουτονί.

Qui voces hoc ordine disposuit librarius metro se recte consulere arbitrabatur. Marklando, viro alioqui doctissimo, fucum forte fecisset. Is enim Euripidis Suppl. 728. dubitat an vera sit illa de quantitate nominis καλὸς observatio, Scenicorumque versus aliquot profert, quorum vulgata scriptura aliud quid suadere videtur. Sed a corruptelis librorum non minus quam ab *hypothesibus* cavendum est. In Iphigenia A. v. 21. recte edidit optimus Musgravius:

τοῦτο δέ γ' ἐστιν τὸ καλὸν σφαλερόν.

In Euripidis versu ex Archelao, quem

Γυ. ε΄. κἄγωγ' Ἐπικράτους οὐκ ὀλίγῳ καλλίονα.
Πρ. ὑμεῖς δὲ τί φατέ;
Γυ. δ΄. φασί· κατανεύουσι γάρ.
Πρ. καὶ μὴν τά γ' ἄλλ' ὑμῖν ὁρῶ πεπραγμένα.
Λακωνικὰς γὰρ ἔχετε, καὶ βακτηρίας,
καὶ θαἰμάτια τἀνδρεῖα, καθάπερ εἴπομεν.
Γυ. ζ΄. ἔγωγέ τοι τὸ σκύταλον ἐξηνεγκάμην
τὸ τοῦ Λαμίου τουτὶ καθεύδοντος λάθρα.
Γυ. α΄. τοῦτ' ἔστ' ἐκεῖνο τῶν σκυτάλων, ὧν πέρδεται.
νὴ τὸν Δία τὸν Σωτῆρ', ἐπιτήδειός γ' ἂν ἦν,
τὴν τοῦ Πανόπτου διφθέραν ἐνημμένος,
εἴπερ τι βουκολεῖν ἐθέλοι τὸν δήμιον.

ignorans Musgravius undenam desumtus esset inter incerta fragmenta retulit xxxiv. Regius Stobæi cod. præter dramatis titulum sinceram lectionem exhibet, quæ absque eo etiam reponi poterat et debebat:

σὺν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις.

In Sophoclis Philoct. v. 1304. (vulgo 1342.) e codd. legendum est;

ἀλλ' οὔτ' ἐμοὶ καλὸν τόδ' ἐστιν, οὔτε σοι.

Versum autem 1381. (vulgo 1421.) quomodo legi debeat jamdudum declaravi ad Æschyli S. Th. 734.

ἅ σοί τε κἀμοὶ κάλ' ἐσορῶ τελούμενα.

Nec harum rerum perito cuiquam non probabitur illa emendatio, quam abunde confirmant quæ ad Lys. 408. et alibi observavi, præ inepta τοῦ δεῖνα conjectura,

ἅ σοί τε κἀμοὶ κάλ' ἂν ὁρῶ τελούμενα.

Quid, malum, sibi vult eo loco particula ἂν in certa affirmatione? Anne dicere debuit Neoptolemus? *quæ tibique et mihi honesta futura videre possim.* At dubitantis hoc est: ille vero minime dubitat, certusque ait: *quæ tibique et mihi honesta futura esse perspicio.* Emendationem hujus comici versus præcepit Dawesius, quem adeas.

72. κατανεύουσι γάρ. Sic bene membr. In altero κατανεύσαιτε γάρ. Bern. Junta, κατανεῦσαι γάρ. Male Aldus, quem alii fere omnes sequuntur pro γὰρ dedit γοῦν.

81. Vulgo legitur: εἴπερ τις ἄλλος βουκολεῖν τὸν δήμιον. In membran. vox ἄλλος omissa. At in altero scriptum: εἴπερ τι βουκολεῖν ἐθέλει τὸν δήμιον. Quod recepi, mutato tantum ἐθέλει in ἐθέλοι. —βουκολεῖν non pro *custodire* accipio, sed pro *decipere.* Ordo est: ἐπιτήδειος ἂν ἦν—βουκολεῖν τὸν δήμιον, εἴπερ τι ἐθέλοι. Referuntur autem ista ad Λαμίαν, non vero ad ὁ σκύταλος, ut arbitratur Faber. Obscurus est locus, quia rei tum publice notæ, ad quam Comicus alludit, non supersunt hodie satis manifesta vestigia, quibus insistentes, sensum deprehendere possimus. E scholiis colligere est Lamiam illum fuisse carceris custodem, et alludere Comicum ad Sophoclis Inachum, quo in dramate inducebatur Argus Ionem servans. Utique nomine πανόπτου Argus innuitur. Hoc fundamento nititur conjectura Viri elegantissimæ doctrinæ Erici Huberti van Eldik, locum sic legentis et explicantis:

ἐπιτήδειός γ' ἂν ἦν,
τὴν τοῦ πανόπτου διφθέραν ἐνημμένος,
εἴπερ τις ἄλλος βουκολεῖν τὸν δήμιον.

JUVENCAM *exspectasses, cujus custodia*

Πρ. λέγοιτ' ἂν ὅπως καὶ τἀπὶ τούτοις δράσομεν,
ἕως ἔτ' ἐστὶν ἄστρα κατὰ τὸν οὐρανόν·
ἡ 'κκλησία δ', εἰς ἣν παρεσκευάσμεθα
ἡμεῖς βαδίζειν, ἐξ ἕω γενήσεται.

Γυ. α'. νὴ τὸν Δί', ὥστε δεῖ σε καταλαβεῖν ἕδρας
ὑπὸ τῷ λίθῳ, τῶν Πρυτανέων καταντικρύ.

Γυ. η'. ταυτί γέ τοι, νὴ τὸν Δί', ἐφερόμην, ἵνα
πληρουμένης ξαίνοιμι τῆς ἐκκλησίας.

Πρ. πληρουμένης, τάλαινα;

Γυ. η'. νὴ τὴν Ἄρτεμιν,
ἔγωγε. τί γὰρ ἂν χεῖρον ἀκροῴμην ἅμα
ξαίνουσα; γυμνὰ δ' ἐστί μου τὰ παιδία.

Πρ. ἰδού γέ σε ξαίνουσαν, ἣν τοῦ σώματος
οὐδὲν παραφῆναι τοῖς καθημένοις ἔδει.
οὐκοῦν καλά γ' ἂν πάθοιμεν, εἰ πλήρης τύχοι
ὁ δῆμος ὤν, κἄπειθ' ὑπερβαίνουσά τις
ἀναβαλλομένη δείξειε τὸν Φορμίσιον.
ἢν δ' ἐγκαθιζώμεσθα πρότεραι, λήσομεν

Lamias, Argi instar, dignetur: præter opinionem intulit, ni fallor, τὸν δήμιον. *Schemate isthoc* παρὰ προσδοκίαν *gaudet Comicus, sæpius non animadverso.* At ego nullus video cur contra codd. fidem τὸν δήμιον loco moveri debeat; prorsusque me fugit, si quid faceti est in eo quod sic præter exspectationem infertur. In eadem allusione ad Sophoclis Inachum permanens, per τὸν δήμιον Mercurium intelligo, qui Argum obtruncans *carnificis* munere fungebatur. *Lamias iste, si Argi renonem indueret, nedum a carnifice obtruncaretur, ipse carnifici quibus vellet modis os sublineret.* Longe vero probabilius est quod primo ait Scholiastes Lamiam fuisse hominem pauperem ἐκ ξυλοφορίας victitantem, qui sæpe magna onera ferens pedebat, quod nimio pondere pressis contingere solet: vide Ran. 9. et Petronium cap. 117. Ferebatur autem fabula de larva quadam, cui nomen Λαμία, in qua narrabatur, ὡς ἡ Λαμί' ἁλοῦσ' ἐπέρδετο, ut est in Vesp. 1177. Ex his omnibus collatis intelligendus est jocus, qui est in v. 78.

82. λέγοιτ' ἂν ὅπως. In membr. λέγεθ' ὅπως. Vulgo λέγοιθ' ὅπως. Particula potentialis hic omnino requiritur. Mirum est quam sæpe illius omissio editores fefellerit. Exstant apud Stobæum Menandri versus ex Bœotia, misere depravati, qui sic ad codicis fidem legendi sunt:

πολλὰ δύσκολα
εὕροις ἂν ἐν τοῖς πᾶσιν· ἀλλ' εἰ πλείονα
τὰ συμφέροντ' ἔνεστι, τοῦτο δεῖ σκοπεῖν.

Vide jam quid sit in Floril. Grotii p. 455. λέγοιμ' ἄν, λέγοις ἂν centies in his fabulis occurrunt. Infra 132. Lys. 97. 119. Ran. 1401. et alibi passim.

92. ἐστί μου. Sic bini codd. Elegantius esset: γυμνὰ δ' ἐστί μοι τὰ παιδία.

ξυστειλάμεναι θαἰμάτια· τὸν πώγωνά τε
ὅταν καθῶμεν, ὃν περιδησόμεσθ' ἐκεῖ,
τίς οὐκ ἂν ἡμᾶς ἄνδρας ἡγήσαιθ' ὁρῶν;
'Αγύῤῥιος γοῦν τὸν Προνόμου πώγων' ἔχων
λέληθε· καί τοι πρότερον ἦν οὗτος γυνή.
νυνὶ δ', ὁρᾷς, πράττει τὰ μέγιστ' ἐν τῇ πόλει.
τούτου γέ τοι, νὴ τὴν ἐπιοῦσαν ἡμέραν,
τόλμημα τολμῶμεν τοσοῦτον, οὕνεκα,
ἤν πως παραλαβεῖν τῆς πόλεως τὰ πράγματα
δυνώμεθ', ὥστ' ἀγαθόν τι πρᾶξαι τὴν πόλιν.
νῦν μὲν γὰρ οὔτε θέομεν, οὔτ' ἐλαύνομεν.

Γυ. η'. καὶ πῶς γυναικῶν θηλύφρων ξυνουσία
δημηγορήσει;

Πρ. πολὺ μὲν οὖν ἄριστά που.
λέγουσι γὰρ καὶ τῶν νεανίσκων ὅσοι
πλεῖστα σποδοῦνται, δεινοτάτους εἶναι λέγειν·
ἡμῖν δ' ὑπάρχει τοῦτο κατὰ τύχην τινά.

Γυ. η'. οὐκ οἶδα· δεινὸν δ' ἐστὶν ἡ μὴ 'μπειρία.

Πρ. οὐκοῦν ἐπίτηδες ξυνελέγημεν ἐνθάδε,
ὅπως προμελετήσωμεν, ἅ 'κεῖ δεῖ λέγειν.

102. 'Αγύῤῥιος. Sic bene membr. ut in Pl. 176. At alter eodem errore qui ibi notatus fuit, 'Αργύριος. Similem mendam in Philemonis versibus apud Athenæum p. 340. E. corrigendam esse monuit summus Bentleius. Hujus Agyrrii meminit etiam Plato Comicus his versibus:

λαβοῦ, λαβοῦ τῆς χειρὸς ὡς τάχιστά μου·
μέλλω στρατηγὸν χειροτονεῖν 'Αγύῤῥιον.

106. τοσοῦτον, οὕνεκα. Sic bini codd. Immo in altero posita distinctio post τοσοῦτον, recte. Edit. B. Juntæ τοσοῦτον γ' οὕνεκα. male in ceteris τοσοῦτον γ' οὕνεκα. Verborum constructionem, et quomodo hyperbaton resolvi debeat, distinctio indicat: τούτου γέ τοι οὕνεκα, νὴ τὴν ἐπιοῦσαν ἡμέραν, τόλμημα τολμῶμεν τοσοῦτον, ἤν πως—

110. θηλύφρων ξυνουσία. Sic bini codd. et editio Bern. Juntæ, recte. Vulgo θηλύφρων ἐξουσία.

113. Hesych. σποδεῖσθαι. περαίνεσθαι. Isto sensu hic accipiendum. hinc jocus in Equit. 425. et rursus 879.

115. δεινὸν δ' ἐστίν. Media particula in binis codd. omissa. Utique sine ullo incommodo abesse potest.

117. ὅπως προμελετήσωμεν. Rarissime apud Comicum occurrere ὅπως, ut finale significans cum subjunctivo constructum sine particula ἂν, observavi ad Lys. 384. et Ran. 1365. Aliud exemplum est in Vesp. 1525. Nihilominus hic legi mallem:

ὡς ἂν προμελετήσωμεν, ἅ 'κεῖ δεῖ λέγειν.

οὐκ ἂν φθάνοις τὸ γένειον ἂν περιδουμένη,
ἄλλαι θ' ὅσαι λαλεῖν μεμελετήκασί που;
Γυ. θ'. τίς δ', ὦ μέλ', ἡμῶν οὐ λαλεῖν ἐπίσταται;
Πρ. ἴθι δὴ σὺ περίδου, καὶ ταχέως ἀνὴρ γενοῦ·
ἐγὼ δὲ θεῖσα τοὺς στεφάνους, περιδήσομαι
καὐτὴ μεθ' ὑμῶν, ἤν τι μοι δόξῃ λέγειν.
Γυ. β'. δεῦρ', ὦ γλυκυτάτη Πραξαγόρα, σκέψαι τάλαν,
ὡς καὶ καταγέλαστον τὸ πρᾶγμα φαίνεται.
Πρ. πῶς καταγέλαστον;
Γυ. β'. ὥσπερ εἴ τις σηπίαις
πώγωνα περιδήσειεν ἐσταθευμέναις.
Πρ. ὁ Περιστίαρχος, περιφέρειν χρὴ τὴν γαλῆν,
πάριθ' ἐς τὸ πρόσθεν. Ἀρίφραδες, παῦσαι λαλῶν·
κάθιζε παριών. τίς ἀγορεύειν βούλεται;
Γυ. θ'. ἐγώ.
Πρ. περίθου δὴ τὸν στέφανον τύχῃ 'γαθῇ.
Γυ. θ'. ἰδού.
Πρ. λέγοις ἄν.
Γυ. θ'. εἶτα πρὶν πιεῖν λέγω;
Πρ. ἰδοὺ ΠΙΕΙΝ.
Γυ. θ'. τί γάρ, ὦ μέλ', ἐστεφανωσάμην;
Πρ. ἄπιθ' ἐκποδών· τοιαῦτ' ἂν ἡμᾶς εἰργάσω

118. οὐκ ἂν φθάνοις τὸ γένειον ἂν περιδουμένη; Observa particulam ἂν geminatam, ut in Eurip. versu ex Heraclidis, quem protuli ad Pl. 1133.

φθάνοις δ' ἂν οὐκ ἂν τοῖσδε συγκρύπτων δέμας;

Hujus Comici versus si Musgravio in mentem venisset, futilem inepti hominis conjecturam non recepisset.

128. τὴν γαλῆν. Comica licentia pro τὸ χοιρίδιον. Porcello enim lustrabatur concio: qui autem lustrabat περιστίαρχος appellabatur. Pollux viii. 104. περὶ Περιστιάρχων. ἐκάθαιρον χοιριδίοις μικροῖς οὗτοι τὴν ἐκκλησίαν καὶ τὸ θέατρον. καθάρσιον δὲ ἐκαλεῖτο τοῦτο τὸ χοιρίδιον. Sic constituendus videtur Onomastici locus. κάθαρμα etiam vocabatur illa hostia. Noster Acharn. 44.

πάριθ', ὡς ἂν ἐντὸς ἦτε τοῦ καθάρματος.

Locus Æschinis in Orat. c. Timarchum, quem Scholiastes ad illum versum adducit, est in editione Reiskii p. 48.

129. Ariphrades notus ex Equit. 1280. et Vesp. 1280. Facete hic fingit Comicus eum inter mulieres sedere.

131. τύχῃ 'γαθῇ. Perperam membran. et primariæ editiones τύχ' ἀγαθῇ.

κᾀκεῖ.
Γυ. θ'. τί δ'; οὐ πίνουσι κᾀν τῇ 'κκλησίᾳ;
Πρ. ἰδού γέ σοι ΠΙΝΟΥΣΙ.
Γυ. θ'. νὴ τὴν Ἄρτεμιν,
καὶ ταῦτά γ' εὔζωρον. τὰ γοῦν βουλεύματα
αὐτῶν, ὅσ' ἂν πράξωσιν ἐνθυμουμένοις,
ὥσπερ μεθυόντων, ἐστὶ παραπεπληγμένα.
καὶ, νὴ Δία, σπένδουσί γ'· ἢ τίνος ἂν χάριν
τοσαῦτ' ἐπεύχοντ', εἴπερ οἶνος μὴ παρῆν;
καὶ λοιδοροῦνταί γ', ὥσπερ ἐμπεπωκότες·
καὶ τὸν παροινοῦντ' ἐκφέρουσ' οἱ τοξόται.
Πρ. σὺ μὲν βάδιζε, καὶ κάθιζ'· οὐδὲν γὰρ εἶ.
Γυ. θ'. νὴ τὸν Δί', ἦ μοι μὴ γενειᾶν κρεῖττον ἦν·
δίψει γὰρ, ὡς ἔοικεν, ἀφαυανθήσομαι.
Πρ. ἔσθ' ἥτις ἑτέρα βούλεται λέγειν;
Γυ. ί. ἐγώ.
Πρ. ἴθι δὴ στεφανοῦ· καὶ γὰρ τὸ χρῆμ' ἐργάζεται.
ἄγε νυν ὅπως ἀνδριστὶ καὶ καλῶς ἐρεῖς,
διερεισμένη τὸ σχῆμα τῇ βακτηρίᾳ.
Γυ. ί. Ἐβουλόμην μὲν ἕτερον ἂν τῶν ἠθάδων
λέγειν τὰ βέλτισθ', ἵν' ἐκαθήμην ἥσυχος·
νῦν δ' οὐκ ἐάσω, κατά γε τὴν ἐμὴν, μίαν

135. κᾀκεῖ. Sic bene cod. uterque et editio Bern. Juntæ. Vulgo ἐκεῖ.

140. Vulgo legitur ἢ τίνος χάριν τοσαῦτά γ' εὔχοντ'—quæ venustus Faber sic reddidit: *Sin minus, cujus rei gratia ita diis supplicarent, vinum nisi adesset?* Recte ad poëtæ mentem et loci sententiam: sed depravata erant græca. Bern. Junta edidit: τοσαῦτ' ἐπεύχοντ'. Potentialem particulam, quam linguæ ratio abesse non patitur, reposui. Sed ἐπεύχοντ' in imperfecto indicativi servari debebat. Vide quæ notavi ad Lys. 149. et ad Pl. 583. locus itaque sic legendus:
ἢ τίνος ἂν χάριν
τοσαῦτ' ἐπεύχοντ', εἴπερ οἶνος μὴ παρῆν;
In membr. scriptum τοσαῦτά γ' εὔχονται εἴπερ ἐμπεπτωκότες—In altero τοσαῦτά γ' εὔχοντ' εἴπερ ἐκπεπτωκότες, intermediis in utroque omissis. πεπωκὼς, et πεπτωκὼς in libris sæpe permutantur, quod observavimus ad Lys. 395.

146. ὡς ἔοικεν, ἀφαυανθήσομαι. In binis codd. ut in edit. Bern. Juntæ, ὡς ἔοικε φαυανθήσομαι. Vide not. ad Ran. 1089.

150. τῇ βακτηρίᾳ. Edit. Bern. Juntæ τῆς βακτηρίας, qua in lectione rursus consentientes habet binos codd.

153. κατά γε τὴν ἐμὴν, (subaudi γνώ-

ἐν τοῖσι καπηλείοισι λάκκους ἐμποιεῖν
ὕδατος. ἐμοὶ μὲν οὐ δοκεῖ, μὰ τὼ θεώ—
Πρ. ΜΑ ΤΩ ΘΕΩ. τάλαινα, ποῦ τὸν νοῦν ἔχεις;
Γυ. ί. τί δ' ἔστιν; οὐ γὰρ δὴ πιεῖν ᾔτησά σε.
Πρ. μὰ Δί', ἀλλ' ἀνὴρ ὢν τὼ θεὼ κατώμοσας,
καί τοι τά γ' ἄλλ' εἰποῦσα δεξιώτατα.
Γυ. ί. ὢ νὴ τὸν Ἀπόλλω.
Πρ. παῦε τοίνυν, ὡς ἐγὼ
ἐκκλησιάζουσ' οὐ προβαίην τὸν πόδα
τὸν ἕτερον ἄν, εἰ μὴ τοῦτ' ἀκριβωθήσεται.
Γυ. ί. φέρε τὸν στέφανον· ἐγὼ γὰρ αὖ λέξω πάλιν.
οἶμαι γὰρ ἤδη μεμελετηκέναι καλῶς.
Ἐμοὶ γάρ, ὦ γυναῖκες αἱ καθήμεναι —
Πρ. γυναῖκας αὖ, δύστηνε, τοὺς ἄνδρας λέγεις.
Γυ. ί. δι' Ἐπίγονόν γ' ἐκεῖνον. ἐπιβλέψασα γὰρ
ἐκεῖσε, πρὸς γυναῖκας ᾤόμην λέγειν.
Πρ. ἄπερρε καὶ σύ, καὶ κάθησ' ἐντευθενί.

μην) μίαν scilicet κάπηλον, quod nomen e proximo καπηλείοισι absumendum. Sic, mutata solum distinctione, locum hunc, qui antea obscurus erat, illustravit Toupius, quem vide in Suidam i. 80.

154. ἐν τοῖσι—Bini codd. ἐν τοῖς καπηλείοισι, quod mihi gratius aures accidit.

160. ὢ—Sic in binis codd. accentu notata admirandi hæc interjectio. In impressis ὦ.

161. Vulgo legitur metro prorsus corrupto:

ἐκκλησιάζουσ' οὐκ ἂν προβαίην τὸν πόδα
τὸν ἕτερον, εἰ μὴ—

In altero Regio hæc est scriptura:

ἐκκλησιάζουσ' οὐ προβαίην τὸν πόδα
τὸν ἕτερον, εἰ μὴ—

ad metri legem bene: sed vides particulam potentialem quæ male vulgo in priore versu ponitur, in altero propriam suam sedem habere, et librarii culpa omissam fuisse; proinde rescribi debuisse, τὸν ἕτερον ἄν, εἰ μὴ—

162. εἰ μὴ τοῦτ' ἀκριβωθήσεται. Cum futuro indicativi εἰ bene construitur, licet in altero membro verbum sit optativi modi cum particula ἄν. Euripides Hippol. 484.

ἦ τ' ἄρ' ἂν ὀψέ γ' ἄνδρες ἐξεύροιεν ἄν,
εἰ μὴ γυναῖκες μηχανὰς εὑρήσομεν.

In Philemonis versibus e Rhodia, quos protuli ad Pl. 1064. bene legeretur:

εἰ πάντες ἀποθανούμεθ', οἷς μὴ γίγνεται
ἃ βουλόμεσθα, πάντες ἀποθανοίμεθ' ἄν.

Sed præstat eo in loco codicis fidem sequi.

167. δι' Ἐπίγονόν γ' ἐκεῖνον. Sic optime bini codd. Vulgo μὰ Δί', Ἐπίγονόν γ' ἐκεῖνον, sine sensu. μὰ repetiit oscitabundus alius librarius e v. 158.

169. ἄπερρε καὶ σύ, καὶ κάθησ'—Sic libri omnes, nisi quod mendose in codd.

αὐτὴ γὰρ ὑμῶν γ' ἕνεκά μοι λέξειν δοκῶ,
τονδὶ λαβοῦσα· τοῖς θεοῖς μὲν εὔχομαι,
τυχεῖν κατορθώσασα τὰ βεβουλευμένα.
'Εμοίγ' ἴσον μὲν τῆσδε τῆς χώρας μέτα,
ὅσον περ ὑμῖν· ἄχθομαι δὲ καὶ φέρω
τὰ τῆς πόλεως ἅπαντα βαρέως πράγματα.
ὁρῶ γὰρ αὐτὴν προστάταισι χρωμένην
ἀεὶ πονηροῖς· κἄν τις ἡμέραν μίαν
χρηστὸς γένηται, δέκα πονηρὸς γίγνεται.
ἐπέτρεψας ἑτέρῳ; πλεῖον' ἔτι δράσει κακά.
χαλεπὸν μὲν οὖν ἄνδρας δυσαρέστους νουθετεῖν,
οἳ τοὺς φιλεῖν μὲν βουλομένους δεδοίκατε,
τοὺς δ' οὐκ ἐθέλοντας ἀντιβολεῖθ' ἑκάστοτε.
ἐκκλησίαισιν ἦν ὅτ' οὐκ ἐχρώμεθα
οὐδὲν τοπαράπαν· ἀλλὰ τόν γ' Ἀγύῤῥιον
πονηρὸν ἡγούμεσθα· νῦν δὲ, χρωμένων,
ὁ μὲν λαβὼν ἀργύριον, ὑπερεπῄνεσεν·
ὁ δ' οὐ λαβὼν, εἶναι θανάτου φήσ' ἀξίους
τοὺς μισθοφορεῖν ζητοῦντας ἐν τῇ 'κκλησίᾳ.
Γυ. α'. νὴ τὴν Ἀφροδίτην, εὖγε ταυταγὶ λέγεις.
Πρ. τάλαιν', Ἀφροδίτην ὠνόμασας. χαρίεντά γ' ἂν
ἔδρασας, εἰ τοῦτ' εἶπες ἐν τῇ 'κκλησίᾳ.
Γυ. α'. ἀλλ' οὐκ ἂν εἶπον.

ut in primariis editt. est κάθησθ'—Sollicitandum non erat καὶ σὺ, quod optime habet, nec cum Marklando ad Eurip. Suppl. 1181. legendum, ἄπιθι, χ' ἥσυχος κάθησ' ἐντευθενί. In hanc cogitationem non incidisset vir optimus, si Comici editione usus fuisset, quæ personas recte distinctas, uti nunc primum conspiciuntur, exhibuisset. Mulieri ix. hæc dicit Praxagora: quia vero mulieri viii. jam dixerat v. 144. σὺ μὲν βάδιζε, καὶ κάθιζ'· οὐδὲν γὰρ εἶ. Huic, quæ post illam pro concione verba facere temere aggressa est, ait: καὶ σὺ, *et tu quoque, ut prior illa, facesse hinc.*

173. ἐμοίγ' ἴσον. Perperam vulgo ἐμοὶ δ' ἴσον. Vide not. ad Lys. 739.

175. ἅπαντα βαρέως πράγματα. Inconcinne in utroque codice, ἅπαντα πράγματα βαρέως.

178. γίγνεται est in primariis editt. et in binis codd. Nescio cujus editoris libidine vulgo legatur γίνεται.

192. ἀλλ' οὐκ ἂν εἶπον. Sic bene uterque cod. Perperam impressi οὐκ ἂν εἶπω. Quum dixisset Praxagora:

Πρ. μηδ' ἐθίζου νῦν λέγειν.
Τὸ συμμαχικὸν αὖ τοῦθ', ὅτ' ἐσκοπούμεθα,
εἰ μὴ γένοιτ', ἀπολεῖν ἔφασκον τὴν πόλιν·
ὅτε δὴ δ' ἐγένετ', ἤχθοντο· τῶν δὲ ῥητόρων
ὁ ταῦτ' ἀναπείσας εὐθὺς ἀποδρὰς ᾤχετο.
ναῦς δὴ καθέλκειν τῷ πένητι μὲν δοκεῖ·
τοῖς πλουσίοις δὲ καὶ γεωργοῖς οὐ δοκεῖ.
Κορινθίοις ἄχθεσθε· κᾀκεῖνοί γέ σοι
νῦν εἰσὶ χρηστοὶ, καὶ σὺ νῦν χρηστὸς γενοῦ.
Ἀργεῖος ἀμαθὴς, ἀλλ' Ἱερώνυμος σοφός·
σωτηρία παρέκυψεν, ἀλλ' ὁρίζεται
Θρασύβουλος αὐτὸς οὐχὶ παρακαλούμενος.
Γυ. α'. ὡς ξυνετὸς ἀνήρ.
Πρ. νῦν καλῶς ἐπῄνεσας.
Ὑμεῖς γ' ἄρ' ἔστ', ὦ δῆμε, τούτων αἴτιοι.

Lepida vero et jocosa nobis faceres, in concione si id diceres, respondet mulier: *At non dicerem*, ἀλλ' οὐκ ἂν εἶπον. Unde liquet bene me in superiore versu pro vulgato εἶπας, reposuisse εἴπῃς.

195. ὅτε δὴ δ' ἐγένετ'—Sic bene ambo codd. Vulgo ὅτε δή γ'—

196. ὁ ταῦτ' ἀναπείσας—In Cononem hoc minime cadere mihi videtur. Totus hic locus admodum obscurus est ob monumentorum historicorum penuriam. v. 199. Κορινθίοις ἄχθεσθε. Legendum credo ἤχθεσθε: maxime si, ut Palmerio videtur, edita fuit hæc fabula post initam Atheniensibus cum Corinthiis, Argivis et Bœotis contra Lacedæmonios societatem. Præterea manifesta est oppositio temporum quibus diversimode erga se invicem affecti erant Corinthii et Athenienses quæ nulla esset, si ἄχθεσθε in præsenti retineretur. V. 201. sensus hic esse videtur: *Argivus antea rudis audiebat: nunc vero Hieronymus rerum peritus esse comperitur*. Quibus in verbis rursus est oppositio opinionis quæ antea obtinuerat, et illius quæ tum fovebatur de Argivis. Proinde Hieronymus ille Argivus fuerit, atque diversus ab eo cujus meminit Diodorus Lib. xiv. cap. 81. qui Atheniensis erat. Porro qui sequuntur duo versus Cimmeriis tenebris involuti sunt; nec dubito quin eorum scriptura depravata sit. Vulgo legitur ἀλλ' ὁρίζεται. In membr. vero, ut in edit. B. Juntæ, ἀλλ' οὐχ ὁρίζεται. Concedamus negationem inepte a librario additam fuisse; tamen sensum quem e vulgatis Faber elicuit, ea neutiquam admittunt: *Sed eam excludit Thrasybulus ipse*. Nec ὁρίζω nec ὁρίζομαι *excludendi* significatione usquam occurrit. Multo meliorem lectionem dat alter Regius, cui facile est sequentem versum accommodare: ἀλλ' οὐ χρῄζετι. Bini versus itaque sic legi possint:

σωτηρία παρέκυψεν· ἀλλ' οὐ χρῄζετι,
Θρασύβουλον αὐτὸν οὐχὶ παρακαλούμενοι.

Et hoc quidem in versione secutus sum: at in re obscura et admodum incerta emendationem meam in textum

τὰ δημόσια γὰρ μισθοφοροῦντες χρήματα,
ἰδίᾳ σκοπεῖθ' ἕκαστος, ὅ τι τις κερδανεῖ·
τὸ δὲ κοινὸν, ὥσπερ Αἴσιμος, κυλίνδεται.
ἢν οὖν ἐμοὶ πείθησθε, σωθήσεσθ' ἔτι.
ταῖς γὰρ γυναιξὶ φημὶ χρῆναι τὴν πόλιν
ἡμᾶς παραδοῦναι. καὶ γὰρ ἐν ταῖς οἰκίαις,
ταύταις ἐπιτρόποις καὶ ταμίαισι χρώμεθα.

Γυ. β'. εὖ γ', εὖ γε, νὴ Δί', εὖ γε· λέγε, λέγ', ὦ 'γαθέ.

Πρ. Ὡς δ' εἰσὶν ἡμῶν τοὺς τρόπους βελτίονες,
ἐγὼ διδάξω. πρῶτα μὲν γὰρ τἄρια
βάπτουσι θερμῷ κατὰ τὸν ἀρχαῖον νόμον
ἁπαξάπασαι· κοὐχὶ μεταπειρωμένας
ἴδοις ἂν αὐτάς. ἡ δ' Ἀθηναίων πόλις,
εἰ τοῦτο χρηστῶς εἶχεν, οὐκ ἂν ἐσώζετο,
εἰ μή τι καινὸν ἄλλο περιειργάζετο;
καθήμεναι φρύγουσιν, ὥσπερ καὶ προτοῦ.
ἐπὶ τῆς κεφαλῆς φέρουσιν, ὥσπερ καὶ προτοῦ.
τὰ Θεσμοφόρι' ἄγουσιν, ὥσπερ καὶ προτοῦ.

inferre veritus fui, quo recipietur olim, si eruditorum virorum trium aut quatuor, quorum est hac de re sententiam ferre, calculo comprobabitur. Thrasybulus autem hic intelligitur nobilis ille Atheniensium libertatis vindex, sive suadeat Comicus civibus suis, ut eum, forte tum absentem, arcessant et reipublicæ præficiant, sive metonymice Thrasybuli nomine quemvis alium significare velit popularis status defensorem, qui rempublicam tutam ab omni periculo præstare possit. Nec priori interpretationi repugnat temporum ratio. Nam si, juxta Palmerium, prodiit hæc fabula postquam Conon a Tiribazo in vincula conjectus est, id est post annum 3. Ol. xcvi. nihil obstat quin ipsum Thrasybulum hic intelligamus, qui quarto post anno demum ab Aspendiis interfectus fuit, scilicet anno 3. Ol. xcvii. Vide Diodorum l. xiv. cap. 99.

207. *σκοπεῖθ'*---Vulgo *σκοπεῖσθ'*, quod retineri debebat. In binis codd. *σκοπεῖς*. Membr. *ὅτι τί κερδανεῖς*. Alter, *ὅτι τί κερδανεῖ*.

211. *ἡμᾶς παραδοῦναι*. Sic bini codd. et editio Bern. Juntæ. Perperam vulgo *ὑμᾶς*, quum sequatur *χρώμεθα*, et mox rursus *ἡμῶν*.

216. *βάπτουσι, πλύνουσιν*. Schol. et ex eo Suidas.

219. *χρηστῶς. ἀντὶ τοῦ φυλακτικῶς. Ἀριστοφάνης·*--- *ἀντὶ τοῦ, ἐφυλάττετο τὸν ἀρχαῖον νόμον, καὶ μὴ ἐπολυπραγμόνει, καὶ τὰς καινὰς ἔφερε* (l. *εἰσέφερε*) *πολιτείας*. Verba sunt Suidæ, qui hunc locum profert, *non in iis quæ hodie exstant fabulis* reperiendum, ut Kustero videbatur.

τοὺς ἄνδρας ἐπιτρίβουσιν, ὥσπερ καὶ πρὸτοῦ.
μοιχοὺς ἔχουσιν ἔνδον, ὥσπερ καὶ πρὸτοῦ·
αὑτοῖς παροψωνοῦσιν, ὥσπερ καὶ πρὸτοῦ.
τὸν οἶνον εὔζωρον φιλοῦσ', ὥσπερ πρὸτοῦ.
βινούμεναι χαίρουσιν, ὥσπερ καὶ πρὸτοῦ.
ταύταισιν οὖν, ὦ 'νδρες, παραδόντες τὴν πόλιν,
μὴ περιλαλῶμεν, μηδὲ πυνθανώμεθα,
τί ποτ' ἄρα δρᾶν μέλλουσιν, ἀλλ' ἁπλῷ τρόπῳ
ἐῶμεν ἄρχειν, σκεψάμενοι ταυτὶ μόνα·
ὡς τοὺς στρατιώτας πρῶτον οὖσαι μητέρες
σώζειν μάλ' ἐπιθυμοῦσιν· εἶτα σιτία
τίς τῆς τεκούσης μᾶλλον ἐπιπέμψειεν ἄν;
χρήματα πορίζειν εὐπορώτατον γυνή·
ἄρχουσά τ' οὐκ ἂν ἐξαπατηθείη ποτέ.
αὐταὶ γάρ εἰσιν ἐξαπατᾶν εἰθισμέναι.
τὰ μὲν ἄλλ' ἐάσω· ταῦτα δ' ἂν πείθησθέ μοι,
εὐδαιμονοῦντες τὸν βίον διάξετε.

Γυ. α'. εὖ γ', ὦ γλυκυτάτη Πραξαγόρα, καὶ δεξιῶς.
πόθεν, ὦ τάλαινα, ταῦτ' ἔμαθες οὕτω καλῶς;

Πρ. ἐν ταῖσι φυγαῖς μετὰ τἀνδρὸς ᾤκησ' ἐν Πυκνί·
ἔπειτ' ἀκούουσ' ἐξέμαθον τῶν ῥητόρων.

224. Parasitus in Plauti Menæchmis iv. 1. roganti mulieri, quid sibi cum marito sit agendum, respondet :

Idem quod semper, male habeas.

226. αὑτοῖς παροψωνοῦσιν. Id est τοῖς μοιχοῖς. Positum αὑτοῖς, pro αὐτῶν χάριν. Vide not. ad Ran. 615. Vulgo male legitur αὐταῖς. *Levissima mutatione* emendationem tentabat Kusterus, αὐταί. At ego leviori, αὑτοῖς. Græca non adtigit ingeniosus Faber, sed sensum perspexit : *in obsonando fallunt. Gallice dicimus* : ELLES FERRENT LA MULE. *Adde*, MŒCHORUM GRATIA.

231. τί ποτ' ἄρα. Sic bini codd. et primariæ editt.

234. σώζειν μάλ' ἐπιθυμοῦσιν. Sic bene Scaliger. Media vocula vulgo omissa cum versus labe. In binis codd. σώζουσιν ἐπιθυμοῦσιν, constantibus quidem numeris, sed corrupta sententia.

239. Vulgo sic legitur hic versus : τὰ δ' ἄλλ' ἐάσω· ταῦτα κἂν πείθησθέ μοι. Istud κἂν mendosum est, cui hic nullus locus esse potest. Scripserat poëta :

τὰ μὲν ἄλλ' ἐάσω· ταῦτα δ' ἂν πείθησθέ μοι.

243. ἐν Πυκνί. Sic bini codd. recte. Vulgo ἐν Πυκνί. Vide not. ad Thesm. 658. μετὰ τἀνδρὸς etiam in binis codd. scriptum est, quod jam reposueram antequam eos inspexissem. Articulum hic prorsus flagitat Atticismi ratio. Supra v. 48. παρὰ τἀνδρός. Perperam in altero cod. ᾤκισ'.

Γυ. α΄. οὐκ ἐτὸς ἄρ', ὦ μέλ', ἦσθα δεινὴ καὶ σοφή·
καί σε στρατηγεῖν αἱ γυναῖκες αὐτόθεν
αἱρούμεθ', ἢν ταῦθ', ἁ'πινοεῖς, κατεργάσῃ.
ἀτὰρ ἢν Κέφαλός σοι λοιδορῆται προσφθαρεὶς,
πῶς ἀντερεῖς πρὸς αὐτὸν ἐν τῇ 'κκλησίᾳ;
Πρ. φήσω παραφρονεῖν αὐτόν.
Γυ. α΄. ἀλλὰ τοῦτό γε
ἴσασι πάντες.
Πρ. ἀλλὰ καὶ μελαγχολᾶν.
Γυ. α΄. καὶ τοῦτ' ἴσασιν.
Πρ. ἀλλὰ καὶ τὰ τρυβλία
κακῶς κεραμεύειν, τὴν δὲ πόλιν εὖ καὶ καλῶς.
Γυ. α΄. τί δ', ἢν Νεοκλείδης ὁ γλάμων σε λοιδορῇ;
Πρ. τούτῳ μὲν ἂν εἴποιμ' ἐς κυνὸς πυγὴν ὁρᾶν.

246. *καί σε στρατηγεῖν.* Sic bini codd. et editio Bern. Juntæ. Vulgo *στρατηγόν*.

248. *προσφθαρεὶς*, *accedens*. *φθείρεσθαι* Atticis scriptoribus significat *ire*, *venire*, sed in malam partem semper accipitur, de iis qui cum suo aut aliorum malo vel damno *eunt* aut *vagantur*. Noster Av. 916.

ἀτὰρ, ὦ πονηρὰ, κατὰ τί δεῦρ' ἀνεφθάρης;

Pac. 72.

ἰχθὺς δὲ μετὰ ταῦτ' ἐκφθαρεὶς οὐκ οἶδ' ὅποι.

Demosthenes c. Midiam p. 560. *ἀλλὰ δεινοί τινές εἰσιν φθείρεσθαι πρὸς τοὺς πλουσίους, καὶ παρεῖναι, καὶ μαρτυρεῖν.* Bene Reiskius interpretatur: *cum contentione, quasi certatim, concurrere, ruere, ferri ad divites, ad horum divitum fraudem pestemque.* Plura de hujus verbi diversis significationibus vide Misc. Observatt. tom. iv. p. 451.

255. Vulgo legitur: *τούτῳ μέν εἶπον ἐς κυνὸς πυγὴν ὁρᾶν.* Quod significat, *huic quidem dixi*, sententia repugnante. Faber vertit, *huic ego dicam*: ad sensum recte, sed non ex Græcis. Jamdudum sinceram poëtæ manum restitueram: *τούτῳ μὲν ἂν εἴποιμ'.* Emendationem hanc plane confirmavit alter Regius, in quo perspicue scriptum, *τούτῳ μὲν εἴποιμ'*, male omissa particula potentiali, qua in re tot jam librariorum socordiæ exempla enotavi, ut pigeat crambem hanc recoquere. Nisi quis prorsus Attici sermonis imperitus sit, statim animadvertit a Comico non aliter scribi potuisse. Mendosa impressorum lectione usus est nuper Parisinus Professor in nota ad Sophoclis Aj. 183. ubi pro solito suo more ineptissime nugatur:

πεπλάνητ' ἐκεῖνος, καὶ φρένας κούφας ἔχει.

Notam illam alibi ad examen revocabo: nunc unica observatione defungar. Nihil verius est, quam quod alicubi ait Dawesius, apud solos poëtas certam reperiri sermonis Attici normam. Hos ab infinitis corruptelis, quibus scatent oratores, vix apud eos animadversis, incolumes præstitit metrorum ratio. Æschinis orationem c. Timarchum hisce forte diebus legebam, cujus statim initio offendit me solœcismus, quem libra-

Γυ. α'. τί δ', ἢν ὑποκρούσωσί σε;
Πρ. προσκινήσομαι,
ἅτ' οὐκ ἄπειρος οὖσα πολλῶν κρουμάτων.
Γυ. α'. ἐκεῖνο μόνον ἄσκεπτον, ἢν σε τοξόται
ἕλκωσιν, ὅ τι δράσεις ποτ'.
Πρ. ἐξαγκωνιῶ
ὡδί· μέση γὰρ οὐδέποτε ληφθήσομαι.
Γυ. α'. ἡμεῖς δέ γ', ἢν αἴρωσ', ἐᾶν κελεύσομεν.
Γυ. β'. ταυτὶ μὲν ἡμῖν ἐντεθύμηται καλῶς·
ἐκεῖνο δ' οὐ πεφροντίκαμεν, ὅτῳ τρόπῳ
τὰς χεῖρας αἴρειν μνημονεύσομεν τότε.
εἰθισμέναι γὰρ ἐσμὲν αἴρειν τὰ σκέλη.
Πρ. χαλεπὸν τὸ πρᾶγμ'· ὅμως δὲ χειροτονητέον
ἐξωμισάσαις τὸν ἕτερον βραχίονα.
ἄγε νυν ἀναστέλλεσθ' ἄνω τὰ χιτώνια·
ὑποδεῖσθε δ' ὡς τάχιστα τὰς Λακωνικὰς,
ὥσπερ τὸν ἄνδρα θεᾶσθ', ὅτ' εἰς ἐκκλησίαν
μέλλοι βαδίζειν, ἢ θύραζ' ἑκάστοτε.
ἔπειτ', ἐπειδὰν ταῦτα πάντ' ἔχῃ καλῶς,
περιδεῖσθε τοὺς πώγωνας. ἡνίκ' ἂν δέ γε

rii imperitiæ deberi neminem fugiet, qui cum Aristophane familiaritatem contraxerit. προσήκειν δ' ἔγωγε νομίζω, ὅταν μὲν νομοθετῶμεν, τοῦθ' ἡμᾶς σκοπεῖν, ὅπως καλῶς ἔχοντας καὶ συμφέροντας νόμους τῇ πολιτείᾳ ΘΗΣΟΙΜΕΘΑ. Certum est oratorem scripsisse ΘΗΣΟΜΕΘΑ. Horum *θησοίμεθα*, *θησόμεθα*, in versu vix fieri posset, ut alterum in alterius locum irrepsisset salva metri lege, cujus indicio fraus detegeretur. At in solutæ orationis scriptore ad ista non advertunt, qui singulorum græcorum vocabulorum significationem norunt, græci tamen sermonis proprietatem et indolem ignorant.

256. *προσκινήσομαι.* In Lys. 227. *κακῶς παρέξω, κοὐχὶ προσκινήσομαι.* Jocus est in ambiguo. *ὑποκρούειν* *pulsare* significat, *verberare*; sed et verbum est palæstræ venereæ, *subagitare*. Quod priori sensu mulier dixerat, altero Praxagora accipit, ideo respondet *προσκινήσομαι.*

259. *ἕλκωσιν*, *trahere velint.* Diverso sensu *ἐξαγκωνίζεσθαι* apud Diodorum occurrit L. xiii. cap. 27. ubi a Wesselingio illustratur.

265. *αἴρειν τὰ σκέλη.* In Lys. 229. *οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰς Περσικάς.* Quid sit *tollere pedes*, ostendit versu illo Ovidius de A. A. iii. 775.

Milanion humeris Atalantes crura ferebat.

Gons. de Salas ad Petron. cap. 55. ubi plura dabunt alii interpretes.

268. *τὰ χιτώνια* male redditum in versione per *vestes.* Verti debuit, *tunicas succingite.* Hunc locum explicat Oct. Ferrarius de Re Vestiaria Partis ii. Lib. iv. p. 149. seqq.

τούτους ἀκριβώσητε περιηρμοσμέναι,
καὶ θαἰμάτια τἀνδρεῖά γ', ἅπερ ἐκλέψατε,
ἐπαναβάλεσθε, κᾆτα ταῖς βακτηρίαις
ἐπερειδόμεναι βαδίζετ', ᾄδουσαι μέλος
πρεσβυτικόν τι, τὸν τρόπον μιμούμεναι
τὸν τῶν ἀγροίκων.
Γυ. β'. εὖ λέγεις· ἡμεῖς δέ γε
προΐωμεν αὐτῶν. καὶ γὰρ ἑτέρας οἴομαι
ἐκ τῶν ἀγρῶν εἰς τὴν Πνύχ' ἥξειν ἄντικρυς
γυναῖκας.
Πρ. ἀλλὰ σπεύσαθ', ὡς εἴωθ' ἐκεῖ
τοῖς μὴ παροῦσιν ὀρθρίως ἐς τὴν Πνύκα,
ὑπαποτρέχειν ἔχουσι μηδὲ πάτταλον.
Χο. ὥρα προβαίνειν, ὦνδρες, ἡμῖν ἐστι. τοῦτο γὰρ χρὴ
μεμνημένας ἀεὶ λέγειν, ὡς μή ποτ' ἐξολίσθῃ,
ἡμᾶς. ὁ κίνδυνος γὰρ οὐχὶ μικρὸς, ἢν ἁλῶμεν
ἐνδυόμεναι κατὰ σκότον τόλμημα τηλικοῦτον.
Ημ. χωρῶμεν εἰς ἐκκλησίαν, ὦνδρες· ἠπείλησε γὰρ
ὁ Θεσμοθέτης, ὃς ἂν μὴ πρῳ πάνυ τοῦ κνέφους
ἥκῃ κεκονιμένος, βλέπων ὑπότριμμα,
στέργων σκοροδάλμῃ, μὴ δώσειν τὸ τριώβολον.

275. τἀνδρεῖά γ' ἅπερ. Perperam vulgo τἀνδρεῖα τάπερ. In binis codd. τἀνδρεῖα θ' ἅπερ. Articulo præpositivo ὁ vice relativi ὅς, Tragici quandoque utuntur, Aristophanes nunquam; ut nec eodem articulo utitur vice pronominis οὗτος vel αὐτὸς, quod observavi ad Pl. 44. ubi male excusum ὅς pro ὁ.

276. ἐπαναβάλεσθε. Sic bene alter Reg. Sed sine codicis ope tolli poterat editionum menda ἐπαναβάλλεσθε. Hunc locum jam emendaverat Toupius ad Suidam i. 146.

282. σπεύσαθ'. Vulgo corrupto metro σπεύσασθ', quod etiam sine codice emendari poterat. Illud est in altero Reg.

284. μηδὲ πάτταλον. Sic etiam bini codd. nec sollicitari debet. πασσάλην, quod a poëtæ manu esse suspicari quis possit, occurrit Vesp. 91. diverso modo constructum:

ὕπνου δ' ὁρᾷ τῆς νυκτὸς οὐδὲ πασσάλην.

Vide Pierson. ad Mœrin p. 330.

287. ἡμᾶς. Pronomen hoc non pendet ab ἐξολίσθῃ. Ordo est: τοῦτο γὰρ χρὴ μεμνημένας ἡμᾶς ἀεὶ λέγειν, ὡς μή ποτ' ἐξολίσθῃ.

288. ἐνδυόμεναι. Sic recte Faber. Vulgo ἐνδούμεναι, quod nihili est.

290. ὃς ἂν μὴ πρῴ—Sic bini codd. recte. Vulgo ὡς ἄν. Fabri certissima emendatio in novissima Batava recepta fuit.

291. κεκονιμένος. Sic bene uterque cod. ut legi volebat Kusterus. Minus bene vulgo κεκονισμένος.

292. μὴ δώσειν τὸ τριώβολον. Articu-

ἀλλ', ὦ Χαριτιμίδη, καὶ Σμίκυθε, καὶ Δράκης,
ἕπου κατεπείγων, σαυτῷ προσέχων, ὅπως
μηδὲν παραχορδιεῖς, ὧν δεῖ σ' ἀποδεῖξαι·
ὅπως δὲ τὸ σύμβολον λαβόντες ἔπειτα πλη-

lum, qui in impressis omissus est, exhibent ambo codd.

293. Sic in primariis editt. legitur hic versus, ut et in membr.

> ἀλλ' ὦ χάριτι μία ἢ καὶ σμίκυθι καὶ
> δράκη.

In recentioribus vero alia syllabarum distinctio, quam exhibet etiam alter Regius:

> ἀλλ' ὦ Χάρι τιμία, ἢ καὶ Σμίκυθι, καὶ
> Δράκη.

Depravatam scripturam alii aliter restituere tentarunt, sed pariter omnes luserunt operam. Literis capitalibus, quæ olim solæ in usu erant, ista scribas, et verum facile deprehendes nomen:

ΑΛΛΩΧΑΡΙΤΙΜΙΑΗΚΑΙ.

Perperam Α aut scriptum, aut lectum fuit pro Δ, quod millies contigisse tironibus jam notum, cujusque rei exemplum enotavi ad Thesm. 456. Scriptum erat in antiquioribus libris Ω ΧΑΡΙΤΙΜΙΔΗ ΚΑΙ. Hoc certissimum est. Bisetus emendabat ὦ Χαριτιμία, ἢ καὶ—Sed Fabrum merito offendit istud ἢ, quod quid sibi velit, ne Bisetus ipse dixerit. Proinde reponebat ille, longius a vestigiis scripturæ veteris recedens:

> ἀλλ' ὦ Χαρίδημε, καὶ Σμίκυθε, καὶ σὺ
> Δράκη.

Pronomen σὺ inserebat, minime dubius quin ante literas δρ produci posset, sicque bonum senarium Comico se restituisse arbitrabatur. Sed fallebatur in omnibus. Nam ut in μικρὸς, σμικρὸς prima semper producitur, ita derivata inde nomina propria Σμίκυθος, Σμικυθίων, Σμικύθη prima longa semper efferuntur. Equit. 969.

> χρυσεον | διω | ξεις Σμι | κυθην | και κυ
> | ριον.

Vides quam facile erat mendam illam eluere, modo quis recta methodo usus fuisset. Hac occasione ridiculum errorem ostendam, quo obscuratur lex Attica ab Æschine prolata in Orat. c. Timarchum p. 23. edit. Cantabrig. Τῶν ῥητόρων ἐάν τις λέγῃ ἐν βουλῇ ἢ ἐν δήμῳ περὶ τοῦ εἰσφερομένου, μὴ χωρὶς περὶ ἑκάστου, ἢ δὶς περὶ τοῦ αὐτοῦ ὁ αὐτὸς τοῖς αὐτοῖς, ἢ λοιδορῆται, ἢ κακῶς ἀγορεύῃ τινὰ, ἢ ὑποκρούῃ, ἢ χρηματιζόντων μεταξὺ ΑΝΗΚΕΣΤΩΣ λέγῃ περὶ τῶν μὴ ἐπὶ τοῦ βήματος, ἢ παρακελεύηται, ἢ ἕλκῃ τὸν ἐπιστάτην ἀφειμένης τῆς ἐκκλησίας ἢ τῆς βουλῆς, κυριευέτωσαν οἱ πρόεδροι μέχρι πεντήκοντα δραχμῶν εἰς ἕκαστον ἀδίκημα ἐπιγράφειν τοῖς πράκτορσιν. Istud ΑΝΗΚΕΣΤΩΣ torsit interpretes, idque qui melius eorum explicare sibi visus est, nihil adtulit sani. Transpositæ literæ sunt librarii culpa: scribere debebat ΑΝΕΣΤΗΚΩΣ. Ut autem e diverticulo in viam revertar, observandum superest codicem utrumque exhibere Δράκης. Sic Lys. 254. χώρει, Δράκης, ἡγοῦ βάδην.

295. ὅπως μηδὲν παραχορδιεῖς. Vulgo παραχορδιῇς, quod non solœcum modo, sed etiam barbarum est: dedissent saltem παραχορδίσῃς. Sed ὅπως cum futuro indicativi construi debet, ut jam sæpius monui, et παραχορδιεῖς ad certam Atticismi normam reposuissem, etiamsi alter Regius cum Suida id non subministrasset. In præc. versu bini codd. ut et Suidas et editio Bern. Juntæ, habent:

> ἕπου κατεπείγων, σαυτῷ προσέχων, ὅ-
> πως.

quod Aldinæ lectioni κατεπείγων σαυτὸν, προσέχων—præferri debuit, et reponi velim.

σίον καθεδούμεθ', ὡς ἂν χειροτονῶμεν
ἅπανθ', ὁπόσ' ἂν δέῃ τὰς ἡμετέρας φίλας.
καί τοι τί λέγω; φίλους γὰρ χρῆν μ' ὀνομάζειν.

Ημ. ὅρα δ' ὅπως ὠθήσομεν τούσδε τοὺς ἐξ ἄστεος
ἥκοντας, ὅσοι πρότου μὲν, ἡνίκ' ἐλθόντας ἔδει
λαβεῖν ὀβολὸν μόνον, κάθηντο λαλοῦντες·
νυνὶ δ' ἐνοχλοῦσ' ἄγαν. ἀλλ' οὐχὶ, Μυρωνίδης
ὅτ' ἦρχεν ὁ γεννάδας, οὐδεὶς ἂν ἐτόλμα
τὰ τῆς πόλεως διοικεῖν, ἀργύριον λαβών·
ἀλλ' ἧκεν ἕκαστος ἐν ἀσκιδίῳ φέρων
πιεῖν, ἅμα τ' ἄρτον, καὶ δύο κρομμύω,

299. χρῆν μ' ὀνομάζειν. Sic bini codd. et primariæ editt. In recentioribus pronomen omissum. Supra v. 296. in membr. et in editione, Bern. Juntæ pro πλησίον est πλησία, quod Atticum et genuinum esse possit, ut πότερα pro πότερον. In editione Aldina, aliisque est πλησίαι. Male uterque cod. καθειδοῦμεν, et seq. v. ὅπως ἂν δέῃ.

300. Huic versui in membr. præfixa nota χορὸς ἕτερος, quod idem est ac ἡμίχορος: quæ nota versui etiam 289. præponi debuit. ὠθήσομεν est in membr. In altero ὀνήσομεν: vulgo ὠθήσομαι. In utroque τούσδε τοὺς ξένους. Melior est Aldina lectio τούσδε τοὺς ἐξ ἄστεως, modo ἄστεος per ο scribatur.

301. ἐλθόντας. Sic bini codd. Vulgo ἐλθόντ'.

302. In utroque cod. ut in editione Bern. Juntæ, pro vulgato ἐκάθηντο λαλοῦντες est κάθηντο λαλοῦσαι. Prius adsumi potuit; sed καθῆντο excudi debuit. Vide not. ad Thesm. 479.

305. ἀργύριον λαβών. Vulgo φέρων, quod poëta pro suo agnosci nolit, quum sequens versus in idem participium φέρων desinat, quæ librario causa fuit erroris. λαβὼν propriam in suam sedem revocavi. Vide 186. 187. 302. et 309. et confer not. ad v. 614.

307. ἄρτον, καὶ—Quod insertum exhibent impressi καὶ, non agnoscunt codd. In membr. δύω: recte alter δύο.

Quæ a binis Semichoris hic recitantur, nullam fere metri formam habere, recte observavit Dawesius, qui ea in xl. versiculos divisit, sibi antistrophice respondentes: quod ut procederet, necesse habuit quædam recidere, quædam inserere, alia immutare. Vix ego credam verba μὴ δῶσιν τὸ τριώβολον, v. 292. glossema esse, quo carere sententia possit. In codd. distincti sunt postremi duo versus, ut vulgo:

ζητοῦσι λαβεῖν, ὅταν πράττωσί τι κοινὸν, ὥσπερ πηλοφοροῦντες.

Primus in utroque Semichoro versus asynartetus est ex dimetro iambico et dimetro trochaico catal. utque duo isti sibi congruunt, probabile est decem sequentes singulis singulos olim congruisse. Librariorum fraude luxata sunt metra, quæ cujusnam fuerint generis quum ignoremus, eorum restitutionem tentare temerarium esset. In altero Semichoro quædam deesse videntur. Prioris duo ultimi versus ad senariorum formam facile redigi possunt:

ἅπανθ', ὁπόσ' ἂν τὰς ἡμετέρας φίλας δέῃ.

καὶ τρεῖς ἂν ἐλάας. νυνὶ δὲ τριώβολον
ζητοῦσι λαβεῖν, ὅταν πράττωσί τι κοινὸν,
ὥσπερ πηλοφοροῦντες.

ΒΛΕΠΥΡΟΣ, ΑΝΗΡ ΤΙΣ, ΧΡΕΜΗΣ, ΧΟΡΟΣ, ΠΡΑΞΑΓΟΡΑ.

Βλ. ΤΙ τὸ πρᾶγμα; ποῖ ποθ' ἡ γυνὴ φρούδη 'στί μοι;
ἐπεὶ πρὸς ἕω νῦν γ' ἔστιν· ἡ δ' οὐ φαίνεται.
ἐγὼ δὲ κατάκειμαι πάλαι χεζητιῶν,
τὰς ἐμβάδας ζητῶν λαβεῖν ἐν τῷ σκότῳ
καὶ θοἰμάτιον· ὅτε δὴ δ' ἐκεῖνο ψηλαφῶν
οὐκ ἐδυνάμην εὑρεῖν, ὁ δ' ἤδη τὴν θύραν
ἐπεῖχε κρούων ὁ Κοπρεαῖος, λαμβάνω
τουτὶ τὸ τῆς γυναικὸς ἡμιδιπλοΐδιον,
καὶ τὰς ἐκείνης Περσικὰς ὑφέλκομαι.
ἀλλ' ἐν καθαρῷ ποῦ, ποῦ τις ἂν χέσας τύχοι;
ἢ πανταχοῦ τοι νυκτός ἐστιν ἐν καλῷ.
οὐ γάρ με νῦν χέζοντά γ' οὐδεὶς ὄψεται.
οἴμοι κακοδαίμων, ὅτι γέρων ὢν ἠγόμην
γυναῖχ'· ὅσας εἴμ' ἄξιος πληγὰς λαβεῖν.
οὐ γάρ ποθ' ὑγιὲς οὐδὲν ἐξελήλυθε

καί τοι τί λέγω; φίλους γὰρ ἐνεμάζειν
μ' ἐχρῆν.

Sed hoc nihil expedit.

315. ὅτι δὴ δ' ἐκεῖνο. Perperam vulgo ὅτι δ' ἤδ' ἐκεῖνο: id est, ὅτι δὲ ἤδη ἐκεῖνο, ubi ultima in ἤδη eliditur, quæ elisionem non patitur. Recte in membran. scriptum, ut edidimus: in altero ὅτι δῆτ' ἐκεῖνο. Sic supra 195. ὅτι δὴ δ' ἐγένετ', ἤχθοντο. Vesp. 121. vulgo etiam legitur ὅτι δὴ δὲ ταύταις ταῖς τελεταῖς οὐκ ὠφέλει. Necesse non est itaque rescribere ὅτι δ' οὐδ' ἐκεῖνο, quæ conjectura est Toupii ad Suidam iii. 312.

317. ὁ Κοπρεαῖος. Perperam codd. et B. Junta κοπραῖος.

319. ὑφέλκομαι. Perperam membr. ἐφέλκομαι: pejus alter ἀφειλόμην.

320. ἐν καθαρῷ, in loco puro ab hominibus. Horatius Epist. ii. 271.

Puræ sunt plateæ, nihil ut meditantibus obstet.

Significandi vim explicat Apollonius iii. 1201.

ἀλλ' ὅτι δὴ τίδε χῶρον, ὅτις πάτου ἐκτοθεν ἦεν
ἀνθρώπων, καθαρῇσιν ὑπεύδιος εἱαμενῇσιν.

inde ἀποπατεῖν, quia alvum exoneraturi loca secreta quærere solent.

321. ἐστὶν ἐν καλῷ. Thesm. 292. ποῦ καθίζωμ' ἐν καλῷ, τῶν ῥητόρων ἵν' ἐξακούω;

δράσουσ'. ὅμως δ' οὖν ἐστιν ἀποπατητέον.
Αν. τίς ἐστιν; οὐ δήπου Βλέπυρος ὁ γειτνιῶν;
νὴ τὸν Δί', αὐτὸς δῆτ' ἐκεῖνος. εἴπ' ἐμοὶ,
τί τοῦτό σοι τὸ πυῤῥόν ἐστιν; οὔ τι που
Κινησίας σου κατατετίληκέν ποθεν;
Βλ. οὔκ· ἀλλὰ τῆς γυναικὸς ἐξελήλυθα
τὸ κροκωτίδιον ἀμπισχόμενος, ὃὐνδύεται.
Αν. τὸ δ' ἱμάτιόν σου ποῦ 'στιν;
Βλ. οὐκ ἔχω φράσαι·
ζητῶν γὰρ αὔτ' οὐχ εὗρον ἐν τοῖς στρώμασιν.
Αν. εἶτ' οὐδὲ τὴν γυναῖκ' ἐκέλευσάς σοι φράσαι;
Βλ. μὰ τὸν Δί'· οὐ γὰρ ἔνδον οὖσα τυγχάνει.
ἀλλ' ἐκτετρύπηκεν λαθοῦσά μ' ἔνδοθεν·
ὃ καὶ δέδοικα μή τι δρᾷ νεώτερον.
Αν. νὴ τὸν Ποσειδῶ, ταυτὰ τοίνυν ἄντικρυς

323. *νὴ τὸν Δί', αὐτὸς δῆτ' ἐκεῖνος.* Perperam vulgo hæc verba Blepyro tribuuntur: alteri viro continuantur in membr. recte. Sic Mysis in Terentii Andria iv. 5, 6.

Quem video? estne hic Crito sobrinus
Chrysidis?
is est.

Eun. iii. 4. 7.

Sed quisnam a Thaïde exit?
is est, annon est? ipsus est.

329. *τοῦτο τὸ πυῤῥόν.* His significatur color muliebris pallæ qua indutus est Blepyrus; quam priusquam discernat ille nescio quis, Blepyrum quem rubentem conspicit, a Cinesia cinædo concacatum fuisse arbitratur. Adposita nomini *Κινησίας* in membran. nota, *οὗτος μαλακός.*

330. Ultima hujus versus vox Blepyro vulgo tribuitur, sic scripta, *πόθεν;* pro morata negatione, de qua vide not. ad Ran. 1455. Sed hic illa locum non habet, quum sequatur absoluta negatio *οὐκ.*

332. *τὸ κροκωτίδιον.* Sic omnino legendum, ne titubet versus. Vulgo cum metri labe *τὸ κροκώτιον.* Mendosius in utroque cod. *τὸ κροκώπιον.* Lys. 47.

τὰ κροκωτίδια, καὶ τὰ μύρα, καὶ περιβαρίδες.

οὐ'νδύεται. Sic bini codd. recte. Iidem etiam v. 341. *οὐ'γὼ 'φόρουν,* pro *ὃ ἐνδύεται,* et *ὃ ἐγώ.*

338. *ὃ*—Sic etiam bini codd. id est *δι' ὅ.* Fallitur Faber legendum censens *ᾧ.* Vide quæ notavi ad Euripidis Hecubam 13. et Phœnissas 270. Apollonius i. 205.

ὃ καὶ μεταρίθμιος ἦε
πᾶσιν ἀριστήεσσιν—

Similis sententiæ versus est in Euripidis Medea 37.

δέδοικα δ' αὐτὴν, μή τι βουλεύσῃ νέον.

Ad quem vide quæ notavi. Sæpe *νέον* ponitur eodem sensu quo *κακόν.* Sic Bac. 358.

κἀξαιτώμεθα
ὑπέρ τε τούτου, καίπερ ὄντος ἀγρίου,
ὑπέρ τε πόλεως, τὸν θεὸν, μηδὲν νέον
δρᾷν.

ἐμοὶ πέπονθας. καὶ γάρ, ᾗ ξύνειμ᾽ ἐγώ,
Φρούδη ᾽στ᾽, ἔχουσα θοἰμάτιον, οὑγὼ ᾽φόρουν·
κοὐ τοῦτο λυπεῖ μ᾽· ἀλλὰ καὶ τὰς ἐμβάδας.
οὔκουν λαβεῖν γ᾽ αὐτὰς ἐδυνάμην οὐδαμοῦ.

Βλ. μὰ τὸν Διόνυσον, οὐδ᾽ ἄρ᾽ ἔγωγε τὰς ἐμὰς
Λακωνικάς· ἀλλ᾽ ὡς ἔτυχον χεζητιῶν,
ἐς τὼ κοθόρνω τὼ πόδ᾽ ἐνθεὶς ἱέμην,
ἵνα μὴ ᾽γχέσαιμ᾽ ἐς τὴν σισύραν· φανὴ γὰρ ἦν.

Αν. τί δῆτ᾽ ἂν εἴη; μῶν ἐπ᾽ ἄριστον γυνὴ
κέκληκεν αὐτὴν τῶν φίλων;

Βλ. γνώμην γ᾽ ἐμήν.
οὔκουν πονηρά γ᾽ ἐστὶν, ὅ τι κἄμ᾽ εἰδέναι.

Αν. ἀλλὰ σὺ μὲν ἱμονιάν τιν᾽ ἀποπατεῖς· ἐμοὶ δ᾽
ὥρα βαδίζειν ἐστὶν εἰς ἐκκλησίαν,
ἤνπερ λάβω θοἰμάτιον, ὅπερ ἦν μοι μόνον.

Βλ. κἄγωγ᾽, ἐπειδὰν ἀποπατήσω· νῦν δ᾽ ἐμοῦ

342. κοὐ τοῦτο λυπεῖ μ᾽—Subauditur μόνον, cujus frequens est ellipsis. καὶ οὐ τοῦτο μόνον λυπεῖ με, ἀλλὰ καὶ—Mox v. 358. plena phrasis est: οὐδὲ τοῦτό με μόνον τὸ λυποῦν ἐστιν, ἀλλ᾽—

344. οὐδ᾽ ἄρ᾽ ἔγωγε τὰς ἐμάς. Vulgo οὐδ᾽ ἐγὼ γὰρ τὰς ἐμάς.

346. ἱέμην. Sic Regius alter optime. Vulgo ἵεμαι, quod triplici ex causa mendosum est. Prima, quia non constat temporum ratio: ὡς ἔτυχον χεζητιῶν, ἵεμαι. Sed hoc utcunque defendi posset, quia in narrationibus solent tempora variari. Secunda quia præsens ἵεμαι orationem solœcam reddit, sequente ἵνα cum optativo, quod sic nonnisi præteriti temporis verbo subjungi potest. Sed hoc negant etiam homines quidam, qui lexicon aliquod devorarunt, et ideo se græce doctissimos esse autumant. Denique quod nullum colorem recipit, hoc est: ἵεμαι metrum pessundat. Prima hujus verbi semper brevis est, nisi in temporibus quæ augentur, in quibus ι vi augmenti producitur. Sic Equit. 625.

εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ᾽ ἱέμην.

Hac occasione similem mendam, quam imprudens in Euripidis Bac. reliqui, tollam. Ibi v. 618. tetrameter est trochaicus, qui ut rectis incedat pedibus, sic legendus est:

ἵετο, ξίφος κελαινὸν ἁρπάσας, δόμων ἔσω.

Male in mea editione, ut in ceteris, legitur ἵεται.

350. Perperam hic versus alteri viro vulgo tribuitur. In altero R. ὅσον κἄμ᾽ εἰδέναι.

352. εἰς ἐκκλησίαν. Vulgo inseritur articulus invito metro: eum neuter agnoscit codd.

354. νῦν δ᾽ ἐμοῦ. Vulgo syllaba extra numerum excurrente, νυνὶ δέ μου. In altero R. est νῦν. Sic etiam a prima manu scriptum fuerat in membr. ubi post νῦν in vocum exigua intercapedine ὶ postmodo additum, et accentus super ῦ litura inductus. Sed mendæ,

ἀχράς τις ἐγκλείσασ᾽ ἔχει τὰ σιτία.
Αν. μῶν ἦν Θρασύβουλος εἶπε τοῖς Λακωνικοῖς;
Βλ. νὴ τὸν Διόνυσον, ἐνέχεται γοῦν μοι σφόδρα.
ἀτὰρ τί δράσω; καὶ γὰρ οὐδὲ τοῦτό με
μόνον τὸ λυποῦν ἐστιν, ἀλλ᾽ ὅταν φάγω,
ὅποι βαδιεῖταί μοι τολοιπὸν ἡ κόπρος.
νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν,
ὅστις ποτ᾽ ἔστ᾽ ἅνθρωπος Ἀχραδούσιος.
τίς ἂν οὖν ἰατρόν μοι μετέλθοι, καὶ τίνα;
τίς τῶν κατὰ πρωκτὸν δεινός ἐστι τὴν τέχνην;
ἆρ᾽ οἶδ᾽ Ἀμύνων· ἀλλ᾽ ἴσως ἀρνήσεται.
Ἀντισθένη τις καλεσάτω πάσῃ τέχνῃ.
οὗτος γὰρ ἀνὴρ ἕνεκά γε στεναγμάτων
οἶδεν τί πρωκτὸς βούλεται χεζητιῶν.
ὦ πότνια Εἰλείθυι᾽, μή με περιίδῃς

quales sunt istæ duæ postremæ, codicum non exspectant opem.'

362. ἅνθρωπος Ἀχραδούσιος idem valet quod v. 317. ὁ κοπρεαῖος. Finxit autem a præcedenti ἀχρὰς gentile nomen, quasi a pago aliquo Attico. Ita Berglerus, haud improbabiliter. Pro vero tamen nomine hoc habet Stephanus, quem vide in Ἀχραδοῦς. Sæpe jocum petit e pagorum nominibus Comicus. Vide not. ad Ran. 426.

Prima in ἀχρὰς corripitur, et corripi etiam debet in derivato Ἀχραδούσιος. Vix credo licentiam hic obtinere posse, quæ in nominibus propriis conceditur; proinde scribendum censuerim:

νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν,
ὅστις ποτ᾽ ἔστ᾽ ἄνθρωπος, ὡ᾽χραδούσιος.

ordine sic instituendo; νῦν μὲν γὰρ οὗτος ὁ Ἀχραδούσιος, ὅστις ποτ᾽ ἔστ᾽ ἄνθρωπος, βεβαλάνωκε τὴν θύραν.

364. τίς τῶν κατὰ πρωκτὸν δεινός ἐστι τὴν τέχνην. Sic distincte et perspicue scriptum in altero R. In membr. τῶν κατὰ πρωκτῶν mendose. At mendosius in impressis τῶν καταπρώκτων, quod sensu prorsus caret. Hujus loci emendationem tentavit Toupius, quem non frustra lector adiverit ad Suidam iii. 311. licet eruditissimi viri conjecturam non receperim, cui præstat codicis lectio. οἱ κατὰ πρωκτὸν sunt ii, qui circa partem illam occupantur, qui in ea operam suam ponunt, sicque non minus quam medici, innui possunt drauci, qua in ambiguitate consistit jocus.

366. Ἀντισθένη. Sic alter Reg. ut Suidas in χεζητιῶν. Vulgo Ἀντισθένην.

367. οὗτος γὰρ ἀνήρ. Sic bini codd. et Suidas cum impressis. Scribi posset οὗτος γὰρ ὡ᾽νὴρ, quod Toupius voluisse videtur. Sed ἀνὴρ sic, vel comite, vel absente pronomine, sine articulo tam sæpe apud Comicum occurrit, ut vix dubitem, quin id tulerit familiaris Atticorum sermo. Porro *notandum illud* στεναγμάτων, *quo festive adlusit Comicus ad τὸ στενὸν τοῦ πρωκτοῦ.* Verba sunt Toupii loco modo laudato.

διαῤῥαγέντα, μηδὲ βεβαλανωμένον,
ἵνα μὴ γένωμαι σκωραμὶς κωμῳδική.
Χρ. οὗτος, τί ποιεῖς; οὔ τι που χέζεις;
Βλ. ἐγώ;
οὐ δῆτ᾽ ἔτι γε, μὰ τὸν Δί᾽, ἀλλ᾽ ἀνίσταμαι.
Χρ. τί δὲ τῆς γυναικὸς ἀμπέχει τὸ χιτώνιον;
Βλ. ἐν τῷ σκότῳ γὰρ τοῦτ᾽ ἔτυχον ἔνδον λαβών.
ἀτὰρ πόθεν ἥκεις ἐτεόν;
Χρ. ἐξ ἐκκλησίας.
Βλ. ἤδη λέλυται γάρ;
Χρ. νὴ Δί᾽ ὄρθριον μὲν οὖν.
καὶ δῆτα πολὺν ἡ μίλτος, ὦ Ζεῦ φίλτατε,
γέλων παρέσχεν, ἣν προσέῤῥαινον κύκλῳ.
Βλ. τὸ τριώβολον δῆτ᾽ ἔλαβες;
Χρ. εἰ γὰρ ὤφελον.
ἀλλ᾽ ὕστερος νῦν ἦλθον, ὥστ᾽ αἰσχύνομαι
ἔχων μὰ Δί᾽ οὐδέν᾽ ἄλλο γ᾽, ἢ τὸν θύλακον.
Βλ. τὸ δ᾽ αἴτιον τί;
Χρ. πλεῖστος ἀνθρώπων ὄχλος,
ὅσος οὐδεπώποτ᾽ ἦλθ᾽ ἀθρόος ἐς τὴν Πνύκα·

374. Vulgo legitur τὸ τῆς γυναικὸς δ᾽ ἀμπίσχει χιτώνιον. In membran. τὸ τῆς γυναικὸς ἀμπίσχῃ τριβώνιον. Paulo melius alter τί τῆς γυναικὸς ἀμπίσχει τριβώνιον; Desideratur particula connexiva δὲ, quam alieno loco positam exhibent impressi. Legendum:

τί δὲ τῆς γυναικὸς ἀμπίσχει τὸ χιτώνιον.

Primariæ editt. etiam τριβώνιον habent perperam. χιτώνιον, etsi nulla, quod sciam, veteris codicis auctoritate, bene repositum.

377. νὴ Δί᾽. Perperam vulgo νὴ τὸν Δί᾽. Articulum versus recipere gravatur, eumque ejecisset quilibet editor, nisi fungus aut stipes fuisset: eum neuter agnoscit codicum.

380. τὸ τριώβολον. Sic bini codd. et editio B. Juntæ. Perperam in aliis omissus est articulus.

382. Vulgo legitur perquam absurde:

ὥστ᾽ αἰσχύνομαι
μὰ τὸν Δί᾽ οὐδέν᾽ ἄλλον ἢ τὸν θύλακον.

Quod profecto miror editores concoxisse. In utroque cod. scriptum: οὐδὲν ἄλλο ἢ— Ex vi sententiæ reposui:

ἔχων μὰ Δί᾽ οὐδέν᾽ ἄλλο γ᾽, ἢ τὸν θύλακον.

384. Vulgo legitur mendosissime ex nescio cujus interpolatione:

ὅσος οὐδέποτ᾽ ἦλθεν ἀθρόως ἐς τὴν Πνύκα.

Versum non male emendaverunt Dawe-

καὶ δῆτα πάντας σκυτοτόμοις ῃκάζομεν,
ὁρῶντες αὐτούς. οὐ γὰρ ἀλλ' ὑπερφυῶς
ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡ 'κκλησία·
ὥστ' οὐκ ἔλαβον οὔτ' αὐτὸς, οὔτ' ἄλλοι συχνοί.

Βλ. οὐδ' ἄρ' ἂν ἐγὼ λάβοιμι νῦν ἐλθών;

Χρ. πόθεν;
οὐδ' εἰ μὰ Δία τότ' ἦλθες, ὅτε τὸ δεύτερον
ὡ'λεκτρυὼν ἐφθέγγετο.

Βλ. οἴμοι δείλαιος.
ΑΝΤΙΛΟΧ', ΑΠΟΙΜΩΞΟΝ ΜΕ ΤΟΥ ΤΡΙΩ-
ΒΟΛΟΥ

sius, cujus crisin plane confirmant bini codd. In altero scriptum, ut edidimus:

ὅσος οὐδεπώποτ' ἦλθ' ἀθρόος ἐς τὴν Πνύκα.

Sic etiam est in membranis, nisi quod pro ἦλθ' plene scriptum est ἦλθεν, repugnante metro. In primariis vero editt. versus sic legitur:

ὅσος οὐδεπώποτ' ἦλθεν ἀθρόως ἐς τὴν Πνύκα.

Vides ex indole linguæ positum nomen adjectivum ἀθρόος, quod male in adverbium ἀθρόως mutatum fuerat. In mendosa interpolatoris lectione prima illius adverbii producitur, licet juxta artis præscriptum apud Comicum non aliter uspiam occurrat, quam prima correpta. Denique οὐδέποτε cum futuro tantum construitur; nusqaam apud Comicum cum præterito reperitur, quod observavimus ad Thesm. 32. Cum præterito adhibetur οὐδεπώποτε, ut vides hic a Comico factum fuisse. Nec aliter alii scriptores solent. Quæ pauca afferuntur e solutæ orationis scriptoribus contraria loca, aut editorum libidinem, aut malam librariorum manum experta sunt, et a peritiore manu facilem emendationem exspectant. In Xenophontis Hellenicis edit. Stephani p. 362. lin. ult. ubi vulgo legitur: εἶχε γὰρ λέγειν καὶ ὅτι μόνοι τῶν Ἑλλήνων βασιλεῖ συνεμάχοντο ἐν Πλαταιαῖς, καὶ ὅτι ὕστερον ΟΥΔΕΠΟΤΕ στρατεύσαιντο ἐπὶ βασιλέα—in Regio codice, ad quem nuper amicissimi Valckenarii, seu potius, ut in votis est, literatorum omnium in gratiam, præstantissimum illud opus contuli, scriptum est ΟΥΔΕ ΠΩΠΟΤΕ. Hinc liquet sinceram eam esse lectionem Theocriti versus in Pharmaceutria 157. quam reposueram:

νῦν δέ τε δωδεκαταῖος ἀφ' ὧτέ νιν οὐδὲ ποτεῖδον.

Quod alii præferunt οὐδέ ποκ' εἶδον depravatum mihi videtur. Reperientur in poëtis loca paucissima, ubi metri necessitas huic regulæ vim intulit, quod jam olim observavit Phrynichus laudatus Piersono ad Excerpta ex Herodiano p. 461. In Stratonis Epigramm. xxi. μηπώποτε positum est pro μήποτε.

385. καὶ δῆτα πάντας σκυτοτόμοις ῃκάζομεν. Sic jam ex Kusteri sententia excusum fuit in novissima Batava. Priores editt. ut codd. habent καὶ δῆτα πάντες σκυτοτόμοι. ῃκάζομεν—

392. Hic versus et sequens facete tra-

ΤΟΝ ΖΩΝΤΑ ΜΑΛΛΟΝ. τἀμὰ γὰρ διοίχεται.
ἀτὰρ τί τὸ πρᾶγμ' ἦν, ὅτι τοσοῦτον χρῆμ' ὄχλου
οὕτως ἐν ὥρᾳ ξυνελέγη;

Χρ. τί δ' ἄλλο γ', ἢ
ἔδοξε τοῖς Πρυτάνεσι περὶ σωτηρίας
γνώμας καθεῖναι τῆς πόλεως. κᾆτ' εὐθέως
πρῶτος Νεοκλείδης ὁ γλάμων παρείρπυσε·
κἄπειθ' ὁ δῆμος ἀναβοᾷ, πόσον δοκεῖς,
ὡς δεινὰ τολμᾷν τουτονὶ δημηγορεῖν,
καὶ ταῦτα περὶ σωτηρίας προκειμένου,
ὃς αὐτὸς αὑτῷ βλεφαρίδ' οὐκ ἐσώσατο.
ὁ δ' ἀναβοήσας καὶ περιβλέψας ἔφη·
Τί δαί μ' ἐχρῆν δρᾷν;

Βλ. Σκόροδ' ὁμοῦ τρίψαντ' ὀπῷ,
τιθύμαλλον ἐμβαλόντα τοῦ Λακωνικοῦ,
σαυτῷ παραλείφειν τὰ βλέφαρα τῆς ἑσπέρας,
ἔγωγ' ἂν εἶπον, εἰ παρὼν ἐτύγχανον.

Χρ. μετὰ τοῦτον Εὐαίων ὁ δεξιώτατος
παρῆλθε γυμνὸς, ὡς ἐδόκει τοῖς πλείοσιν.
αὐτός γε μέντ' οὔ 'φασκεν ἱμάτιον ἔχειν,
κἄπειτ' ἔλεξε δημοτικωτάτους λόγους.
'Ορᾶτε μέν με δεόμενον σωτηρίας
τετραστατήρου καὐτόν· ἀλλ' ὅμως ἐρῶ,
ὡς τὴν πόλιν καὶ τοὺς πολίτας σώσετε.
ἢν γὰρ παρέχωσι τοῖς δεομένοις οἱ κναφῆς
χλαίνας, ἐπειδὰν πρῶτον ἥλιος τραπῇ,

ducti sunt ex Æschyli Myrmidonibus, in quibus erat:

'Αντίλοχ', ἀποίμωξόν με τοῦ τεθνηκότος
τὸν ζῶντα μᾶλλον.

Nec dubito quin versus clausula τἀμὰ γὰρ διοίχεται ex Æschylo etiam sit: capitalibus itidem literis excudi debuerat.

399. πόσον δοκεῖς. Vide not. ad Pl. 742.

400. ὡς δεινὰ τολμᾷν—Sic alter Reg. Vulgo οὐ δεινὰ---In membr. nec οὐ, nec ὡς comparet.

402. ὃς αὐτὸς---Sic bene uterque cod. Mendose vulgo ὡς.

415. οἱ κναφῆς. Perperam codd. κναφεῖς neglecto dialecti idiotismo. Sed monui ad Pl. 166. scribendum esse οἱ γναφῆς.

πλευρῖτις ἡμῶν οὐδέν' ἂν λάβοι ποτέ.
ὅσοις δὲ κλίνη μή 'στι, μηδὲ στρώματα,
ἰέναι καθευδήσοντας ἀπονενιμμένους
ἐς τῶν σκυλοδεψῶν· ἣν δ' ἐπικλίνῃ τὴν θύραν,
χειμῶνος ὄντος, τρεῖς σισύρας ὀφειλέτω.

Βλ. νὴ τὸν Διόνυσον, χρηστά γ'· εἰ δ' ἐκεῖνά γε
προσέθηκεν, οὐδεὶς ἀντεχειροτόνησεν ἄν·
τοὺς ἀλφιταμοιβοὺς τοῖς ἀπόροις τρεῖς χοίνικας
δεῖπνον παρέχειν ἅπασιν, ἢ κλάειν μακρά,
ἵνα τοῦτ' ἀπέλαυσαν Ναυσικύδους τἀγαθόν.

Χρ. μετὰ τοῦτο τοίνυν εὐπρεπὴς νεανίας
λευκός τις ἀνεπήδησεν, ὅμοιος Νικίᾳ,
δημηγορήσων, κἀπεχείρησεν λέγειν,
ὡς χρὴ παραδοῦναι ταῖς γυναιξὶ τὴν πόλιν.
εἶτ' ἐθορύβησαν, κἀνέκραγον, ὡς εὖ λέγοι,
τὸ σκυτοτομικὸν πλῆθος· οἱ δ' ἐκ τῶν ἀγρῶν
ἀνεβορβόρυξαν.

Βλ. νοῦν γὰρ εἶχον, νὴ Δία.

420. ἣν δ' ἐπικλίνῃ τὴν θύραν. Sic omnino legendum, ut Kusterus vidit, quod ad membran. mendosam scripturam proxime accedit. Est in illis, ut apud Suidam in ἀλφιταμοιβοὺς, ἣν δ' ἀποκλίνῃ τὴν θύραν. Proprium est in hac re verbum ἐπικλίνειν, oppositum τῷ ἀνακλίνειν. In altero Regio scriptum: ἐς τὸν σκυλοδεψόν. ἣν δ' ἀποκλίνῃ τῆς θύρας. In Comici vero editionibus mendosissime legitur, ut et apud Suidam in τετραστατήρου, ἣν δ' ἀποκλίνῃ τῇ θύρᾳ. Pronum esset emendare ad alterius Regii scripturam, ἣν δ' ἀποκλείσῃ τῆς θύρας. Sic Lys. 423.

ὑπὸ τῶν γυναικῶν ἀποκέκλεισμαι τῶν πυλῶν.

Æschylus Prom. 675.

ἐξήλασέν με, κἀπέκλεισε δωμάτων.

Sed probabilior et præstantior est altera lectio.

Scribi etiam potuit, ἣν δ' ἀποκλείσῃ τῇ θύρᾳ, ut in Solonis lege apud Lysiam, p. 359. ὅστις δὲ ἀπείλλῃ τῇ θύρᾳ, et in Vesp. 775.

426. Nausicydis farinarum venditoris meminit Xenophon Memor. Socratis ii. 7.

427. εὐπρεπής. In altero R. εὐτρεπής. Nomina hæc sæpissime commutari, tironibus notum. Sic etiam πρέπω et τρέπω. Scripserat Euripides in Danaë:

φεῦ· τοῖσι γενναίοισιν ὡς ἁπανταχοῦ
πρέπει χαρακτὴρ χρηστὸς εἰς εὐψυχίαν.

Sic in Stobæi cod. Ms. In Musgravii editione et in Grotii Florileg. legitur τρέπει. Nicias, cujus hic mentio, diversus est a nobili expeditionis Siculæ duce, hujus forte nepos, ut censet Palmerius.

429. κἀπεχείρησεν. Sic bini codd. Claudicat vulgo metrum ob omissionem ν paragogici.

Χρ. ἀλλ' ἦσαν ἧττους· ὁ δὲ κατεῖχε τῇ βοῇ,
τὰς μὲν γυναῖκας πόλλ' ἀγαθὰ λέγων, σὲ δὲ
πολλὰ κακά.
Βλ. καὶ τί εἶπε;
Χρ. πρῶτον μέν σ' ἔφη
εἶναι πανοῦργον.
Βλ. καί σε;
Χρ. μή πω τοῦτ' ἔρῃ.
κᾆπειτα κλέπτην.
Βλ. ἐμὲ μόνον;
Χρ. καὶ, νὴ Δία,
καὶ συκοφάντην.
Βλ. ἐμὲ μόνον;
Χρ. καὶ, νὴ Δία,
τωνδὶ τὸ πλῆθος.
Βλ. τίς δὲ τοῦτ' ἄλλως λέγει;
Χρ. γυναῖκα δ' εἶναι πρᾶγμ' ἔφη νουβυστικὸν,
καὶ χρηματοποιόν· κοὐχὶ τἀπόῤῥητ' ἔφη
ἐκ Θεσμοφόροιν ἑκάστοτ' αὐτὰς ἐκφέρειν·
σὲ δὲ κἀμὲ βουλεύοντε τοῦτο δρᾶν ἀεί.
Βλ. καὶ, νὴ τὸν Ἑρμῆν, τοῦτό γ' οὐκ ἐψεύσατο.

440. τίς δὲ τοῦτ' ἄλλως λέγει; Sic codd. et primariæ ediit. Perperam in recentioribus ἄλλος.

442. κοὐχὶ τἀπόῤῥητ'—Legebatur in impressis κοὔτ' ἀπόῤῥητ' labante versu. Fabri emendatio κοὔτι τἀπόῤῥητ' recepta fuit in novissima Batava: huic patrocinantur membr. in quibus ad eum modum perspicue scriptum, κοὔτι τἀπόῤῥητ'. Sed mendosa est ea lectio, absolute posito οὔτι, sine relatione ad alterum vel οὔτι, vel τι, vel καί. In altero R. scriptum καί γε τἀπόῤῥητ'—Ob oculos procul dubio habebat librarius κοὔ γε, quod locum tueri posset; sed longe melius est quod dedimus ex Dawesii emendatione.

443. ἐκ Θεσμοφόροιν. Bini codd. ἐκ Θεσμοφόρων. Bern. Junta, ἐκ Θεσμοφόρω. V. seq. veteres editt. cum codd. δουλεύοντε. In permutatione literarum Β Δ, quæ hic casu et librarii oscitantia facta, jocum quæsivit auctor nescio quis epigrammatis, cujus acumen prava scriptura obtusum est cum alibi, tum in Analectis nostris tom. iii. p 169. Sic autem scribendum est:

Τοῦτο τὸ ΟΥΛΕΥΕΙΝ εἶχες πάλαι. ἀλλὰ τὸ Βῆτα
οὐκ ἐπιγιγνώσκω· Δέλτα γὰρ ἐγράφετο.

Χρ. ἔπειτα συμβάλλειν πρὸς ἀλλήλας ἔφη
ἱμάτια, χρυσί', ἀργύριον, ἐκπώματα,
μόνας μόναις γ', οὐ μαρτύρων ἐναντίον·
καὶ ταῦτ' ἀποφέρειν πάντα, κοὐκ ἀποστερεῖν·
ἡμῶν δὲ τοὺς πολλοὺς ἔφασκε τοῦτο δρᾷν.
Βλ. νὴ τὸν Ποσειδῶ, μαρτύρων τ' ἐναντίον.
Χρ. οὐ συκοφαντεῖν, οὐ διώκειν, οὐδὲ τὸν
δῆμον καταλύειν, ἄλλα τε πολλὰ κἀγαθὰ
ἕτερά τε πλεῖστα τὰς γυναῖκας εὐλόγει.
Βλ. τί δῆτ' ἔδοξεν;
Χρ. ἐπιτρέπειν γε τὴν πόλιν
αὐταῖς. ἐδόκει γὰρ τοῦτο μόνον ἐν τῇ πόλει
οὔπω γεγενῆσθαι.
Βλ. καὶ δέδοκται;
Χρ. φήμ' ἐγώ.
Βλ. ἅπαντά τ' αὐταῖς ἐστι προστεταγμένα,
ἃ τοῖσιν ἀστοῖς ἔμελεν;
Χρ. οὕτω ταῦτ' ἔχει.
Βλ. οὐδ' εἰς δικαστήριον ἄρ' εἶμ', ἀλλ' ἡ γυνή;
Χρ. οὐδ' ἔτι σὺ θρέψεις οὓς ἔχεις, ἀλλ' ἡ γυνή.
Βλ. οὐδὲ στένειν τὸν ὄρθρον ἔτι πρᾶγμ' ἔστι μοι;
Χρ. μὰ Δί', ἀλλὰ ταῖς γυναιξὶ ταῦτ' ἤδη μέλει·
σὺ δ' ἀστενακτὶ περδόμενος οἴκοι μενεῖς.
Βλ. ἐκεῖνο δεινὸν τοῖσιν ἡλίκοισι νῷν,
μὴ παραλαβοῦσαι τῆς πόλεως τὰς ἡνίας,
ἔπειτ' ἀναγκάζωσι πρὸς βίαν - - -

448. *μόνας μόναις γ', οὐ μαρτύρων ἐναντίον.* Sic cod. In Aldina *μόνας μόναις οὐ μαρτύρων γ' ἐναντίον.* In edit. Bern. Juntæ, *μόνας μόναις γ' οὐ μαρτύρων γ' ἐναντίον.*

453. *ἄλλα τε πολλὰ κἀγαθά.* Vulgo corrupto metro *ἄλλα πολλά τε κἀγαθά.* In cod. *ἄλλα πολλὰ κἀγαθὰ*, male omisso *τε.*

455. *ἐπιτρέπειν γε τὴν πόλιν αὐταῖς.* Pessime vulgo *ἐπιτρέπειν σε τὴν πόλιν ταύταις.* Quod reposuimus *γε* est in codice.

462. *ἔτι πρᾶγμ' ἔστι μοι.* Sic cod. Vulgo *ἔτι πρᾶγμ' ἄρά μοι.*

464. *ἀστενακτί.* Sic cod. Perperam impressi *ἀστενακτεί.* Sincera est prior forma, ut *ἀστακτὶ, ἀνοιμωκτί.* De his adverbiis in *ὶ* et *εὶ* legisse operæ pretium erit quæ notavit Valckenarius ad Theocr. Sel. Idyll. p. 228.

Χρ. τί δρᾷν ;
Βλ. κινεῖν ἑαυτάς.
Χρ. ἢν δὲ μὴ δυνώμεθα ;
Βλ. ἄριστον οὐ δώσουσι.
Χρ. σὺ δέ γε, νὴ Δία,
δρᾶ ταῦθ', ἵν' ἀριστᾷς τε καὶ κινῇς ἅμα.
Βλ. τὸ πρὸς βίαν δεινότατον.
Χρ. ἀλλ' εἰ τῇ πόλει
τοῦτο ξυνοίσει, ταῦτα χρὴ πάντ' ἄνδρα δρᾷν.
λόγος τέ τοι τις ἔστι τῶν γεραιτέρων·
Ἀνόηθ' ὅσ' ἂν καὶ μῶρα βουλευσώμεθα,
ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν.
καὶ ξυμφέροι γ', ὦ πότνια Παλλὰς καὶ θεοί.
ἀλλ' εἶμι· σὺ δ' ὑγίαινε.

468. κινεῖν, et versu abhinc altero κινῇς habent cod. et primariæ editt. Huic verbo suffectum a nescio quo recentiore editore alterum ejusdem potestatis βινεῖν βινῇς, absque ulla necessitate.

469. Hic versus et sequens non erant in codice e quo descripta fuit hæc fabula in Aldina officina : proinde desunt in editione principe. Qui alium melioremque codicem nactus fuerat B. Junta, ut ex infinitis lectionibus, Aldinis longe præstantioribus, colligere est, binos versus in suum locum reposuit. Inde recepti fuerunt in Basileensem Cratandri, in utramque Venetam, porro in Parisinam Wecheli. Jam mirare Kusteri socordiam ; sic ille ad hunc locum : *In edit. Paris. et aliis quibusdam sequentes duo στίχοι inserti leguntur :—Sed duo illi versus in duabus antiquiss. editt. Aldina et Florent. non reperiuntur, quarum auctoritas potior apud nos fuit, quam aliarum editt. recentiorum.* Vides vere me alicubi in his notis dixisse, Kusterum de optima editione Bern. Juntæ ne fando quidem audivisse. Saltem Cratandrianam, aut Venetarum alterutram ad hunc locum consuluisset, unde didicisset hos versus in Parisina Wecheli officina non cusos fuisse. Sed hoc negligentiæ est : istud autem stoliditatis, non persensisse nullam esse sententiarum connexionem, si, sublatis his versibus, Chremis quæstioni ἢν δὲ μὴ δυνώμεθα ; respondeat Blepyrus, τὸ πρὸς βίαν δεινότατον. Spreta Kusteri crisi binos illos versus in textu restitui voluit Berglerus, insertique sunt in novissima Batava, uncis inclusi, quod nescio an ex Bergleri sententia factum fuerit : hoc solum scio, signa illa, quæ νοθείας suspicionem injiciunt, inepte fuisse posita. Sunt autem duo illi versus in Reg. cod. scripti, ut eos exhibui ne una mutata litera. Perperam in edit. Bern. Juntæ excusum δώσουσι—ἀριστᾷ—κινεῖς. Personas absurde Faber, et post eum Berglerus, distinxerat.

474. ἀνόηθ' ὅσ' ἂν καὶ μῶρα βουλευσώμεθα. Sic optime cod. In impressis prorsus ἀμέτρως legitur, ὅσ' ἂν ἀνόητα καὶ μῶρα βουλευσώμεθα. Eandem sententiam vide Nub. 587. et Suidam in Ἀθηναίων δυσβουλία, ubi qui laudatur Eupolidis versus, est ex fragmento quod protulimus ad Ran. 733.

Βλ. καὶ σύ γ', ὦ Χρέμης.
Χο. ἔμβα, χώρει.
ἆρ' ἔστι τῶν ἀνδρῶν τις ἡμῖν ὅστις ἐπακολουθεῖ;
στρέφου, σκόπει,
φύλαττε σαυτὴν ἀσφαλῶς, πολλοὶ γὰρ οἱ πανοῦργοι,
μήπου τις ἐκ τοὔπισθεν ὢν τὸ σχῆμα καταφυλάξῃ·
ἀλλ' ὡς μάλιστα τοῖν ποδοῖν ἐπικτυπῶν βάδιζε.
ἡμῖν δ' ἂν αἰσχύνην φέροι
πάσαισι παρὰ τοῖς ἀνδράσιν τὸ πρᾶγμα τοῦτ' ἐλεγχθέν.
πρὸς ταῦτα συστέλλου σεαυτὴν,
κύκλῳ περισκοπουμένη κἀκεῖσε, καὶ τὰ τῇδε
ἐκ δεξιῶν, μὴ ξυμφορὰ γενήσεται τὸ πρᾶγμα.
ἀλλ' ἐγκονῶμεν· τοῦ τόπου γὰρ ἐγγὺς ἐσμὲν ἤδη,
ὅθεν περ εἰς ἐκκλησίαν ὡρμώμεθ', ἡνίκ' ἦμεν·
τὴν δ' οἰκίαν ἔξεσθ' ὁρᾶν, ὅθεν περ ἡ στρατηγὸς
ἔσθ', ἡ τὸ πρᾶγμ' εὑροῦσ', ὃ νῦν ἔδοξε τοῖς πολίταις·
ὥστ' εἰκὸς ἡμᾶς μὴ βραδύνειν ἔστ' ἐπαναμενούσας,

481. *φύλαττε σαυτήν.* Male cod. *φύλασσε σεαυτήν.*

482. *τὸ σχῆμα καταφυλάξῃ.* In cod. verbum est simplex *φυλάξῃ*, omissa præpositione, quæ solemnis librariorum culpa.

484. Vulgo legitur *ὑμῖν δ' αἰσχύνην φέρει*, solœca phrasi, et corrupto metro. Versus est dimeter iambicus, qui saltem in codice rectis incedit pedibus, *ἡμῖν δέ γ' αἰσχύνην φέρει.* Sed vera est lectio quam reposui:

ἡμῖν δ' ἂν αἰσχύνην φέροι.

Omissa fuerat particula potentialis *ἂν*, quod centies ad minimum in his fabulis contigisse animadvertas.

485. *ταῖς ἀνδράσιν.* Vulgo claudicat versus propter omissionem *ν* paragogici.

487. Hunc et seq. versum ex præclara Valckenarii emendatione, prolata ad Eurip. Phœn. p. 96. exhibui. Vulgo legitur numeris prorsus corruptis:

καὶ περισκοπουμένη κἀκεῖσε, καὶ τά γ' ἐκ δεξιᾶς,
μὴ ξυμφορὰ—

At in codice scriptum:

περισκοπουμένη κἀκεῖσε καὶ τά τ' ἐκ δεξιῶν
μὴ ξυμφορὰ γένηται τὸ πρᾶγμα.

Inde præeunte viro doctissimo edidi:

κύκλῳ περισκοπουμένη κἀκεῖσε, καὶ τὰ τῇδε
ἐκ δεξιῶν, μὴ ξυμφορὰ γενήσεται τὸ πρᾶγμα.

Optime *καὶ τὰ τῇδε* restitutum, revocatis tribus quæ aufugerant literis: nam primariæ etiam editt. ut cod. habent *τα τ'*—non *τα γ'*—Sic Thesm. 666.

καὶ τὰ τῇδε καὶ τὰ δεῦρο πάντ' ἀνασκόπει καλῶς.

et Av. 423.

τὰ ταῦτα γὰρ δὴ πάντα, καὶ
τὸ τῇδε, καὶ τὸ κεῖσε, καὶ
τὸ δεῦρο—

Quod autem ad illud *καὶ* attinet, quod initio versus exhibent impressi, codex vero non agnoscit, ex ipsa phrasi mani

πώγωνας ἐξηρτημένας, μή καί τις ὄψεθ' ἡμᾶς,
χ' ἡμῶν ἔσω κατάπτῃ.
ἀλλ' εἶα δεῦρ' ἐπὶ σκιᾶς,
ἐλθοῦσα πρὸς τὸ τειχίον,
παραβλέπουσα θατέρῳ,
πάλιν μετασκεύαζε σαυτὴν αὖθις, ἥπερ ἦσθα,
καὶ μὴ βράδυν'· ὡς τήνδε καὶ δὴ τὴν στρατηγὸν ἡμῶν
χωροῦσαν ἐξ ἐκκλησίας ὁρῶμεν· ἀλλ' ἐπείγου
ἅπασα, καὶ μίσει σάκον πρὸς ταῖν γνάθοιν ἔχουσα·

festum est inepti interpolatoris esse additamentum, vel potius e genuina voce depravationem. Si quid velis, quod ad illud propius accedat, pro κύκλῳ, repone ex Thesm. supra laudato versu καλῶς, cujus evanida posterior syllaba isti καὶ ortum dare potuit.

495. Pessime vulgo e quatuor versiculis, quorum primus dimeter est catalecticus, tres alii dimetri sunt acatalecti, duas lineas fecerunt, nobisque pro versibus obtruserunt. Hic autem scriptura codicis hæc est: χἠμῶν εἴσω κατίπτῃ. In Aldina excusum χἠμῶν ἴσως κατίπτῃ: in edit. B. Juntæ, χ' ἡμῶν ἴσω κατίπτῃ. Quod ex Kusteri conjectura in textum intulit Berglerus, χ' ἡμῶν ἴσως κατείπῃ, ineptissimum est. Multo satius erat corruptam lectionem intactam relinquere, quam sententiam tam absurdam ingenioso Comico affingere. Levis menda cuivis paulo acutius cernenti statim in oculos incidit. Scribendum erat:

χ' ἡμῶν ἔσω κατάπτῃ.

et medium in nostrum agmen involet.

496. ἐπὶ σκιᾶς. Male cod. ἐπὶ σκιᾷ. ἐπὶ motum ad locum significans cum genitivo construitur.

499. ἧπερ ἦσθα. Male cod. ὥσπερ ἦσθα.

502. σάκον. Schol. τὸν πώγωνα λέγει. Inde petenda origo et ratio nominis σάκανδρος, quod significat τὸ τῆς γυναικὸς αἰδοῖον. Vide Lys. 824. Hinc intelligendum acumen in Frontonis Epigrammate, quod ante nos ediderant Orvillius ad Charit. p. 615. et Hesychii præstantissimus interpres tom. ii. col. 1140. demumque post nos Toupius Cur. Nov. in Suidam p. 141.

Μέχρι τίνος πολεμεῖς μ', ὦ φίλτατε ΚΥΡΕ; τί ποιεῖς;
τὸν σὸν ΚΑΜΒΥΣΗΝ οὐκ ἐλεεῖς; λέγε μοι.
μὴ γίγνου ΜΗΔΟΣ. ΣΑΚΑΣ γὰρ ἔσῃ μετὰ μικρὸν,
καί σε ποιήσουσιν αἱ τρίχες ΑΣΤΥΑΓΗΝ.

Quicquid Toupio libeat, ita legendum est ad Vaticanarum membranarum fidem hoc carmen. πολεμεῖς με quam bene græce dicatur, abunde ostendit Orvillius. Quia in sequenti epigrammate scripsit Fronto ποιήσει σ' ὁ χρόνος ΜΙΣΟΥΜΕΝΟΝ, non inde inferri potest eum in alio carmine, diverso tempore scripto, eadem forma usum fuisse; καί σε ποιήσουσιν dant eædem membranæ, quod tam bonum est ac κ' ποιήσουσίν σ': Veteribus poëtis haud credo vitio daturum Toupium, quod formulas suas variaverint. Sumta sunt nomina propria illius carminis omnia ex Xenophontis Cyropædia, et ad alium sensum deflexa. Μῆδος alludit ad τὸν μὴ δόντα, μὴ χαριζόμενον: nomen est gentile, cui gentile alterum opponi debet: est autem hoc Σάκας: frequens Sacarum seu Scytharum in illa historia mentio: bar-

χ᾽ αὗται γὰρ ἥκουσιν, πάλαι τὸ σχῆμα τοῦτ᾽ ἔχουσαι.
Πρ. ταυτὶ μὲν ἡμῖν, ὦ γυναῖκες, εὐτυχῶς
τὰ πράγματ᾽ ἐκβέβηκεν, ἁ᾽βουλεύσαμεν.
ἀλλ᾽ ὡς τάχιστα, πρίν τιν᾽ ἀνθρώπων ἰδεῖν,
ῥιπτεῖτε χλαίνας· ἐμβὰς ἐκποδὼν ἴτω·
χαλᾶτε συναπτοὺς ἡνίας Λακωνικάς·
βακτηρίας ἄφεσθε· καὶ μέντοι σὺ μὲν
ταύτας κατευτρέπιζ᾽· ἐγὼ δὲ βούλομαι
ἔσω παρερπύσασα, πρὶν τὸν ἄνδρα με
ἰδεῖν, καταθέσθαι θοἰμάτιον αὐτοῦ πάλιν,
ὅθεν περ ἔλαβον, τἄλλα θ᾽, ἃ ᾽ξηνεγκάμην.

Χορός.

ἤδη κεῖται πάνθ᾽, ἅπερ εἶπας· σὸν δ᾽ ἔργον τἄλλα διδάσκειν,
ὅ τι σοι δρῶσαι ξύμφορον ἡμεῖς δόξομεν ὀρθῶς ὑπακούειν.
οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σου ξυμμίξασ᾽ οἶδα γυναικί.

bari erant, horridi et inculti, barbam alentes. Eo respicit Fronto, non autem ad Sacam Astyagis pocillatorem, qui pulcher erat, Regique in deliciis. *Σάκας ἴσῃ, hispidus fies*, quod declarat sequens versiculus, *καί σε ποιήσουσιν αἱ τρίχες Ἀστυάγην*. Postremi nominis ratio explicata ad Lys. 152. Non aliud gentile nomen in Xenophontis historia reperire poterat, quod τῷ Μῆδος opponeret, et τὸ Σάκας adsumens, ad *σάκος*, barbam manifesto respexit.

503. *ἥκουσιν* ob metrum scribendum erat. Perperam vulgo *ἥκουσι*.

513. *ὅθεν περ ἔλαβον, τἄλλα θ᾽, ἃ ᾽ξηνεγκάμην*. Sic legendus est hic versus. *ὅθεν περ ἴλαβον* est in cod. et in edit. B. Juntæ. In ea etiam, ut in Aldina, est *ἃ ᾽ξηνέγκαμεν*, activa forma pro media male posita: mendosius in cod. *ἃ ξυνέκαμεν*. In recentioribus editt. nescio quo corruptelæ auctore, legitur:

ὅθεν παρέλαβον, τἄλλα θ᾽, ἃ ᾽πηνέγκαμεν.

Quod hic perperam fecerunt, ut περ in præpositionem mutatum sequenti verbo jungerent, id fieri debet in Vesp. v. 1050. ubi pro *εἴπερ ἐλαύνων* legendum est *εἰ παρελαύνων*. Frequentes sunt ejusmodi errores.

514. Hic et qui sequuntur usque ad actus finem versus tetrametri sunt anapæstici, quorum primus fractis pedibus incedebat, deficiente in priore colo syllaba: *κεῖται δὴ πάνθ᾽ ἅπερ εἶπας*. Legendum *ἤδη κεῖται πάνθ᾽ ἅπερ εἶπας*. Pejus in cod. *κεῖται δὲ*—

516. *ξυμμίξασ᾽ οἶδα*. Sic codex et editt. septem primariæ. In Frobeniana primum, typothetæ, ut videtur, errore, excusum fuit *ξυμμίξας*, masculino genere pro feminino. Suidas: *Ξυμμίξασα, ξυντυχοῦσα, οὐδὲ μιᾷ γὰρ δεινοτέρᾳ σου ξυμμίξασα οἶδα γυναικί*. Nec ulla vetere inspecta editione, nec Suida consulto, monuerat Faber, *ξυμμίξασ᾽* in feminino scribendum esse. At Kusterus nec Fabri, nec Suidæ sui, nec veterum editionum ullam rationem habuit, et sicco pede mendam transiit. Sinceram scripturam scite revocavit Berglerus, ut et eum restituendam esse monuerunt Daw-

Πρ. περιμείνατε νῦν, ἵνα τῆς ἀρχῆς, ἣν ἄρτι κεχειροτόνημαι,
ξυμβέλοισιν ἁπάσαις ὑμῖν χρήσωμαι. καὶ γὰρ ἐκεῖ μοι
ἐν τῷ θορύβῳ καὶ τοῖς δεινοῖς ἀνδρειόταται γεγένησθε.

Χο. (λείπει ἡ τοῦ Χοροῦ ᾠδή.)

ΒΛΕΠΥΡΟΣ, ΠΡΑΞΑΓΟΡΑ, ΧΟΡΟΣ.

Βλ. ΑΥΤΗ, πόθεν ἥκεις, Πραξαγόρα;
Πρ. τί δ', ὦ μέλε,
σοὶ τοῦθ';
Βλ. ὅ τι μοι τοῦτ' ἐστίν; ὡς εὐηθικῶς.
Πρ. οὔ τοι περί του μοιχοῦ γε φήσεις.
Βλ. οὐκ ἴσως
ἑνός γε.
Πρ. καὶ μὴν βασανίσαι τουτί γέ σοι
ἔξεστι.
Βλ. πῶς;
Πρ. εἰ τῆς κεφαλῆς ὄζω μύρου.
Βλ. τί δ'; οὐχὶ βινεῖται γυνὴ κἄνευ μύρου;
Πρ. οὐ δὴ τάλαιν' ἔγωγε.
Βλ. πῶς οὖν ὄρθριον
ᾤχου σὺ, καὶ πῆ, θοἰμάτιον λαβοῦσά μοι;
Πρ. γυνή με τις νύκτωρ ἑταίρα καὶ φίλη
μετεπέμψατ' ὠδινοῦσα.
Βλ. κᾆτ' οὐκ ἦν ἐμοὶ
φράσασαν ἰέναι;

esius et Toupius. Nollem Th. Burgesium ea scripsisse quæ in Dawesii emendationem adnotavit. ξυμμίξας solœcismus est nullo exemplo defendendus.

518. ξυμβούλοισιν ἁπάσαις ὑμῖν. Sic quidem libri omnes: vitium tamen est in hac lectione. Solutos pedes amare versum anapæsticum norunt tirones, vitaruntque poëtæ, quantum fieri potuit, cæsuram post secundum pedem. Scripserat Comicus: ξυμβούλοισιν πάσαις ὑμῖν—

521. ὡς εὐηθικῶς. Hæc verba recte viro continuantur in cod.

522. περί του μοιχοῦ. Perperam vulgo περὶ τοῦ μοιχοῦ, diverso et perquam absurdo sensu.

527. πῶς οὖν ὄρθριον ᾤχου σὺ καὶ πῆ; Sic cod. optime. Tres ultimæ voculæ in unam coaluerant in Aldino codice, nisi ipsius Aldi interpolatio est, σιωπῆ. In edit. B. Juntæ est ὤχουσι πῆ—θοιμάτιον λαβοῦσά μοι. Sic libri omnes. At hic mallem λαβοῦσά μου.

Πρ. τῆς λεχοῦς δ' ἦν φροντίσαι,
οὕτως ἐχούσης, ὦ 'νερ.
Βλ. εἰποῦσάν γ' ἐμοί.
ἀλλ' ἔστιν ἐνταῦθά τι κακόν.
Πρ. μὰ τὼ θεώ.
ἀλλ' ὥσπερ εἶχον ᾠχόμην· ἐδεῖτο δὲ,
ἥπερ μεθῆκέ μ', ἐξιέναι πάσῃ τέχνῃ.
Βλ. εἶτ' οὐ τὸ σαυτῆς ἱμάτιόν σ' ἐχρῆν ἔχειν;
ἀλλ' ἔμ' ἀποδύσασ', ἐπιβαλοῦσα τοὔγκυκλον,
ᾤχου καταλιποῦσ' ὡσπερεὶ προκείμενον,
μόνον οὐ στεφανώσασ', οὐδ' ἐπιθεῖσα λήκυθον.
Πρ. ψῦχος γὰρ ἦν· ἐγὼ δὲ λεπτὴ κἀσθενής·
ἔπειθ' ἵν' ἀλεαίνοιμι, τοῦτ' ἠμπισχόμην·
σὲ δ' ἐν ἀλέᾳ κατακείμενον καὶ στρώμασι
κατέλιπον, ὦ 'νερ.
Βλ. αἱ δὲ δὴ Λακωνικαὶ
ᾤχοντο μετὰ σοῦ, κᾆτι χ' ἡ βακτηρία.
Πρ. ἵνα θοἰμάτιον σώσαιμι, μεθυπεδησάμην,
μιμουμένη σε, καὶ κτυποῦσα τοῖν ποδοῖν,
καὶ τοὺς λίθους παίουσα τῇ βακτηρίᾳ.
Βλ. οἶσθ' οὖν ἀπολωλεκυῖα πυρῶν ἑκτέα,
ὃν χρῆν ἔμ' ἐξ ἐκκλησίας εἰληφέναι;

531. τῆς λεχοῦς δ' ἦν φροντίσαι. Sic cod. Vim et venustatem habet istud ἦν quod mulier marito regerit. Vulgo τῆς λεχοῦς δ' οὐ φροντίσαι—cum interrogatione.

536. ἐπιβαλοῦσα. Sic est in cod. ubi hic versus sic scriptus conspicitur :

ἀλλ' ἔμ' ἀποδύσασ' ἐπιβαλοῦσα τοῦ κύκλου.

In primariis editt. est ἐπιλαβοῦσα τοὔγκυκλον, sine copula, quæ in recentioribus inserta fuit. Mulier sumta mariti veste, ei pallam suam reliquerat, qua indutus ille prodiit in scenam. Vide v. 331. Miror œconomiam fabulæ non melius perspectam fuisse Fabro, qui locum hunc inepte vertit.

543. κᾆτι χ' ἡ βακτηρία. Sic legendum esse perite vidit Kusterus. In cod. scriptum est: μετὰ σοῦ. κᾆστι χὴ βακτηρία. Inde depravata est B. Juntæ lectio, κἄστιχ' ἡ βακτηρία. In vetustissimis codd. sic exaratum erat ΚΑΙΤΙΧΗ —ι in σ mutatum fuit, κἄστι pro κᾆτι. Depravatissima est Aldinæ edit. lectio: μετὰ σοῦ καὶ κατίσχ' ἡ βακτηρία.

547. ἑκτέα, ὃν χρῆν. In cod. ἑκτέον ὃ χρῆν. Inusitata forma est ἑκτέον pro ἑκτεύς. At compositum ἡμιεκτέον in usu est. Vide Nub. 645.

Πρ. μὴ φροντίσῃς· ἄῤῥεν γὰρ ἔτεκε παιδίον.
Βλ. ἡ 'κκλησία;
Πρ. μὰ Δί', ἀλλ' ἐφ' ἥνπερ ᾠχόμην.
ἀτὰρ γεγένηται;
Βλ. ναὶ μὰ Δί'. οὐκ ᾔδησθά με
φράσαντά σοι χθές;
Πρ. ἄρτι γ' ἀναμιμνήσκομαι.
Βλ. οὐδ' ἄρα τὰ δόξαντ' οἶσθα;
Πρ. μὰ Δί' ἐγὼ μὲν οὔ.
Βλ. κάθησο τοίνυν σηπίας μασωμένη.
ὑμῖν δέ φασι παραδεδόσθαι τὴν πόλιν.
Πρ. τί δρᾷν; ὑφαίνειν;
Βλ. οὐ μὰ Δί', ἀλλ' ἄρχειν.
Πρ. τίνων;
Βλ. ἁπαξαπάντων τῶν κατὰ πόλιν πραγμάτων.
Πρ. νὴ τὴν Ἀφροδίτην, μακαρία γ' ἄρ' ἡ πόλις
ἔσται τολοιπόν.
Βλ. κατὰ τί;
Πρ. πολλῶν οὕνεκα.
οὐ γὰρ ἔτι τοῖς τολμῶσιν αὐτὴν αἰσχρὰ δρᾷν
ἔσται τολοιπόν· οὐδαμοῦ δὲ μαρτυρεῖν,
οὐ συκοφαντεῖν.
Βλ. μηδαμῶς, πρὸς τῶν θεῶν,
τουτὶ ποιήσῃς, μηδ' ἀφέλῃς μου τὸν βίον.

550. μὰ Δί', ἀλλ' ἐφ' ἥνπερ ᾠχόμην. Vulgo legitur sententia nulla et corrupto metro: μὰ Δί', ἀλλ' ἔγωγ' ᾠχόμην. In cod. sic scriptum: μὰ Δί'. ἀλλ' ἐφ' ἣν 'γώ γ' ᾠχόμην. Inde, ni fallor, veram poëtæ manum restitui. In primariis editt. est: μὰ Δί' ἀλλ' ἔφην ἔγωγ' ᾠχόμην. A mala manu est pronomen illud personale, quod nullo pacto versui aptari potest, et sensui prorsus est inutile.

551. οὐκ ᾔδησθα. Vulgo ᾔδεισθα. Atticam formam revocavi. Auctor Etymol. M. p. 420. l. 12. ᾔδεισθα. τὸ κοινότερον διὰ τοῦ ι· τὸ δὲ Ἀττικώτερον, διὰ τοῦ η, ᾔδησθα. Εὔπολις. Vide eruditam Valckenarii notam ad Iliad. xxii. 280.

556. τίνων; Sic bene cod. et edit. B. Juntæ. Vulgo τίνος;

557. κατὰ πόλιν, Perperam cod. κατὰ τὴν πόλιν. V. seq. pro vulgato γὰρ dedi γ' ἄρ'—

559. Hic versus et sequens in cod. omissi. Causa manifesta.

Χο. ὦ δαιμόνι' ἀνδρῶν, την γυναῖκ' ἔα λέγειν.
Πρ. μὴ λωποδυτῆσαι, μὴ φθονεῖν τοῖς πλησίον,
μὴ γυμνὸν εἶναι, μὴ πένητα μηδένα,
μὴ λοιδορεῖσθαι, μὴ 'νεχυραζομένου φέρειν.
Χο. νὴ τὸν Ποσειδῶ, μεγάλα γ', εἰ μὴ ψεύδεται.
Πρ. ἀλλ' ἀποφανῶ τοῦθ', ὥστ' ἐμοί σε μαρτυρεῖν,
καὶ τοῦτον αὐτὸν μηδὲν ἀντειπεῖν ἐμοί.
Χο. νῦν δὴ δεῖ σε πυκνὰν φρένα, καὶ
φιλόσοφον ἐγείρειν φροντίδ', ἐπισταμένην
ταῖσι φίλαισιν ἀμύνειν. κοινῇ γὰρ ἐπ' εὐτυχίαισιν
ἔρχεται γνώμης ἐπίνοια, πολίτην
δῆμον ἐπαγλαϊοῦσα μυρίαισιν εὐτυχίαισι βίου,
δηλοῦν, ὅ τι περ δύναται καιρός.
δεῖται γάρ τι σοφοῦ 'ξευρήματος ἡ πόλις ἡμῶν.
ἀλλὰ πέραινε μόνον μήτε δεδραμένα, μήτ'
εἰρημένα πω πρότερον.
μισοῦσι γὰρ, ἢν τὰ παλαιὰ πολλάκις θεῶνται.
ἀλλ' οὐ μέλλειν, ἀλλ' ἅπτεσθαι καὶ δὴ χρὴ ταῖς διανοίαις,
ὡς τὸ ταχύνειν χαρίτων μετέχει πλεῖστον παρὰ τοῖσι θεαταῖς.

564. Hunc versum ut et 568. alii viro vulgo tribuunt, cujus non video quænam hic esse possint partes, nec cui rei in scenam induceretur. Eos ego Choro tribuo.

569. ὥστ' ἐμοί σε μαρτυρεῖν. Ad Chorum pertinet pronomen σε, ad Blepyrum autem τοῦτον, v. seq. Vulgo legitur ὥστ' ἔμοιγε. Longe diversa est cod. scriptura ἀλλ' ἀποφανῶ τόνδ'. ὅστις ἄν μοι μαρτυρῇ. Facile commutantur γε et σε: versu abhinc secundo, ubi in impressis bene legitur δεῖ σε, cod. habet δεῖ γε.

571. πυκνάν. Doricam formam non agnoscit cod. in quo scriptum δεῖ γε πυκνήν. Postremum hoc recipi debebat.

574. γνώμης ἐπίνοια. Vulgo γλώττης. Nomina ista facile permutantur. Vide Markland. ad Eurip. Suppl. 547. et not. ad Ran. 355.

577. Vulgo sic legitur hic versus, quem frustra pro tetrametro anapæstico aliquis venditaret:

δεῖται γάρ τοιγε σοφοῦ τινος ἐξευρήματος
ἡ πόλις ἡμῶν.

In cod. scriptum γάρτοι σοφοῦ. Inde recisa inutili voce τινὸς et mutato τοι in τι, quorum alterum quam sæpe in alterius locum irrepserit, tironibus notum, pulcher emergit hexameter heroicus:

δεῖται γάρ τι σοφοῦ 'ξευρήματος ἡ πόλις
ἡμῶν.

581. χρὴ ταῖς διανοίαις. Sic cod. Vulgo χρῆν.

582. χαρίτων μετέχει πλεῖστον. Subauditur μέρος, qua ellipsi nihil frequentius. Alibi in nomen expressum occurrit. Plenam locutionem observes in Pl. 226.

ἡμῖν μετάσχῃ τοὐδὲ τοῦ πλούτου μέρος.

Ran. 334.

Πραξαγόρα.

καὶ μὴν ὅτι μὲν χρηστὰ διδάξω πιστεύω τούσδε θεατάς,
εἰ καινοτομεῖν ἐθελήσουσιν, καὶ μὴ τοῖς ἤθεσι λίαν
τοῖς ἀρχαίοις ἐνδιατρίβειν· τοῦτ᾽ ἔσθ᾽, ὃ μάλιστα δέδοικα.

Βλέπυρος.

περὶ μὲν τοίνυν τοῦ καινοτομεῖν μὴ δείσῃς· τοῦτο γὰρ ἡμῖν
δρᾷν ἀντ᾽ ἄλλης ἀρχῆς ἐστιν, τῶν δ᾽ ἀρχαίων ἀμελῆσαι.

Πραξαγόρα.

μή νυν πρότερον μηδεὶς ὑμῶν ἀντείπῃ, μηδ᾽ ὑποκρούσῃ,
πρὶν ἐπίστασθαι τὴν ἐπίνοιαν, καὶ τοῦ φράζοντος ἀκοῦσαι.
κοινωνεῖν γὰρ πάντας φήσω χρῆναι, πάντων μετέχοντας,
κἀκ ταυτοῦ ζῆν, καὶ μὴ τὸν μὲν πλουτεῖν, τὸν δ᾽ ἄθλιον εἶναι·
μηδὲ γεωργεῖν τὸν μὲν πολλήν, τῷ δ᾽ εἶναι μηδὲ ταφῆναι·
μηδ᾽ ἀνδραπόδοις τὸν μὲν χρῆσθαι πολλοῖς, τὸν δ᾽ οὐδ᾽ ἀκολούθῳ·
ἀλλ᾽ ἕνα ποιῶ κοινὸν πᾶσιν βίοτον, καὶ τοῦτον ὅμοιον.

Βλέπυρος.

πῶς οὖν ἔσται κοινὸς ἅπασιν;

Πραξαγόρα.

κατέδει σπέλεθον πρότερός μου.

Βλέπυρος.

καὶ τῶν σπελέθων κοινωνοῦμεν;

φιλοπαίγμονα τιμάν,
χαρίτων πλεῖστον ἔχουσαν
μέρος.

Qui locus nostro simillimus. Ideirco minime necesse est πλείστων legere, ut placet Toupio ad Suidam iii. 228.

584. τοῖς ἤθεσι λίαν τοῖς ἀρχαίοις ἐνδιατρίβειν. Vel cœco apparet sic legendum esse. Mendose vulgo: τοῖς ἠθάσι λίαν, τοῖς τ᾽ ἀρχαίοις ἐνδιατρίβειν. In cod. copula non est: τοῖς ἠθάσι λίαν τοῖς ἀρχαίοις—et super ἠθάσι scriptum ab eadem manu pro diversa lectione, γρ. ἤθεσι. Istud ἠθάσι librarii errore primum invectum fuit.

593. τὸν δ᾽ οὐδ᾽ ἀκολούθῳ. Sic bene edidit B. Junta. In codice τὸν δ᾽ οὐδ᾽ ἀκολούθοις. In ceteris editt. est τὸν δ᾽ ἀκολούθῳ, claudicante versu, sententiaque minus bona. Depravatam lectionem, cujus tamen vitium sensit, in versione expressit Faber: *illum autem uno pedisequo*. Nos vero: *illum autem ne pedisequum quidem habere.*

595. κατέδει σπέλεθον πρότερός μου. Sic in cod. scriptum, ut legendum esse conjecerat Faber; non, ut vulgo, μοι. Proverbialis locutio esse videtur in eos qui loquentem intempestive interpellant. Libri omnes habent κατεδεῖ. Oportuit κατέδει. Atticis ἔδομαι futurum est, cujus secunda est ἔδει, κατέδει. Phrynichus: βρώσομαι, κακῶς ὁ Φαβωρῖνος. οἱ γὰρ Ἀττικοὶ ἀντ᾽ αὐτοῦ τῷ ἔδομαι καὶ κατέδομαι χρῶνται. Auctor Etym. M. p. 786. l. 23. φάγομαι—ὁ μέλλων μέλλων β᾽ φαγοῦμαι ὤφειλεν εἶναι. ἀλλὰ σεσημείωται τὸ φάγομαι, πίομαι, ἔδομαι.

Πραξαγόρα.

μὰ Δί', ἀλλ' ἔφθης μ' ὑποκρούσας.
τοῦτο γὰρ ἤμελλον ἐγὼ λέξειν. τὴν γῆν πρώτιστα ποιήσω
κοινὴν πάντων, καὶ τἀργύριον, καὶ τἄλλ', ὁπόσ' ἐστιν ἑκάστῳ.
εἶτ' ἀπὸ τούτων κοινῶν ὄντων ἡμεῖς βοσκήσομεν ὑμᾶς,
ταμιευόμεναι, καὶ φειδόμεναι, καὶ τὴν γνώμην προσέχουσαι.

Βλέπυρος.

πῶς οὖν ὅστις μὴ κέκτηται γῆν ἡμῶν, ἀργύριον δὲ
καὶ Δαρεικοὺς, ἀφανῆ πλοῦτον---

Πραξαγόρα.

ταῦτ' ἐς τὸ μέσον καταθήσει,
καὶ μὴ καταθεὶς ψευδορκήσει.

Βλέπυρος.

κᾀκτήσατο γὰρ διὰ τοῦτο.

Πραξαγόρα.

ἀλλ' οὐδέν τοι χρήσιμον ἔσται πάντως αὐτῷ.

Βλέπυρος.

κατὰ δὴ τί;

Πραξαγόρα.

οὐδεὶς οὐδὲν πενίᾳ δράσει. πάντα γὰρ ἕξουσιν ἅπαντες,
ἄρτους, τεμάχη, μάζας, χλαίνας, οἶνον, στεφάνους, ἐρεβίνθους.
ὥστε τί κέρδος μὴ καταθεῖναι; σὺ γὰρ ἐξευρὼν ἀπόδειξον.

Βλέπυρος.

οὔκουν καὶ νῦν οὗτοι μᾶλλον κλέπτουσ', οἷς ταῦτα πάρεστι;

Πραξαγόρα.

πρότερόν γ', ὦ 'τὰν ὅτε τοῖσι νόμοις διεχρώμεθα τοῖς προτέροισι·

602. ταῦτ' ἐς τὸ μέσον. Vulgo ταῦτ'—

604. ἀλλ' οὐδέν τοι. Perperam cod. ἀλλ' οὐδέν τι. Modo monui has voculas sæpissime commutatas reperiri, quia eodem sono Græculi eas efferebant, ut et hodie multi faciunt.

605. οὐδεὶς οὐδὲν πενίᾳ δράσει. Perperam vulgo οὐδ' ἐν πενίᾳ. Ridiculo librarii errore in cod. scriptum est, οὐδεὶς οὐδὲν πνεύμασι δράσει.

609. ὦ 'τὰν, sic bene cod. Vulgo ὦ 'ταῖρ'—νόμοις διεχρώμεθα. Ad hæc verba ita commentatur Faber. *Prava lectio. Scribe,* τοῖσι νόμοισιν ἐχρώμεθα. *Ita postulat versus et hellenismus. Nam* διεχρώμεθα *aliud est quam* ἐχρώμεθα. In metris parum intelligebat Faber, quod passim ostendunt ejus notæ. Vide quam bellus esset tetrameter sic, ut ille volebat, scriptus:

νῦν δ', ἔςαι γὰρ βίος ἐκ κοινοῦ, τί τὸ κέρδος μὴ καταθεῖναι;

Βλέπυρος.

ἢν μείρακ' ἰδὼν, ἐπιθυμήσῃ καὶ βούληται σκαλαθῦραι,
ἕξει, τούτων ἀφελὼν, δοῦναι· τῶν ἐκ κοινοῦ δὲ μεθέξει
ξυγκαταδαρθών.

Πραξαγόρα.

ἀλλ' ἔξεσται προῖκ' αὐτῷ ξυγκαταδαρθεῖν.
καὶ ταύτας γὰρ κοινὰς ποιῶ τοῖς ἀνδράσι συγκατακεῖσθαι,

προτερον γ' | ω 'ταν | ὅτι τοι | σι νομοι | σιν εχρω | μεθα τοις | προτεροι | σι. in quo cæsura est post quartum pedem contra artem. Quod autem ad *hellenismum* adtinet, illius eum non minus fugit ratio. Meliora ab H. STEPHANO edoceri poterat, si illius *Thesaurum* consuluisset, ubi T. iv. col. 615. διαχρῶμαι, *vacante præpositione pro* χρῶμαι UTOR, *passim apud Herodotum, ut* διαχρώμενοι ἐσθῆτι. *Et* διαχρῶνται οἴνῳ. *Item* διαχρῶνται τρόπῳ ζωῆς τοιῷδε. *Et* διαχρήσαντο ἤθεσι ξεινικοῖσι. *Et* διαχρᾶσθαι τῷ αὐτῷ τρόπῳ. Alia exempla profert in vocum Herodoti recensione et interpr. p. 12. appendicis edit. Wesselingii. Composita verba sæpissime occurrunt cum apud alios scriptores, tum apud Comicum nostrum, in quibus præpositio multum ad ornatum, nihil ad significationem confert, qua de re opportunior erit ad Nubes dicendi occasio.

611. σκαλαθῦραι. Schol. συνουσιάσαι. Quod autem addit μείρακα hic *marem* significare, ineptum est. Fraudi fuit Græculo, nam scholion illud recentioris est monetæ, nec antiquum Grammaticum sapit, interpolata horum versuum lectio, quos sic exhibent editiones primariæ.

ἢν μείρακ' ἰδὼν ἐπιθυμήσῃ καὶ βούλεται
TOΥTON σκαλαθύραι,
ἕξει τούτων ἀφελῶν δοῦναι. τῶν ἐκ κοινοῦ
δὲ μετέξει.

Quæ in recentioribus emendatius repræsentantur βούληται et μεθέξει, sic recte scripta sunt in cod. ubi mendose σκαλαθῦραι. Pronomen τοῦτον, quod metrorum imperito Græculo suspectum non fuit, ei persuadere debuit μείρακα hic *puerum* significare. Sed uno ore clamarunt eruditi omnes, istud τοῦτον, quod versus respuit, tollendum esse: nihilominus id in textu reliquit vel Berglerus, vel illius lucubrationum caupo. At in altero versu pro τούτων Berglerus ipse reposuit ταύτην, *audacter*, ut ait, *invitis editt. omnibus, et insuper Scholiaste.* At ego aio: *stultissime, invita sententia, et insuper communi sensu.* Quid enim sibi vult ταύτην ἀφελὼν, *puellam hanc eximens?* ineptum est. ἕξει (i. e. δυνήσεται) δοῦναι (scilicet τῇ μείρακι) ἀφελὼν, *demens, detrahens, decerpens,* τούτων, *ex iis quæ ille sibi reservarit, nec in commune deposuerit.*

614. τοῖς ἀνδράσι συγκατακεῖσθαι. Sic scribendum; non, ut vulgo, ξυγκ— Atticam literam hic respuit metri lex. In cod. ut in edit. B. Juntæ pro ξυγκατακεῖσθαι, repetitum e præc. v. ξυγκαταδαρθεῖν. Hoc modo sæpe contigit, ut idem vocabulum in duorum continuorum versuum fine scriberetur, ubi fere semper se prodit oscitantis librarii culpa. Aldus edidit ξυγκατακεῖσθαι, e scripto libro, ut probabile est; sin ex conjectura, laudandum est illius acumen, bonaque retinenda emendatio. Similem mendam sustuli in Apollonii Arg. i. ubi vers. 593. et sequens eodem participio εἰσορόωντες claudebantur. E-

καὶ παιδοποιεῖν τῷ βουλομένῳ.

Βλέπυρος.

πῶς οὖν, εἰ πάντες ἴασιν,
ἐπὶ τὴν ὡραιοτάτην αὐτῶν, καὶ ζητήσουσιν ἐρείδειν ;

Πραξαγόρα.

αἱ φαυλότεραι καὶ σιμότεραι παρὰ τὰς σεμνὰς καθεδοῦνται·
κᾆτ' ἢν ταύτης ἐπιθυμήσῃ, τὴν αἰσχρὰν πρῶθ' ὑποκρούσει.

Βλέπυρος.

καὶ πῶς ἡμᾶς τοὺς πρεσβύτας, ἢν ταῖς αἰσχραῖσι συνῶμεν,
οὐκ ἐπιλείψει τὸ πέος πρότερον, πρὶν ἐκεῖσ', οἷ φῄς, ἀφικέσθαι;

Πραξαγόρα.

οὐχὶ μαχοῦνται.

Βλέπυρος.

περὶ τοῦ ;

Πραξαγόρα.

θάῤῥει, μὴ δείσῃς, οὐχὶ μαχοῦνται.

Βλέπυρος.

περὶ τοῦ ;

mendationem, quam haud vereor luculentam appellare, in indicem flagitiorum meorum retulit Flos Criticorum nostratium. (*V. Journal des Sçavans, mai* 1781.)

616. ἐρείδειν, συνουσιάζειν. Vide fragm. Inc. ii. et Eustathium ibi laudatum.

619. συνῶμεν. Perperam vulgo ξυνῶμεν.

621. Hunc et seq. versum ad fidem codicis in integrum restitui, qui dimidia fere sui parte mutili erant. Sic legebantur :

> οὐχὶ μαχοῦνται.—περὶ τοῦ ;—τοῦ μὴ ξυγκαταδαρθεῖν.
> καί σοι τοιοῦτον ὑπάρξει.

In codice vero sic scripti sunt :

> οὐχὶ μαχοῦνται περί σου θάῤῥει. μὴ δείσῃς. οὐχὶ μαχοῦνται.
> περὶ τοῦ ;—τοῦ μὴ ξυγκαταδαρθεῖν. καί σοι τοιοῦτον ὑπάρχει.

Juxta codicis scripturam prior horum versuum totus est mulieris. Fraudi fuit librario prava lectio περί σου, pro περὶ τοῦ. Illud est etiam in edit. B. Juntæ. At Aldus dedit περί σου. Loquendi vices personis melius me divisisse arbitror, marito bis περὶ τοῦ; tribuendo. Si priore loco dixisset mulier περί σου, nihil fuisset causæ cur maritus iterum percontaretur περὶ τοῦ ; In minore Batava sic interpolatus fuit posterior versus :

> καί σοι τοιοῦτον ὑπάρξει. καί σοι τὸ περὶ τῶνδε μάχεσθαι.

Omissis sinceris, spuria in editione sua exhibuit Kusterus, sic denuo immutata : καί σοι τὸ περὶ τούτων δὴ μάχεσθαι. Egregium sane judicii specimen ! Quæ in sequentibus obtinebat personarum distinctio erat absurdissima. Nihil prorsus hic viderunt interpretes : postremus omnium Berglerus prioribus non fuit acutior. Ista τοῦ μὴ ξυγκαταδαρθεῖν pressius verti debuerunt : *Si cum illis non concubueritis ;* vel, *quia cum illis non concumbetis.*

Πραξαγόρα.

τοῦ μὴ ξυγκαταδαρθεῖν. καὶ σοὶ τοιοῦτον ὑπάρχει.
τὸ μὲν ἡμέτερον γνώμην τιν' ἔχει. προβεβούλευται γὰρ ὅπως ἂν
μηδεμιᾶς ᾖ τρύπημα κενόν.

Βλέπυρος.

τὸ δὲ τῶν ἀνδρῶν τί ποιήσει;
φεύξονται γὰρ τοὺς αἰσχίους, ἐπὶ τοὺς δὲ καλοὺς βαδιοῦνται.

Πραξαγόρα.

ἀλλὰ φυλάξουσ' αἱ φαυλότεραι τοὺς καλλίους ἀπιόντας
ἀπὸ τοῦ δείπνου· καὶ τηρήσουσ' ἐπὶ τοῖσιν δημοσίοισιν
οἱ φαυλότεροι· κοὐκ ἔξεσται παρὰ τοῖσι καλοῖς καταδαρθεῖν
ταῖσι γυναιξὶν, πρὶν τοῖς αἰσχροῖς καὶ τοῖς μικροῖς χαρίσωνται.

Βλέπυρος.

ἡ Λυσικράτους ἄρα νυνὶ ῥὶς ἴσα τοῖσι καλοῖσι φρονήσει.

Πραξαγόρα.

νὴ τὸν Ἀπόλλω· καὶ δημοτική γ' ἡ γνώμη, καταχήνη
τῶν σεμνοτέρων ἔσται πολλὴ, καὶ τῶν σφραγῖδας ἐχόντων,
ὅταν ἐμβὰς δή γ' εἴπῃ· Προτέρῳ παραχώρει, κᾆτ' ἐπιτήρει,
ὅταν ἤδη 'γὼ διαπραξάμενος παραδῶ σοι δευτεριάζειν.

623. τὸ μὲν ἡμέτερον. Sic cod. et Aldina editio. Mendose Bern. Junta ὑμέτερον, quod inepte revocavit Berglerus, non videns hæc ex ipsa sententia mulieri continuari debere.

624. μηδεμιᾶς ᾖ τρύπημα κενόν. Scripsisset, si per metrum licuisset, τὸ τρύπημα. Hic locus, ut multi alii, exemplo esse possit Comicis licuisse nomen substantivum efferre sine articulo, quem solutæ orationis scriptores non omitterent. Vide not. ad Lys. 152.

628. Hic versus in cod. omissus. Primariæ editt. recte habent τοῖσι καλοῖς, ut etiam excusum fuit in novissima Batava: mendose recentiores quædam τοῖς καλοῖς.

631. καταχήνη, κατάγελως. Vide Vesp. 575.

633. Hic versus in codice omissus. Causa manifesta: ad ὅταν sequentis versus aberravit librarii oculus. Vulgo autem sic legitur metro prorsus corrupto, et sententia nulla:

ὅταν ἐμβάδι γ' εἴπῃ, πρότερος παραχώρει· κᾆτ' ἐπιτήρει.

Qua in scriptura ne forma quidem apparet tetrametri anapæstici. Deinde quisnam est nominativus verbi εἴπῃ? non alius esse possit, quam καταχήνη, quod ineptissimum est. Metro et sententiæ subvenit Faber, acuteque genuinam detexit lectionem:

ὅταν ἐμβὰς δή γ' εἴπῃ· Προτέρῳ παραχώρει, κᾆτ' ἐπιτήρει.

Per embadem *intellige id hominum genus qui* ἐμβάδι *utebantur: ii autem erant senes.* Plut. 759.

ἐπεπεπτώκει δὲ
ἐμβὰς γερόντων εὐρύθμοις προβήμασιν.

634. δευτεριάζειν, *secundas partes agere.* Metaphora a scena sumta. Pro διαπρα-

Βλέπυρος.

πῶς οὖν, οὕτω ζώντων ἡμῶν, τοὺς αὑτοῦ παῖδας ἕκαστος
ἔσται δύνατος διαγιγνώσκειν;

Πραξαγόρα.

τί δὲ δεῖ; πατέρας γὰρ ἅπαντας
τοὺς πρεσβυτέρους αὑτῶν εἶναι τοῖσι χρόνοισιν νομιοῦσιν.

Βλέπυρος.

οὐκοῦν ἄγξουσ' εὖ καὶ χρηστῶς ἑξῆς τὸν πάντα γέροντα
διὰ τὴν ἄγνοιαν, ἐπεὶ καὶ νῦν, γιγνώσκοντες πατέρ' ὄντα,
ἄγχουσι. τί δῆθ', ὅταν ἄγνως ᾖ, πῶς οὐ τότε κἀπιχεσοῦνται;

Πραξαγόρα.

ἀλλ' ὁ παρεστὼς οὐκ ἐπιτρέψει· τότε δ' αὐτοῖς οὐκ ἔμελ' οὐδὲν
τῶν ἀλλοτρίων, ὅστις τύπτοι· νῦν δ' ἢν πληγέντος ἀκούσῃ,
μὴ 'ὐτὸν ἐκεῖνον τύπτῃ δεδιὼς, τοῖς δρῶσιν τοῦτο μαχεῖται.

Βλέπυρος.

τὰ μὲν ἄλλα λέγεις οὐδὲν σκαιῶς· εἰ δὲ προσελθὼν Ἐπίκουρος,
ἢ Λευκολόφας, πάππαν με καλοῖ, τοῦτ' ἤδη δεινὸν ἀκοῦσαι.

Πραξαγόρα.

πολὺ μέντοι δεινότερον τούτου τοῦ πράγματός ἐστι.

Βλέπυρος.

τὸ ποῖον;

Πραξαγόρα.

εἴ σε φιλήσειεν Ἀρίστυλλος, φάσκων αὑτοῦ πατέρ' εἶναι.

Βλέπυρος.

οἰμώζοι γ' ἂν, καὶ κωκύοι.

Πραξαγόρα.

σὺ δέ γ' ὄζοις ἂν καλαμίνθης.
ἀλλ' οὗτος μὲν πρότερον γέγονεν, πρὶν τὸ ψήφισμα γενέσθαι,

ξάμενος, ridiculo errore in cod. scriptum παραταξάμενος, quod exhibet etiam edit. B. Juntæ.

638. ἑξῆς. Vox hæc in cod. omissa.

644. τὰ μὲν ἄλλα λέγεις οὐδὲν σκαιῶς. Id est οὐ σκαιῶς. Familiare est Atticis οὐδὲν adhibere pro οὐ.

645. πάππαν με καλοῖ. Mendose vulgo πάπαν με καλεῖ. Sequitur mox εἴ σε φιλήσειεν.

647. Ἀρίστυλλος. Homo erat αἰσχροποιὸς, lingua et ore aliorum subserviens libidini, cujus mentio in Pluto 314.

649. γέγονεν ob metrum scribi debuit. Perperam vulgo γέγονε.

ὥστ' οὐχὶ δέος, μή σε φιλήσῃ.

Βλέπυρος.

δεινὸν μέντ' ἄν γ' ἐπεπόνθη.

τὴν γῆν δὲ τίς ἔσθ' ὁ γεωργήσων;

Πραξαγόρα.

οἱ δοῦλοι. σοὶ δὲ μελήσει,

ὅταν ᾖ δεκάπουν τὸ στοιχεῖον, λιπαρὸν χωρεῖν ἐπὶ δεῖπνον.

Βλέπυρος.

περὶ δ' ἱματίων τίς πόρος ἔσται; καὶ γὰρ τοῦτ' ἔστιν ἔρεσθαι.

Πραξαγόρα.

τὰ μὲν ὄνθ' ὑμῖν πρῶτον ὑπάρξει· τὰ δὲ λοίφ' ἡμεῖς ὑφανοῦμεν.

Βλέπυρος.

ἓν ἔτι ζητῶ· πῶς, ἤν τις ὄφλῃ παρὰ τοῖς ἄρχουσι δίκην τῳ,
πόθεν ἐκτίσει ταύτην; οὐ γὰρ τῶν κοινῶν γ' ἔστι δίκαιον.

Πραξαγόρα.

ἀλλ' οὐδὲ δίκαι πρῶτον ἔσονται.

Βλέπυρος.

τουτὶ δὲ πόσους ἐπιτρίψει;

Πραξαγόρα.

κἀγὼ ταύτην γνώμην ἐθέμην. τοῦ γάρ, τάλαν, οὕνεκ' ἔσονται;

650. *μή σε φιλήσῃ.* Cod. *οὐ μή σε φιλήσει.* Hinc *οὐ μὴ* est etiam in edit. B. Juntæ, reclamante metro.—*δεινὸν μέντ' ἄν γ' ἐπεπόνθη.* Vulgo *δεινὸν μέντ' ἂν ἐπεπόνθειν.* Primo post *ἂν* inseri debuit *γε* ob metrum. Tum *ἐπεπόνθη* e puriori Atticismo reposui. Nec aliter hic Suidas legisse videtur, cujus hæc est nota ex edit. Mediolan. descripta: *ἐπεπόνθη, ἀντὶ τοῦ ἐπεπόνθειν· καὶ ἑωράκη, ἀντὶ τοῦ ἑωράκειν· καὶ ᾔδη, ἀντὶ τοῦ ᾔδειν.* Omnia ista sunt tertiæ personæ, quam Attici terminatione a prima non distinguebant. Vide Kœnium ad Corinthum de Dial. Att. §. lviii. et confer not. ad Pl. 696. In edit. B. Juntæ pro *ἐπεπόνθειν* est *ἐπεπόνθην*, quod ad verum propius accedit. Prioris coli vulgata lectio bona est, *ὥστ' οὐχὶ δέος, μή σε φιλήσῃ.* E codicis scriptura diversa hæc concinnari posset: *ὥστ' οὐ δέος, οὐ μή σε φιλήσει.* *Ita ut nihil causæ sit cur metuas; non te osculabitur.*

652. *δεκάπουν τὸ στοιχεῖον.* Hoc explicat Casaubonus ad Athen. vi. 10. ubi Scholiastem emendat, cujus nota sic scribenda: *ἡ τοῦ ἡλίου σκιὰ, ὅταν ᾖ δέκα ποδῶν. θέλει δὲ εἰπεῖν, ὅτι γίνεται ὀψέ.—Τὸ παλαιὸν οἱ καλοῦντες ἐπὶ δεῖπνον, καὶ οἱ καλούμενοι παρεσημαίνοντο τὴν σκιάν. καὶ οὕτως οἱ μὲν ἀνέμενον τοὺς κληθέντας, οἱ δ' ἀπήεσαν ἐπὶ τὰς ἑστιάσεις· οὐδέπω τηρήσεως οὔσης ἑτέρας, ἀφ' ἧς οἷόν τε ἦν τεκμήρασθαι εἰς πόσας ὥρας προήκει.* Huc respexisse videtur Pollux vi. 44. *τῇ σκιᾷ δ' ἐτεκμαίροντο τὸν καιρὸν τῆς ἐπὶ τὸ δεῖπνον ὁδοῦ, ἣν καὶ στοιχεῖον ἐκάλουν. καὶ ἔδει σπεύδειν, εἰ δεκάπουν τὸ στοιχεῖον εἴη.*—*λιπαρὸν χωρεῖν.* Sic bene cod. Vulgo *λιπαρῶς.*

Βλέπυρος.

πολλῶν ἕνεκεν, νὴ τὸν Ἀπόλλω· πρῶτον δ' ἑνὸς οὕνεκα δήπου, ἤν τις ὀφείλων ἐξαρνῆται.

Πραξαγόρα.

πόθεν οὖν ἐδάνεισ' ὁ δανείσας, ἐν τῷ κοινῷ πάντων ὄντων; κλέπτων δή που 'στ' ἐπίδηλος.

Βλέπυρος.

νὴ τὴν Δήμητρ', εὖ γε διδάσκεις. τουτὶ τοίνυν σὺ φράσον μοι. τῆς αἰκίας οἱ τύπτοντες πόθεν ἐκτίσουσιν, ἐπειδὰν εὐωχηθέντες ὑβρίζωσιν; τοῦτο γὰρ οἶμαί σ' ἀπορήσειν.

Πραξαγόρα.

ἀπὸ τῆς μάζης, ἧς σιτεῖται· ταύτην γὰρ ὅταν τις ἀφαιρῇ, οὐχ ὑβριεῖται φαύλως οὐδεὶς οὕτως τῇ γαστρὶ κολασθείς.

Βλέπυρος.

οὐδ' αὖ κλέπτης οὐδεὶς ἔσται;

Πραξαγόρα.

πῶς γὰρ κλέψει, μετὸν αὐτῷ;

Βλέπυρος.

οὐκ ἀποδύσουσ' ἄρα τῶν νυκτῶν.

659. ἑνὸς οὕνεκα. Perperam vulgo εἵνεκα. Vide not. ad Pl. 329.

662. τουτὶ τοίνυν σὺ φράσον μοι. Vulgo τουτὶ τοίνυν φρασάτω μοι, perquam inficete illata tertia persona statim post secundam, in eodem ad eandem personam sermone: διδάσκεις—φρασάτω.

663. τῆς αἰκίας πόθεν ἐκτίσουσιν; Subauditur τὴν δίκην, seu potius τὸ τίμημα. Pl. 480.

τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ;

Piget me eorum, quæ ad hunc versum scripsit Dawesius. Oratorum Græcorum ne unam quidem paginam legisse videtur. αἰκία producta media apud Poëtas Atticos sæpe occurrit. Vide Æschylum Prom. 93. 117.

666. Vocem οὐδεὶς addidi, sententia flagitante et metro. Toto pede mutilus erat versus. Faber reponebat ἑξῆς, ut supra 638. Kusterus, πώποτε: quorum illud frigidum, hoc solœcum. Neuter animadverterat deesse nominativum verbi ὑβριεῖται. Eadem diphthongus initio utriusque vocis, alterius omittendæ causa fuit. Genuinum hoc esse ostendit alterum quod infertur v. seq. οὐδείς.

667. πῶς γὰρ κλέψει, μετὸν αὐτῷ; In impressis erat, πῶς γὰρ κλέψαιμι τὸ 'μαυτοῦ; E Suida, qui locum hunc profert in μετὸν, monuit Kusterus legendum esse, πῶς γὰρ κλέψαι, μετὸν αὐτῷ; quam lectionem in textu exhibet novissima Batava: sic quoque in cod. scriptum est. Sed solœca est oratio. Oporteret πῶς ἂν κλέψαι, immo Attice κλέψειε— Scripserat Comicus, quod reposui, κλέψει.

Πραξαγόρα.

οὐκ, ἢν οἴκοι γε καθεύδῃς,
οὐδ' ἤν γε θύραζ', ὥσπερ πρότερον. βίοτος γὰρ πᾶσιν ὑπάρξει.
ἢν δ' ἀποδύῃ γ', αὐτὸς δώσει. τί γὰρ αὐτῷ πρᾶγμα μάχεσθαι;
ἕτερον γὰρ ἰὼν ἐκ τοῦ κοινοῦ κρεῖττον κομιεῖται ἐκείνου.

Βλέπυρος.

οὐδὲ κυβεύσουσιν ἄῤ ἄνθρωποι.

Πραξαγόρα.

περὶ τοῦ γὰρ τοῦτο ποιήσει;

Βλέπυρος.

τὴν δὲ δίαιταν τίνα ποιήσεις;

Πραξαγόρα.

κοινὴν πᾶσιν. τὸ γὰρ ἄστυ
μίαν οἴκησιν φημὶ ποιήσειν ξυῤῥήξασ' εἰς ἓν ἅπαντα,
ὥστε βαδίζειν ὡς ἀλλήλους.

Βλέπυρος.

τὸ δὲ δεῖπνον ποῦ παραθήσεις;

Πραξαγόρα.

τὰ δικαστήρια καὶ τὰς στωὰς, ἀνδρῶνας πάντα ποιήσω.

Βλέπυρος.

τὸ δὲ βῆμα τί σοι χρήσιμον ἔσται;

Πραξαγόρα.

τοὺς κρατῆρας καταθήσω,
καὶ τὰς ὑδρίας, καὶ ῥαψῳδεῖν ἔσται τοῖς παιδαρίοισι

672. οὐδὲ κυβεύσουσιν ἄῤ ἄνθρωποι. Sic scriptum in cod. In impressis est, οὐδὲ κυβεύσουσ' ἄῤ ἄνθρωποι. Accentu tantum mutato voculæ αῤ' præstabat forte edere, οὐδὲ κυβεύσουσ' ἄῤ ἄνθρωποι, ob rationem allegatam ad v. 518.

675. παραθήσεις. Sic cod. ut impressi. Marklandus ad Eurip. Suppl. 932. legendum censet παραθήσει in forma media, cujus rei me fugit ratio.

676. τὰς στωάς. Hic et infra ubicunque hæc vox occurrit, scriptum in cod. στοάς. In impressis est στοιάς. Prior syllaba ob metrum produci debet. Analogiæ magis congruum mihi videtur στωὰ, quam στοιά. Ab illo, στωὰ, derivatur nomen Στωϊκοί. Formam στοιὰ, cujus nescio an apud scriptorem quempiam exemplum occurrat, cujusque non meminerunt Lexicographi, adfirmare videtur auctor Etymol. M. p. 550. l. 7. Sed voces fingere, quas usus nunquam admisit, Grammaticis solemne est.

τοὺς ἀνδρείους ἐν τῷ πολέμῳ, κεἴ τις δειλὸς γεγένηται,
ἵνα μὴ δειπνῶσ᾽ αἰσχυνόμενοι.

Βλέπυρος.

νὴ τὸν Ἀπόλλω, χάριέν γε.
τὰ δὲ κληρωτήρια ποῖ τρέψεις;

Πραξαγόρα.

ἐς τὴν ἀγορὰν καταθήσω·
κᾆτα στήσασα παρ᾽ Ἁρμοδίῳ κληρώσω πάντας, ἕως ἂν
εἰδὼς ὁ λαχὼν ἀπίῃ χαίρων ἐν ὁποίῳ γράμματι δειπνεῖ·
καὶ κηρύξει τοὺς ἐκ τοῦ Βῆτ᾽ ἐπὶ τὴν στωὰν ἀκολουθεῖν
τὴν Βασίλειον δειπνήσοντας· τοὺς Θῆτ᾽ ἐς τὴν παρὰ ταύτην·
τοὺς δ᾽ ἐκ τοῦ Κάππ᾽ ἐς τὴν στωὰν χωρεῖν τὴν Ἀλφιτόπωλιν.

Βλέπυρος.

ἵνα κάπτωσιν;

Πραξαγόρα.

μὰ Δί᾽, ἀλλ᾽ ἵν᾽ ἐκεῖ δειπνῶσιν.

Βλέπυρος.

ὅτῳ δὲ τὸ γράμμα
μὴ ᾽ξελκυσθῇ, καθ᾽ ὃ δειπνήσει, τούτους ἀπελῶσιν ἅπαντες.

Πρ. ἀλλ᾽ οὐκ ἔσται τοῦτο παρ᾽ ἡμῖν.
πᾶσι γὰρ ἄφθονα πάντα παρέξομεν·
ὥστε μεθυσθεὶς αὐτῷ στεφάνῳ
πᾶς τις ἄπεισιν τὴν δᾷδα λαβών.
αἱ δὲ γυναῖκες κατὰ τὰς διόδους
προσπίπτουσαι τοῖς ἀπὸ δείπνου,
τάδε λέξουσιν· Δεῦρο παρ᾽ ἡμᾶς·

682. κᾆτα στήσασα. In cod. καταστήσασα.

685. τοὺς Θῆτ᾽ ἐς τὴν παρὰ ταύτην. Subaudi λαχόντας: τοὺς Θῆτα λαχόντας. Vulgo legitur, τὸ δὲ Θῆτ᾽ ἐς τὴν παρὰ ταύτην. At vero in cod. scriptum est, δειπνήσοντας. τοὺς δ᾽ ἐκ τοῦ Θῆτα παρ᾽ αὐτήν. Quam lectionem sinceram esse credo, et versum, qui sequebatur, excidisse. Porticum Thracum designari arbitratur Meursius Ath. Att. pag. 15. Scholiastes vero minus probabiliter, τὸ Θησεῖον, *Thesei templum.*

687. Personæ in hoc versu perquam absurde distinctæ erant.

688. ἀπελῶσιν ἅπαντες. Sic recte cod. non, ut vulgo, ἅπαντας.

ἐνθάδε μεῖραξ ἔσθ' ὡραία.
Παρ' ἐμοὶ δ', ἑτέρα φήσει τις ἄνωθ'
ἐξ ὑπερῴου, καὶ καλλίστη,
καὶ λευκοτάτη· πρότερον μέντοι
δεῖ σε καθεύδειν αὐτῆς παρ' ἐμοί.
τοῖς δ' εὐπρεπέσιν γ' ἀκολουθοῦντες
καὶ μειρακίοις αἱ φαυλότεραι
τοιάδ' ἐροῦσιν· Ποῖ θεῖς οὗτος;
πάντως οὐδὲν δράσεις ἐλθών·
τοῖς γὰρ σιμοῖς καὶ τοῖς αἰσχροῖς
ἐψήφισθαι προτέροις βινεῖν·
ὑμᾶς δὲ τέως θρία λαβόντας
διφόρου συκῆς
ἐν τοῖς προθύροισι δέφεσθαι.
φέρε νῦν, φράσον μοι, ταῦτ' ἀρέσκει σφῷν;

Βλ. πάνυ.

Πρ. βαδιστέον τ' ἄρ' ἐστὶν εἰς ἀγορὰν ἐμοὶ,
ἵν' ἀποδέχωμαι τὰ προσιόντα χρήματα,
λαβοῦσα κηρύκαιναν εὔφωνόν τινα.
ἐμὲ γὰρ ἀνάγκη ταῦτα δρᾶν, ᾑρημένην
ἄρχειν, καταστῆσαί τε τὰ ξυσσίτια,
ὅπως ἂν εὐωχῆσθε πρῶτον τήμερον.

Βλ. ἤδη γὰρ εὐωχησόμεσθα;

Πρ. φήμ' ἐγώ.
ἔπειτα τὰς πόρνας καταπαῦσαι βούλομαι
ἁπαξαπάσας.

Βλ. ἱνατί;

Πρ. δῆλον τουτογί·

701. εὐπρεπέσιν γ'—inserenda fuit ob metrum particula.

702. αἱ φαυλότεραι sententia ipsa flagitante reponi debuit: vulgo absurde οἱ φαυλότεροι.

709. προθύροισι ob metrum scribendum fuit, non, ut vulgo, προθύροις. Emendata hic est scriptura codicis.

711. βαδιστέον τ' ἄρ'—Vulgo βαδιστέον ἄρ'—Vide not. ad Ran. 656.

716. τήμερον. Vulgo minus bene σήμερον.

719. δῆλον τουτογί. Vulgo τοῦτο τί. Quæ scriptura retineri poterat, distin-

ἵνα τῶν νέων ἔχωμεν αὐταὶ τὰς ἀκμάς·
καὶ τάς γε δούλας οὐχὶ δεῖ κοσμουμένας
τὴν τῶν ἐλευθέρων ὑφαρπάζειν Κύπριν,
ἀλλὰ παρὰ τοῖς δούλοισι κοιμᾶσθαι μόνον,
κατωνάκῃ τὸν χοῖρον ἀποτετιλμένας.

Βλ. φέρε νυν ἐγώ σοι παρακολουθῶ πλησίον,
ἵν' ἀποβλέπωμαι, καὶ λέγωσί μοι ταδί·
ΤΟΝ ΤΗΣ ΣΤΡΑΤΗΓΟΥ ΤΟΥΤΟΝ ΟΥ ΘΑΥΜΑΖΕΤΕ;

Χο. (λείπει ἡ τοῦ Χοροῦ ᾠδή.)

ΑΝΗΡ Α, ὁ καταθεὶς, ΑΝΗΡ Β, ὁ μὴ καταθεὶς, ΚΗΡΥΞ, ΧΟΡΟΣ.

Αν. α'. ΕΓΩΓ', ἵν' εἰς ἀγοράν γε τὰ σκεύη φέρω,
προχειριοῦμαι, κἀξετάσω τὴν οὐσίαν.
χώρει σὺ δεῦρο, κιναχύρα καλὴ καλῶς,

ctis personis, ut in cod. distinctæ sunt: ΒΑ. ἰνατί; ΠΡ. δῆλον τοῦτο. ΒΑ. τί; Sed longe præstat τούτογί, quod reponendum esse acute vidit Kœnius ad Corinthum p. 56.

724. κατωνάκη servorum est vestis. Hic metonymice ponitur res pro persona, quæ te utitur, ut supra 633. ἐμβάς. κατωνάκῃ valet igitur τῶν δούλων χάριν. Mentio κατωνακῶν. in Lys. v. 1151. ad quem locum respexit Hesychius. Ad metonymiam non adtenderant, nec ad usum dativi personam significantis pro genitivo cum ellipsi nominis χάριν, qui hoc aliter acceperunt, et optimam lectionem temere sollicitarunt.

727. Recitato hoc versu Blepyrus et Praxagora in forum ituri e scena egrediuntur. Hoc intellexere Faber et Kusterus, qui sequentes versus viro cuidam supellectilem suam in commune deposituro tribuerunt. In primariis editt. versus 728. et sequens perquam absurde Praxagoræ tributi erant: pravam illam distinctionem inepte revocavit Berglerus. Œconomiam fabulæ parum perspectam habuerunt editores, minime vero omnium postremus ille. Post versum 727. actus finitur, quo exacto, Chorus cantando et saltando partes suas agebat: sed temporis injuria et priscorum Grammaticorum socordia periere chorica cantica hujus fabulæ tantum non omnia.

728. ἔγωγ'—Sic legendum esse manifestum est. Perperam vulgo ἐγὼ δ'—Similis erat menda v. 173.

730. Supellectilem suam foras effert quidam, eamque ordine disponit ante ædes. Alloquitur autem singula vasa, ut in comœdia, tanquam essent homines; assignatque singulis locum et officia, qualia in pompis esse solebant quarumdam personarum. Nam istud omnino tenendum, istæc ad imitationem pompæ fieri. Quodnam autem sit vas istud, quod primum effert, et κιναχύραν vocat, incertum est; Faber

τῶν χρημάτων θύραζε πρώτη τῶν ἐμῶν,
ὅπως ἂν ἐντετριμμένη κανηφορῇς,
πολλοὺς κάτω δὴ θυλάκους στρέψασ᾽ ἐμούς.
ποῦ ᾽σθ᾽ ἡ διφροφόρος; ἡ χύτρα, δεῦρ᾽ ἔξιθι,
νὴ Δία, μέλαινά γ᾽, οὐδ᾽ ἂν, εἰ τὸ φάρμακον
ἑψοῦσ᾽ ἔτυχες, ᾧ Λυσικράτης μελαίνεται.
ἵστω παρ᾽ αὐτὴν, δεῦρ᾽ ἴθ᾽, ἡ κομμώτρια·
φέρε δεῦρο ταύτην τὴν ὑδρίαν, ὑδριαφόρε,
ἐνταῦθα· σὺ δὲ δεῦρ᾽, ἡ κιθαρῳδὸς, ἔξιθι,
πολλάκις ἀναστήσασά μ᾽ εἰς ἐκκλησίαν
ἀωρὶ νυκτῶν διὰ τὸν ὄρθριον νόμον.
ὁ τὴν σκάφην λαβὼν προΐτω, τὰ κηρία
κόμιζε, τοὺς θαλλοὺς καθίστη πλησίον,

admodum verosimiliter putat esse *cribri genus*, adductus, credo, etymologia vocis, παρὰ τὸ κινεῖν ἄχυρα. BERGLER. Scholiastæ κιναχύρα est ὄνομα δούλης.—καλὴ καλῶς. Pace 1330. χὤπως μετ᾽ ἐμοῦ καλὴ καλῶς κατακείσει. Plautus Asin. iii. 3. I sane bella belle. Curcul. iv. 2. Sequere istum bella belle.

732. De virginibus canephoris vide Meursium Panathen. c. 23. cujus in fine laudantur Comicorum versus, quos servavit Nostri Schol. ad Av. 1550. ubi Hermippi fragmentum depravatum est, quod vel aliter, vel hoc modo legendum est.

ὥσπερ αἱ κανηφόροι,
λευκοῖσιν ἀλφίτοισιν ἐντετριμμέναις.
ἐγὼ δ᾽ ἕνεκα ψαλαγμάτων τὴν διφροφόρον.

Dativus ἐντετριμμέναις pertinet ad substantivum quod præcedebat in eodem casu.

737. Perperam vulgo legitur: δεῦρ᾽ ἴθι κομμώτρια. Emendandi rationem vidit Faber, cujus crisin confirmat. cod. in quo δεῦρ᾽ ἴθ᾽ ἡ κομμώτρια. Suidas: κομμωτὴς, καλλωπιστής. κομμώτρια, ἐμπλέκτρια, ἡ κοσμοῦσα τὰς γυναῖκας.

738. De Hydriaphoris videndus Meursius Panathen. cap. 21.

739. ἡ κιθαρῳδός. Gallinaceum intelligit, qui ὄρθριος ᾄδων dormientes e somno excitat. Hunc v. 30. præconis nomine designat mulier: hic citharœdus est, unde intelligendus jocus in ὄρθριον νόμον, quo adluditur ad musicum modum, qui ὄρθιος appellatur.

742. ὁ τὴν σκάφην. Qua significatione σκάφην accipi debeat, valde incertum est. Meursius loco modo citato et Lect. Att. iv. 8. *ligonem* esse ait: alii *mactram*, in qua pinsitur farina. Hoc adfirmare videntur excerpta e Photii lexico prolata ab Hesychii interprete ad σκαφηφόροι; illud vero probabile reddit quod docet Harpocratio in Μετοίκιον; ἐκάλουν δὲ οἱ κωμικοὶ σκαφίας τοὺς μετοίκους, ἐπεὶ ἐν ταῖς πομπαῖς τὰς σκάφας ἐκόμιζον οὗτοι. Sane σκαφεὺς *fossorem* notat, cujus instrumentem est *ligo*. Sed hoc comicæ licentiæ esse possit. Altera acceptio probabilior mihi videtur. Prava distinctione locus hic impeditus erat, et copula inepte inserta in seq. v. quam cod. non agnoscit. Sic legitur in Kusteri editione:

ὁ τὴν σκάφην λαβὼν προΐτω τὰ κηρία·
κόμιζε τοὺς θαλλοὺς καὶ καθίστη πλησίον,
καὶ—

καὶ τὼ τρίποδ' ἐξένεγκε, καὶ τὴν λήκυθον·
τὰ χυτρίδι' ἤδη καὶ τὸν ὄχλον ἀφίετε.
Αν. β'. ἐγὼ καταθήσω τἀμά; κακοδαίμων ἄρα
ἀνὴρ ἔσομαι, καὶ νοῦν ὀλίγον κεκτημένος.
μὰ τὸν Ποσειδῶ γ' οὐδέποτ', ἀλλὰ βασανιῶ
πρώτιστον αὐτὰ πολλάκις καὶ σκέψομαι.
οὐ γὰρ τὸν ἐμὸν ἱδρῶτα καὶ φειδωλίαν
οὐδὲν πρὸς ἔπος οὕτως ἀνοήτως ἐκβαλῶ,
πρὶν ἐκπύθωμαι πᾶν τὸ πρᾶγμ' ὅπως ἔχει.
οὗτος, τί τὰ σκευάρια ταυτὶ βούλεται;
πότερα μετοικιζόμενος ἐξενήνοχας
αὔτ', ἢ φέρεις ἐνέχυρα θήσων;
Αν. α'. οὐδαμῶς.
Αν. β'. τί δῆτ' ἐπὶ στοίχου 'στὶν οὕτως; οὔ τι που
Ἱέρωνι τῷ κήρυκι πομπὴν πέμπετε;
Αν. α'. μὰ Δί', ἀλλ' ἀποφέρειν αὐτὰ μέλλω τῇ πόλει
ἐς τὴν ἀγορὰν, κατὰ τοὺς δεδογμένους νόμους.
Αν. β'. μέλλεις ἀποφέρειν;
Αν. α'. πάνυ γε.
Αν. β'. κακοδαίμων ἄρ' εἶ,
νὴ τὸν Δία τὸν Σωτῆρα.

744. τὼ τρίποδ'. Infra 786. καὶ δὴ μὲν οὖν τωδὶ ξυνάπτω τὼ τρίποδι. Quod vulgatam hujus versus confirmat lectionem. In codice vero, τὸν τρίποδ'.

747. ἀνὴρ ἔσομαι. Sic cod. Harum vocum prior in impressis omissa cum versus ruina.

754. πότερα. Vulgo πότερον. Illud magis Atticum est, et Comico frequentatum.

756. ἐπὶ στοίχου. Sic cod. et editt. primariæ. In recentioribus ἐπὶ στίχου.— οὔτι που. Vulgo οὔτι μὴ, quod nescio an græce dicatur pro *num*. At οὔ τι που frequenter apud Poëtas Atticos occurrit. Vide not. ad Ran. 522. Euripid. Helena 95.

πῶς; οὔ τι που σῷ φασγάνῳ βίον στερεῖς;

483.

πότ'; οὔ τι που λελήσμεθ' ἐξ ἄντρων λέχος;

549.

οὔ τι που κρυπτεύομαι
Πρωτέως ἀσέπτου παιδὸς ἐκ βουλευμάτων;

Herc. Fur. 968.

οὔ τι που φόνος σ' ἐβάκχευσεν νεκρῶν,
οὓς ἄρτι καίνεις;

757. πομπὴν πέμπετε; Sic cod. et edit. B. Juntæ. In ceteris πομπὴ πέμπεται;

Αν. α'. πῶς;
Αν. β'. πῶς; ῥᾳδίως.
Αν. α'. τί δ'; οὐχὶ πειθαρχεῖν με τοῖς νόμοισι δεῖ;
Αν. β'. ποίοισιν, ὦ δύστηνε;
Αν. α'. τοῖς δεδογμένοις.
Αν. β'. δεδογμένοισιν; ὡς ἀνόητος ἦσθ' ἄρα.
Αν. α'. ἀνόητος;
Αν. β'. οὐ γάρ; ἠλιθιώτατος μὲν οὖν
ἁπαξαπάντων.
Αν. α'. ὅτι τὸ ταττόμενον ποιῶ;
τὸ ταττόμενον γὰρ δεῖ ποιεῖν τὸν σώφρονα
μάλιστα πάντων.
Αν. β'. τὸν μὲν οὖν ἀβέλτερον.
Αν. α'. σὺ δ' οὐ καταθεῖναι διανοεῖ;
Αν. β'. φυλάξομαι,
πρὶν ἄν γ' ἴδω τὸ πλῆθος ὅ τι βουλεύεται.
Αν. α'. τί γὰρ ἄλλο γ', ἢ φέρειν παρεσκευασμένοι
τὰ χρήματ' εἰσίν;
Αν. β'. ἀλλ' ἰδὼν ἂν ἐπιθόμην.
Αν. α'. λέγουσι γοῦν ἐν ταῖς ὁδοῖς.
Αν. β'. λέξουσι γοῦν.
Αν. α'. καὶ φασὶν οἴσειν ἀράμενοι.
Αν. β'. φήσουσι γοῦν.
Αν. α'. ἀπολεῖς ἀπιστῶν πάντ'.
Αν. β'. ἀπιστήσουσι γοῦν.

772. ἀλλ' ἰδὼν ἂν ἐπιθόμην. Solœce vulgo ἀλλ' ἰδὼν ἐπειθόμην. Sæpissime a librariis istæ formæ ἐπιθόμην, ἐπειθόμην male commutatæ, cujus rei exemplum enotatum fuit ad Ran. 1376. aliaque occurrent. Equidem quempiam novi, cui vulgata lectio, nedum vitii suspecta sit, digna visa est, quæ tanquam exemplum proponeretur, ad cujus normam græcus ermo exigi posset: sed μάταιός ἐστι, καὶ φρονῶν οὐδὲν φρενεῖ. Vide notam supra ad v. 255.

773. λέγουσι γοῦν—λέξουσι γοῦν. In repetitione earundem vocum sita est venustas, cujus maxima pars perit, si legas, ut vulgo, λέξουσι γάρ. Postrema hæc particula rursus perperam infertur in trium sequentium versuum fine; quo sententiæ nexu, ostendet qui eam tueri volet.

Αν. α΄. ὁ Ζεύς σέ γ' ἐπιτρίψειεν.
Αν. β΄. ἐπιτρίψουσι γοῦν.
οἴσειν δοκεῖς τιν', ὅστις αὐτῶν νοῦν ἔχει;
οὐ γὰρ πάτριον τοῦτ' ἐστὶν, ἀλλὰ λαμβάνειν
ἡμᾶς μόνον δεῖ, νὴ Δία. καὶ γὰρ οἱ θεοί·
γνώσει δ' ἀπὸ τῶν χειρῶν γε· καὶ τἀγάλματα,
ὅταν γὰρ εὐχώμεσθα διδόναι τἀγαθὰ,
ἕστηκεν ἐκτείνοντα τὴν χεῖρ' ὑπτίαν,
οὐχ ὥστε δώσοντ', ἀλλ' ὅπως τι λήψεται.
Αν. α΄. ὦ δαιμόνι' ἀνδρῶν, σὺ γ' ἔμ' ἔα προὔργου τι δρᾶν.
ταυτὶ γάρ ἐστι συνδετέα. ποῦ μοι 'σθ' ἱμάς;

776. Vulgo sic fertur hic versus uno pede claudus:

ὁ Ζεύς σ' ἐπιτρίψειεν.---ἐπιτρίψει γάρ.

At in cod. et in primariis editt. legitur:

ὁ Ζεύς σ' ἐπιτρίψειεν.---ἐπιτρίψουσι γάρ.

780. Hic versus in Aldino codice mutilus erat; sic legitur in editione principe:

γνώσει δ' ἀπὸ τῶν χειρῶν τε, καὶ

Sinceriore codice usus Bern. Junta integrum versum edidit:

γνώσει δ' ἀπὸ τῶν χειρῶν τε, καὶ τἀγάλματα.

Totidem iisdemque literis scriptus est in Reg. cod. Hanc lectionem repræsentavit Cratander, quam postea imperite mutavit Zanettus, pro τἀγάλματα posito τἀγαλμάτων. Bona lectio rursus prodiit in Parisina Wecheli. Ant. Fracinus et Frobenius mutilum Aldi versum exhibuerunt. Kusterus vero ex Fabro edidit:

γνώσει δ' ἀπὸ τῶν χειρῶν τε καὶ [ἀγαλμάτων].

Satius erat bellis illis editoribus postremam vocem, quam pro spuria habebant, prorsus omittere, quam pravum adeo senarium in Comici textum inferre. καὶ ante ἀγαλμάτων necessario eliditur, et scribendum erat κἀγαλμάτων, quo pacto versus non stetisset. Quæ ad hunc locum commentatus est Faber nauci non sunt, nec Abreschii meminisse quidquam adtinet, qui in Dilucid. Thuc. p. 439. ridicule se torquet, ut pravam Fabri lectionem tueatur. At Kusterum nescio quo nomine appellem, qui alterius lectionis τἀγάλματα notitiam habuerit, nec tamen viderit eam unice veram esse. In codicis scriptura leve vitium est, librariorum solemni errore: τε mutandum in γε. Verba autem sic ordinari et suppleri debent: λαμβάνειν ἡμᾶς μόνον δεῖ. καὶ γὰρ οἱ θεοὶ (μόνον λαμβάνουσι.) γνώσει δὲ (τοῦτο) ἀπὸ τῶν χειρῶν γε (αὐτῶν.) καὶ γὰρ ὅταν εὐχώμεσθα (αὐτοῖς) διδόναι (ἡμῖν) τἀγαθὰ, τὰ ἀγάλματα ἕστηκεν ἐκτείνοντα τὴν χεῖρ' ὑπτίαν—

782. τὴν χεῖρ' ὑπτίαν, idem quod τὴν χεῖρα κοίλην, Thesm. 937.

784. σύ γ' ἔμ' ἔα. In cod. σύ γε ἔα, male omisso pronomine. In impressis minus concinne:

ὦ δαιμόνι' ἀνδρῶν, ἔα με τῶν προὔργου τι δρᾶν.

Mendas primariarum editt. referre nihil adtinet.

785. ποῦ μοι 'σθ' ἱμάς; Vulgo ποῦ μοὐσθ' ἱμάς,

Αν. β′. ὄντως γὰρ οἴσεις;
Αν. α′. ναὶ μὰ Δία, καὶ δὴ μὲν οὖν
τωδὶ ξυνάπτω τὼ τρίποδε.
Αν. β′. τῆς μωρίας;
τὸ μηδὲ περιμείναντα τοὺς ἄλλους ὅ τι
δράσουσιν, εἶτα τηνικαῦτ᾽ ἤδη---
Αν. α′. τί δρᾶν;
Αν. β′. ἐπαναμένειν· ἔπειτα διατρίβειν ἔτι.
Αν. α′. ἵνα δὴ τί;
Αν. β′. σεισμὸς εἰ γένοιτο πολλάκις,
ἢ πῦρ ἀπότροπον, ἢ διάξειεν γαλῆ,
παύσαιντ᾽ ἂν εἰσφέροντες, ὦ ᾽μβρόντητε σύ.
Αν. α′. χαρίεντα γοῦν πάθοιμ᾽ ἄν, εἰ μὴ ᾽χοιμ᾽ ὅποι
ταῦτα καταθείην.
Αν. β′. μὴ γὰρ οὐ λάβοις ὅποι.
θάῤῥει, καταθήσεις, κἂν ἕνην ἔλθῃς.
Αν. α′. τιή;
Αν. β′. ἐγῷδα τούτους χειροτονοῦντας μὲν ταχεῖς·
ἅττ᾽ ἂν δὲ δόξῃ, ταῦτα πάλιν ἀρνουμένους.
Αν. α′. οἴσουσιν, ὦ ᾽τάν.
Αν. β′. ἢν δὲ μὴ κομίσωσι, τί;
Αν. α′. ἀμέλει κομιοῦσι.
Αν. β′. ἢν δὲ μὴ κομίσωσι, τί;
Αν. α′. μαχούμεθ᾽ αὐτοῖς.
Αν. β′. ἢν δὲ κρείττους ὦσι, τί;
Αν. α′. ἄπειμ᾽ ἐάσας.
Αν. β′. ἢν δὲ πωλῶσ᾽ αὐτά, τί;

795. καταθείην. Vulgo καταθείμην.—μὴ γὰρ οὐ λάβοις ὅποι. Vertit Faber: *Cave metuas, fieri non potest quin habeas ubi possis deponere, etiamsi ad ultimum mensis diem veneris.* Quod frigidum est et alienum a Græcorum significatione. Concisa phrasis est et elliptica, sic supplenda: ἀλλὰ δέδοικα μὴ οὐκ ἔχῃς ὅποι λάβοις. *Times ne habeas ubi deponas: at ego tibi timeo*, vel, *time vero potius, ne habeas ubi capere possis.* Dixerat supra idem homo v. 778. ἀλλὰ λαμβάνειν ἡμᾶς μόνον δεῖ.

796. ἕνην. Sic cod. Vulgo ἕνης.

797. ἐγῷδα. Sic cod. Vide ad Thesm. 502.

Αν. α΄. διαῤῥαγείης.
Αν. β΄. ἢν διαῤῥαγῶ δὲ, τί;
Αν. α΄. καλῶς ποιήσεις.
Αν. β΄. σὺ δ' ἐπιθυμήσεις φέρειν;
Αν. α΄. ἔγωγε· καὶ γὰρ τοὺς ἐμαυτοῦ γείτονας
ὁρῶ φέροντας.
Αν. β΄. πάνυ γ' ἂν οὖν Ἀντισθένης
αὔτ' εἰσενέγκοι· πολὺ γὰρ ἐμμελέστερον
πρότερον χέσαι πλεῖν ἢ τριάκονθ' ἡμέρας.
Αν. α΄. οἴμωζε.
Αν. β΄. Καλλίμαχος δ' ὁ χοροδιδάσκαλος
αὐτοῖσιν εἰσοίσει τί πλεῖον Καλλίου;
ὤνθρωπος οὗτος ἀποβαλεῖ τὴν οὐσίαν.
Αν. α΄. δεινά γε λέγεις.
Αν. β΄. τί δεινόν; ὥσπερ οὐχ ὁρῶν
ἀεὶ τοιαῦτα γιγνόμενα ψηφίσματα.
οὐκ οἶσθ' ἐκεῖν', ἅ'δοξε, τὰ περὶ τῶν ἁλῶν;
Αν. α΄. ἔγωγε.
Αν. β΄. τοὺς χαλκοῦς δ' ἐκείνους ἡνίκα
ἐψηφισάμεθ', οὐκ οἶσθα;
Αν. α΄. καὶ κακόν γ' ἐμοὶ
τὸ κόμμ' ἐγένετ' ἐκεῖνο. πωλῶν γὰρ βότρυς,
μεστὴν ἀπῆρα τὴν γνάθον χαλκῶν ἔχων·
κἄπειτ' ἐχώρουν εἰς ἀγορὰν ἐπ' ἄλφιτα.
ἔπειθ' ὑπέχοντος ἄρτι μου τὸν θύλακον,

807. πολὺ γὰρ ἐμμελέστερον (sub ἔσται vel δόξει αὐτῷ) πρότερον χέσαι—Fallitur Berglerus istud χέσαι accipiens pro tertia persona optativi, quum sit infinitivus. Si χέσαι esset optativi modi, oporteret πολύ γ' ἄν, tumque ἐμμελέστερον, sic adverbialiter accipiendum, nullo nexu cum ceteris orationis partibus cohæreret. Præterea forma illa optativi χέσαιμι, χέσαις, χέσαι, Attica non est.

810. τί πλεῖον. Sic cod. et edit. Bern. Juntæ. Male vulgo τί πλείω.

814. ἐκεῖν', ἅ'δοξε, τὰ περὶ τῶν ἁλῶν. Sic bene cod. Duo enim fuisse decreta intelligitur, quorum posteriore prius abrogatum fuit. Vulgo οὔ'δοξε, τὸ—

816. ἐψηφισάμεθ'. Sic cod. et edit. B. Juntæ. In Aldina et aliis exinde ἐψηφισάμεσθ'. Vide not. ad Ran. 300.

ἀνέκραγ' ὁ κήρυξ, ΜΗ ΔΕΧΕΣΘΑΙ ΜΗΔΕΝΑ
ΧΑΛΚΟΥΝ ΤΟΛΟΙΠΟΝ· ΑΡΓΥΡΩ ΓΑΡ
ΧΡΩΜΕΘΑ.

Αν. β'. τὸ δ' ἔναγχος οὐχ ἅπαντες ἡμεῖς ὤμνυμεν,
τάλαντ' ἔσεσθαι πεντακόσια τῇ πόλει
τῆς τετταροκοστῆς, ἣν ἐπόρισ' Εὐριπίδης;
κεὐθὺς κατεχρύσου πᾶς ἀνὴρ Εὐριπίδην·
ὅτε δὴ δ' ἀνασκοπουμένοις ἐφαίνετο
Ο ΔΙΟΣ ΚΟΡΙΝΘΟΣ, καὶ τὸ πρᾶγμ' οὐκ ἤρκεσεν,
πάλιν κατεπίττου πᾶς ἀνὴρ Εὐριπίδην.

Αν. α'. οὐ ταυτὸν, ὦ 'τάν. τότε μὲν ἡμεῖς ἤρχομεν·
νῦν δ' αἱ γυναῖκες.

Αν. β'. ἅς γ' ἐγὼ φυλάξομαι,
νὴ τὸν Ποσειδῶ, μὴ κατουρήσωσί μου.

Αν. α'. οὐκ οἶδ' ὅ τι ληρεῖς. φέρε σὺ τἀνάφορον, ὁ παῖς.

823. τὸ δ' ἔναγχος οὐχ ἅπαντες ἡμεῖς ὤμνυμεν. Sic legitur hic versus in cod. et in edit. B. Juntæ. Immo sic legitur etiam in editione Kusteri, in quam nescio quo casu irrepsit bona lectio. Quin eam a sciente et volente receptam fuisse credam, facit ejus nota: *Placet conjectura Scaligeri, qui versum hunc sic supplet et emendat:*

τί δ'; οὐκ ἔναγχος τοῦθ' ἅπαντες ὤμνυμεν;

Diu mecum quæsivi, quid sibi hæc nota vellet: non enim videbam, quid causæ esset cur aut supplementi aut emendationis indigeret vulgata lectio. Rem altius repetendam esse suspicatus sum. Fabri editionem adii, in qua exstat:

τὸ δ' ἔναγχος οὐχὶ τοῦτο πάντες ὤμνυμεν;

Licet iners mihi τοῦτο videretur, nihil tamen in versu hiulci aut mendosi deprehendebam, aliudque a Scaligero lectum fuisse intellexi. Principem editionem consului, in qua demum versum hunc sic constitutum vidi:

τὸ δ' ἔναγχος οὐχ ἅπαντες ὤμνυμεν;

Aldi lectionem repræsentarunt Fracinus, Cratander, Veneti, Wechelus, Frobenius, Batavi, ita ut nesciam unde sincerum istud ἡμεῖς ab Aldo omissum in Kusteri editionem migrarit. Scaligerum itaque cum suo supplemento valere jubeamus.

825. ἣν ἐπόρισ'. Sic bene cod. a themate πορίζω. Perperam vulgo ἣ 'πόρισ'—

827. ὅτε δὴ δ' ἀνασκοπουμένοις. Sic recte cod. mendose rursus impressi ὅτε δ' ἤδ', ut supra v. 315.—ἐφαίνετο. Cod. ἐμφαίνεται.

828. οὐκ ἤρκεσεν. Perperam Scaliger οὐκ ἤρεσεν. Equit. 524.

καὶ λυδίζων, καὶ ψηνίζων, καὶ βαπτόμενος βατραχείοις
οὐκ ἐξήρκεσεν.

Præterea eo minus necessaria mutatio est, quod ἀρκεῖν et ἀρέσκειν adfinis sint significationis, et *in nonnullis locutionibus permutentur*, ut observat Valckenarius ad Eurip. Hippol. 278.

833. φέρε σὺ τἀνάφορον, ὁ παῖς. Sic bene cod. quod ut reponeretur accedere

Κη. ὦ πάντες ἀστοὶ, νῦν γὰρ οὕτω ταῦτ' ἔχει,
χωρεῖτ', ἐπείγεσθ' εὐθὺ τῆς στρατηγίδος,
ὅπως ἂν ὑμῖν ἡ τύχη κληρουμένοις
φράσῃ καθ' ἕκαστον ἄνδρ', ὅπου δειπνήσετε·
ὡς αἱ τράπεζαί γ' εἰσὶν ἐπινενησμέναι
ἀγαθῶν ἁπάντων, καὶ παρεσκευασμέναι,
κλῖναί τε σισυρῶν καὶ δαπίδων νενησμέναι.
κρατῆρας ἐγκιρνᾶσιν αἱ μυροπώλιδες,
ἱστᾶσί τ' ἐφεξῆς· τὰ τεμάχη ῥιπίζεται,
λαγῷ' ἀναπηγνύασι, πόπανα πέττεται,
στέφανοι πλέκονται, φρύγεται τραγήματα·
χύτρας ἔτνους ἕψουσιν αἱ νεώταται·

necesse non erat codicis auctoritatem. Nam certum est senarium in quarta sede spondeum non admittere. Editt. tamen omnium mendam σοὶ τἀνάφορον non est ullus editor qui subolfecerit. Fabri stuporem non miror: sed Kusteri veternum excitare poterat Suidas, quem ipse laudat, quique ipsi sinceram subministrabat lectionem. Sic enim ille: Ἀνάφορον, ξύλον ἀμφίκοιλον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσιν. Ἀριστοφάνης· φέρε σὺ τἀνάφορον, ὦ παῖ.

836. ὅπως ἂν ὑμῖν. Sic recte Faber edidit, ut sententia flagitat: vulgo legitur ἡμῖν.

838. ἐπινενησμέναι, et mox, νενησμέναι. Vide Nub. 1203. Vulgo ἐπινενασμέναι et νενασμέναι.

841. Vulgo sic legitur hic locus: κρατῆρα συγκιρνᾶσιν αἱ μυροπώλιδες ἱστᾶσ' ἐφεξῆς, quorum absurditatem ostendit Dawesius Misc. Crit. p. 271. Ejus acumini debetur sincera lectio κρατῆρας ἐγκιρνᾶσιν, e qua vides alteram unius literæ mutatione depravatam fuisse, quod quidem ideo contigit, quia voces olim conjunctas male disjunxit librarius aliquis. Scriptum erat ΚΡΑΤΗΡΑ ΣΕΓΚΙΡΝΑΣΙΝ. Litera Σ quæ ad priorem pertinebat, posteriori contributa fuit, quod mutationis Ε in Υ causa fuit. Res est manifesta. Ad eundem fere modum in Pl. v. 707. ἐνεκαλυψάμην mutatum fuerat in συνεκαλυψάμην. Quod sequitur ἱστᾶσ' ἐφεξῆς, id est plene ἱστᾶσαι ἐφεξῆς, minus feliciter ille mutabat in ἱστᾶσας ἐφεξῆς. Ad genuinam lectionem nobis viam aperuit Reg. cod. scriptura, quæ sic habet:

κρατῖνα συγκιρνᾶσιν· αἱ μυροπώλιδες
ἱστασ'. ἐφεξῆς τὰ τεμάχη ῥιπίζεται.

In fine vocis ἱστάσ' superne ad latus literæ σ positum est brevius ι. Et in vocum scriptura et in distinctione mendæ sunt ibi multæ, sed genuinam poëtæ manum facile est inde elicere:

κρατῆρας ἐγκιρνᾶσιν αἱ μυροπώλιδες,
ἱστᾶσί τ' ἐφεξῆς.

Quis non meminit Virgilii canentis?

Crateras magnos statuunt et vina coronant.

Sane crateres et magni et complures esse debebant, in quibus vinum misceretur universo Atheniensi populo. Sagaci Britanno unicus crater merito ridiculus videtur.

844. φρύγεται τραγήματα. Lepida est vulgata lectio φρύγονται τραγήματα, quæ saltem in Kusteriana repeti non

Σμοιὸς δ' ἐν αὐταῖς ἱππικὴν στολὴν ἔχων
τὰ τῶν γυναικῶν διακαθαίρει τρυβλία.
γέρων δὲ χωρεῖ χλανίδα καὶ κονίποδας
ἔχων, καχάζων μεθ' ἑτέρου νεανίου·
ἐμβὰς δὲ κεῖται, καὶ τρίβων ἐῤῥιμμένος.
πρὸς ταῦτα χωρεῖθ', ὡς ὁ τὴν μάζαν φέρων
ἕστηκεν· ἀλλὰ τὰς γνάθους διοίγνυτε.

Αν. β'. οὐκοῦν βαδιοῦμαι δῆτα. τί γὰρ ἕστηκ' ἔχων
ἐνταῦθ', ἐπειδὴ τῇ πόλει ταυτὶ δοκεῖ;
Αν. α'. καὶ ποῖ βαδιεῖ σύ, μὴ καταθεὶς τὴν οὐσίαν;
Αν. β'. ἐπὶ δεῖπνον.
Αν. α'. οὐ δῆτ', ἤν γ' ἐκείναις νοῦς ἐνῇ,
πρίν γ' ἂν ἀπενέγκῃς.
Αν. β'. ἀλλ' ἀποίσω.
Αν. α'. πηνίκα;
Αν. β'. οὐ τοὐμόν, ὦ 'τάν, ἐμποδὼν ἔσται.
Αν. α'. τί δή;
Αν. β'. ἑτέρους ἀποίσειν φήμ' ἔθ' ὑστέρους ἐμοῦ.
Αν. α'. βαδιεῖ δὲ δειπνήσων ὅμως;
Αν. β'. τί γὰρ πάθω;

debebat. Mendam non persensisse videtur Berglerus. In cod. scriptum φρύσσεται. Ran. 510. καὶ τραγήματα ἔφρυγε.

846. Smœus iste erat αἰσχροποιὸς εἰς τὰς γυναῖκας, ut ait Scholiastes, qualis et Ariphrades, de quo similiter in Pace 885.

τὸν ζωμὸν αὐτῆς προσπεσὼν ἐκλάψεται.

BERGLER.

Per τὰ τρυβλία innuitur τὰ αἰδοῖα. Smœus autem inter equites meruerat, aut huic militiæ nomen suum dederat, in quam forte acceptus non fuerat, ideo mentione ἱππικῆς στολῆς eum notat Comicus.

848. κονίποδας. Perperam vulgo κονίποδα. Calceamenti levis genus quoddam κονίποδες.

849. καχάζων. Sic bene cod. Vulgo corrupto metro καγχάζων. Illud reponendum esse jam monuerat Piersonus ad Mœrin p. 215.

854. ἐπειδὴ τῇ πόλει ταυτὶ δοκεῖ. Sic cod. In impressis ἐπειδὴ ταῦτα τῇ πόλει δοκεῖ.

855. Præco, seu, si mavis, Præconissa, postquam cives ad epulum convocavit, partes suas absolvit, nec ulla causa est cur in scena moretur: abit igitur proclamatione facta. Perquam absurde vulgo quæ sunt hominis probi, isti Præconi tribuuntur, quo pacto perit omnis hujus diverbii lepor.

857. πρίν γ' ἂν ἀπενέγκῃς. Sic recte cod. Perperam in impressis cum versus ruina omissa est particula ἂν, quæ fere semper apud Comicum πρὶν comi-

τὰ δυνατὰ γὰρ δεῖ τῇ πόλει ξυλλαμβάνειν
τοὺς εὖ φρονοῦντας.
Αν. α΄. ἢν δὲ κωλύσωσι, τί;
Αν. β΄. ὁμόσ᾽ εἶμι κύψας.
Αν. α΄. ἢν δὲ μαστιγῶσι, τί;
Αν. β΄. καλούμεθ᾽ αὐτάς.
Αν. α΄. ἢν δὲ καταγελῶσι, τί;
Αν. β΄. ἐπὶ ταῖς θύραις ἑστὼς---
Αν. α΄. τί δράσεις; εἰπ᾽ ἐμοί.
Αν. β΄. τῶν εἰσφερόντων ἁρπάσομαι τὰ σιτία.
Αν. α΄. βάδιζε τοίνυν ὕστερος· σὺ δ᾽, ὦ Σίμων,
καὶ Παρμένων, αἴρεσθε τὴν παμπησίαν.
Αν. β΄. φέρε νυν ἐγώ σοι ξυμφέρω.
Αν. α΄. σύ; μηδαμῶς.
δέδοικα γὰρ μὴ καὶ παρὰ τῇ στρατηγίδι,
ὅταν κατατιθῶ, προσποιῇ τῶν χρημάτων.
Αν. β΄. νὴ τὸν Δία, δεῖ γοῦν μηχανήματός τινος,
ὅπως τὰ μὲν ὄντα χρήμαθ᾽ ἕξω, τοῖσδε δὲ
τῶν ματτομένων κοινῇ μεθέξω πως ἐγώ.
ὀρθῶς ἔμοιγε φαίνεται· βαδιστέον

tatur cum subjunctivo constructum. Vide not. ad Lys. 1005. In primariis editt. πρίν γ᾽ ἀπινείκης. ἀλλ᾽ ἀποίσω.—πηνίκα; Sic recte cod. Perperam in impressis ὁπηνίκα;

867. ὦ Σίμων. Sic recte cod. Frequens in Comœdia nomen. Perperam in impressis Σίκων.

868. παμπησίαν. τὴν πᾶσαν κτῆσιν. πᾶσαν τὴν ὕπαρξιν. Huc respexit Pollux p. 1154. Sed παμπησία, non minus quam παγκληρία vox est tragica, et sermone vulgi haud frequentata. Talibus cum in aliis fabulis, tum in hac maxime, multis utitur Comicus. Æschylus S. Theb. 819.

διέλαχον σφυρηλάτῳ
Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν.

Euripides Ione 1316.

ἔσ᾽ ἀσπὶς, ἔγχος θ᾽, ἥδε σοι παμπησία.

869. σύ; μηδαμῶς. Sic optime cod. In impressis μὴ, μηδαμῶς.

870. παρὰ τῇ στρατηγίδι. Supra 835. ἐπείγεσθ᾽ εὐθὺ τῆς στρατηγίδος. Hoc substantivo augeantur lexica, in quibus στρατηγὶς reperitur quidem, sed tantum adjective. Scribere poterat v. 491. Comicus, ὅθεν περ ἡ στρατηγὶς ἔσθ᾽—et v. 500. ὡς τήνδε καὶ δὴ τὴν στρατηγίδ᾽ ἡμῶν χωροῦσαν ὁρῶμεν. Sed iis in locis æque bene dixit στρατηγὸς et στρατηγόν. Sic Thesm. 432. ἡ γραμματεὺς, ad quem modum tot substantiva masculina de feminis adhibentur, adeo ut mirer illud Pollucem tanquam rarum quid et insolitum enotasse. Vide notam ad eum locum.

ὁμόσ' ἐστι δειπνήσοντα, κοὐ μελλητέον.
Χο. (λείπει ἡ τοῦ Χοροῦ ᾠδή.)

ΓΡΑΕΣ ΤΙΝΕΣ, ΝΕΑΝΙΣ, ΝΕΑΝΙΑΣ, ΘΕΡΑΠΑΙΝΑ, ΔΕΣΠΟΤΗΣ, ΧΟΡΟΣ.

Γρ. α'. ΤΙ ποτ' ἄνδρες οὐχ ἥκουσιν; ὥρα δ' ἦν πάλαι·
ἐγὼ δὲ καταπεπλασμένη ψιμυθίῳ
ἕστηκα καὶ κροκωτὸν ἠμφιεσμένη,
ἀργὸς, μινυρομένη τι πρὸς ἐμαυτὴν μέλος,
παίζουσ', ὅπως ἂν περιλάβοιμ' αὐτῶν τινὰ
παριόντα. Μοῦσαι, δεῦρ' ἴτ' ἐπὶ τοὐμὸν στόμα,
μελύδριον εὑροῦσαί τι τῶν Ἰωνικῶν.
Νε. νῦν μέν με παρακύψασα προὔφθης, ὦ σαπρά.
ᾤου δ' ἐρήμας, οὐ παρούσης ἐνθαδὶ
ἐμοῦ, τρυγήσειν, καὶ προσάξεσθαι τινὰ,
ᾄδουσ'· ἐγὼ δ', ἢν τοῦτο δρᾷς, ἀντᾄσομαι.
κεἰ γὰρ δι' ὄχλου τοῦτ' ἐστὶ τοῖς θεωμένοις,
ὅμως ἔχει τερπνόν τι, καὶ κωμῳδικόν.
Γρ. α'. τούτῳ διαλέγου, κἀπιχώρησον· σὺ δὲ

880. μινύρομαι secundam producit, quæ in μινυρίζω corripitur. Illud forma tantum media adhibetur, hoc activa. Sic differunt μαρτύρομαι et μαρτυρέω, quod Clarkio observatum ad Ἰλ. α'. 338.

881. περιλάβοιμ'. In cod. παραλάβοιμ'.

884. Perperam hæc vulgo alii anui tribuuntur, quæ puellæ esse vere censuit Berglerus. In faceto hoc anuum, puellæ et adolescentis congressu personæ vulgo absurdissime notatæ. Eas ego clarius distinxi, et ad fabulæ œconomiam loquendi vices eis divisi, quod hic semel tantum moneo.

885. ἐνθαδί. Vulgo ἐνθάδε. Illud magis est Atticum, hicque reponi debuit ad vitandum ingratum hiatum ob concursum ejusdem vocalis. ἐνθαδὶ ἐμοῦ aures suavius accidit, quam ἐνθάδε ἐμοῦ. Nihil minutum est eorum quæ ad venustatem conferunt; nec scio an sæpius quam par erat ejusmodi minutias neglexerim.

887. ἢν τοῦτο δρᾷς, ἀντᾄσομαι. In primariis editt. literis male disjunctis, δράσαντ' ᾄσομαι. In cod. ἢν τοῦτο δράσῃς ᾄσομαι.

890. κἀπιχώρησον. Sic libri. Anus puellæ senem quemdam ostendit, eique dicit: *Cum hoc sene colloquere et ei permitte, seu, copiam fac tui.* Quia lege cautum fuerat ne formosæ puellæ adolescentem ullum admitterent, antequam seni alicui gratificatæ fuerint. Vide supra 705. Suspecta tamen est hæc scriptura, et cum Fabro malim κἀποχώρησον. Intelligenda phrasis tanquam si scriptum esset: ἀποχωρήσασα τούτῳ

φιλοττάριον αὐλητὰ, τοὺς αὐλοὺς λαβὼν,
ἄξιον ἐμοῦ καὶ σοῦ προσαύλησον μέλος.
εἴ τις ἀγαθὸν βούλεται
παθεῖν τι, παρ' ἐμοὶ χρὴ καθεύδειν.
οὐ γὰρ ἐν νέαις τὸ σοφὸν ἔν-
εστιν, ἀλλ' ἐν ταῖς πεπείροις·
οὐδέ τις στέργειν ἂν ἐθέλοι
μᾶλλον ἢ 'γὼ τὸν φίλον,
ᾧπερ ξυνείην· ἀλλ' ἐφ' ἕτερον ἂν πέτοιτο.
Νε. μὴ φθόνει ταῖσιν νέαισι.
τὸ τρυφερὸν γὰρ ἐμπέφυκε
τοῖσιν ἀπαλοῖς μηρίοισι,
κἀπὶ τοῖς μήλοις ἐπανθεῖ·
σὺ δ', ὦ γραῦ, παραλέλεξαι, κἀντέτριψαι, τῷ
θανάτῳ μέλημα.
Γρ. α'. ἐκπέσοι σου τὸ τρῆμα,
τό τ' ἐπίκλιντρον ἀποβάλοις,
βουλομένη σποδεῖσθαι,
κἀπὶ τῆς κλίνης ὄφιν εὕροις,
καὶ προσελκύσαιο βουλομένη φιλῆσαι.

διαλέγου. Schema est quod vocant πρωθύστερον. Eaque ratione bene hic διαλεχθῆναι eo sensu accipietur, quem in Pl. vers. 1082. minus probavi. *Abscede hinc et cum hoc seniculo rem habe.*

896. Versus hic est dimeter trochaicus, cujus corrupti sunt numeri: scribendum,

εστιν, ἀλλ' ἐν ταῖς πεπείροις.

In cod. scriptum ἐν ταῖς ἐμπείροις, ad sensum non male, sed reclamante metro. ἐμπείροις glossema est.

900. ταῖσιν νέαισι. Sic ob metrum scribendum: est enim hic versus etiam trochaicus. Vulgo ταῖσι.

902. Mendose vulgo legitur τοῖς ἀπαλοῖς μηρίοις: in cod. μηροῖς. Versus est dimeter trochaicus.

906. Anus istæ imprecationes subobscuræ sunt, quibus luminis adtulit quantum potuit Bisetus. Quemadmodum ille, per τὸ τρῆμα intelligo τὸ αἰδοῖον: hoc enim puellis etiam accidit, quarum labefactata valetudo: ἐπίκλιντρον pars est lecti, ad quam pulvinum ponebant sustinendo capiti, qua de re vide Salmasium ad H. A. p. 63. cetera sensu naturali accipio: *et anguem pro mentula in lecto reperias.*

910. προσελκύσαιο. Perperam in cod. προσελκύσαις. Literam σ ad hunc modum pingebant veteres C, inde contigit ut C et O sæpissime commutarentur. In Ran. 437. observavimus αἴροις pro αἴροιο: in Pl. 1140. ὑφέλοις pro ὑφέλοιο.

Νε. αἶ, αἶ· τί ποτε πείσομαι; οὐχ ἥκει μοι ταῦρος·
μόνη δ' αὐτοῦ λείπομαι·
ἡ γάρ μοι μήτηρ ἄλλῃ βέβηκε,
καὶ τἄλλ' οὐδὲν μετὰ ταῦτα.
ἀλλ', ὦ μαῖ', ἱκετεύω,
κάλει τὸν Ὀρθαγόραν, οὕτως
σαυτῆς κατόναι', ἀντιβολῶ σε.
Γρ. α'. ἤδη τὸν ἀπ' Ἰωνίας
τρόπον, τάλαινα, κνησιᾷς·
δοκεῖς δ' ἐμοὶ καὶ λάβδα κατὰ τοὺς Λεσβίους.
ἀλλ' οὐκ ἄν ποθ' ὑφαρπάσαιο
τἀμὰ παίγνια· τὴν δ' ἐμὴν
ὥραν οὐκ ἀπολεῖς, οὐδ' ἀπολήψει.
Νε. ᾆδ' ὁπόσα βούλει, καὶ παράκυψον, ὡς γαλῆ.
οὐδεὶς γὰρ ὡς σὲ πρότερον εἴσεισ' ἀντ' ἐμοῦ.
Γρ. α'. οὔκουν ἐπ' ἐκφοράν γε.
Νε. καινόν γ', ὦ σαπρά.
Γρ. α'. οὐ δῆτα.
Νε. τί γὰρ ἂν γραῦς καπρῶσά τις λέγοι;

911. *πείσομαι.* In cod. *πειράσομαι.*— *οὐχ ἥκει μοι ταῦρος.* Inepte vulgo *οὐχ ἥκει μου τοὖρος*, quod Faber vertit, *non venit mihi urina.* Miseret me puellæ *δυσουρίᾳ* laborantis; nec tamen scio quid sit *τοὖρος*: saltem scripsisset *τοὖρον.* Quid in re venerea *ταῦρος* significet, ipse ostendit Comicus hoc versu, qui est in Lys. 217.

εἴκοι δ' ἀταυρώτη διάξω τὸν βίον.

Qui plura cupiet, Valckenarium consulat ad Ammonium p. 40.

914. *καὶ τἄλλ' οὐδὲν μετὰ ταῦτα.* Hæc est scriptura cod. In edit. B. Juntæ additæ sunt duæ voces *δεῖ λέγειν*: in ceteris vero sic legitur hic versus:

καὶ τἄλλ' οὐδέν με ταῦτα δεῖ λέγειν.

Sincerum est *μετὰ ταῦτα*, quo admisso, duarum vocum additamentum sponte sua resecari se patitur.

916. *τὸν ὀρθαγόραν.* Vide Hesychii interpretes ad glossas Ὀρθάνης, ὀρθαγορίσκος—*οὕτως σαυτῆς κατόναι'.* Sic legendum est, quod vidit etiam Faber. Perperam vulgo *ὅπως.* In Thesm. 469. *οὕτως ὀναίμην τῶν τέκνων.*

919. *κνησιᾷς, pruris.* Ejusdem originis sunt *κατακέκνησμαι* et *κνησμὸς* in Pl. 973.

920. *δοκεῖς δ' ἐμοὶ καὶ τοὺς ἄνδρας λεσβίσουσα.* Vide Vesp. 1346. et not. ad Ran. 1308.

924. *παράκυψον ὡς γαλῆ.* Mendose in impressis: *παράκυφ' ὥσπερ γαλῆ.* In cod. et in edit. B. Juntæ *παράκυφ' ὡς γαλῆ.* Inde facile fuit sinceram lectionem restituere.

927. Vulgo legitur: *τί γὰρ ἂν γραῦς τάλαινά τις λέγοι;* Frigidum est istud *τάλαινα*, quod nec genuinum esse vide-

Γρ. α΄. οὐ τοὐμὸν ὀδυνήσει σε γῆρας.
Νε. ἀλλὰ τί;
ἡ ᾿γχουσα μᾶλλον, καὶ τὸ σὸν ψιμύθιον;
Γρ. α΄. τί μοι διαλέγει;
Νε. σὺ δὲ τί διακύπτεις;
Γρ. α΄. ἐγώ;
ᾄδω πρὸς ἐμαυτὴν Ἐπιγένει τῷ ᾿μῷ φίλῳ.
Νε. σοὶ γὰρ φίλος τις ἐστὶν ἄλλος, ἢ Γέρης;
Γρ. α΄. δείξει γε καὶ σοί. τάχα γὰρ εἶσιν ὡς ἐμέ.
ὁδὶ γὰρ αὐτός ἐστιν.
Νε. οὐ σοῦ γ᾽, ὦ ᾿λεθρε,
δεόμενος οὐδέν.
Γρ. α΄. νὴ Δί᾽, ὦ φθίνυλλα σύ.
Νε. δείξει τάχ᾽ αὐτὸς, ὡς ἔγωγ᾽ ἀπέρχομαι.
Γρ. α΄. κᾄγωγ᾽, ἵνα γνῷς ὡς πολύ σου μεῖζον φρονῶ.
Νε. εἴθ᾽ ἐξῆν παρὰ τῇ νέᾳ καθεύδειν,
καὶ μηδὲν πρότερον διασποδῆσαι
ἀνάσιμον ἢ πρεσβύτερον. οὐ γὰρ ἀνασχετὸν
τοῦτό γ᾽ ἐλευθέρῳ.
Γρ. β΄. οἰμώζων ἄρα, νὴ Δία, σποδήσεις.
οὐ γὰρ τἀπὶ Χαριξένης τάδ᾽ ἐστίν.
κατὰ τὸν νόμον ταῦτα ποιεῖν
ἔστιν δίκαιον, εἴ γε δημοκρατούμεθα.
ἀλλ᾽ εἶμι τηρήσουσ᾽, ὅ τι καὶ δράσει ποτέ.

tur; illud enim non agnoscit cod. in quo scriptum, *τί γὰρ ἂν γραῦς μαινάς τις λέγοι*; Mulierem libidine in furorem actam *μαινάδα* non raro appellant poëtæ. Sed etiamsi soccus appellationem hanc admitteret, metrum hic repugnat. *καπρῶσα* substitui e Nostro, in Pluto v. 1024.

ἀλλ᾽ ἠπίστατο
γραὸς καπρώσης τὰφόδια κατεσθίειν.

932. *Γέρης*. Schol. *φαλακρὸς οὗτος καὶ πένης.*

942. Hesych. *ἐπὶ Χαριξένης. ἐπὶ μωρίᾳ ἡ Χαριξένη διεβεβόητο, ἀρχαία οὖσα. ἔνιοι δὲ καὶ ποιήτριαν αὐτὴν ἐρωτικῶν λέγουσιν. ἔστι δὲ καὶ παροιμία. οἷα τὰ ἐπὶ Χαριξένης.*

945. Hic versus senarius est, cujus vulgo soluti sunt numeri; sic in impressis fertur:

ἐστὶ δίκαιον, εἰ δημοκρατούμεθα.

In cod. est *εἴπερ δημ᾽*—et sensus et metrum *εἴ γε* flagitant.

Νε. εἴθ', ὦ θεοὶ, λάβοιμι τὴν καλὴν μόνην,
ἐφ' ἣν πεπωκὼς ἔρχομαι ποθῶν πάλαι.
Νε. ἐξηπάτησα τὸ κατάρατον γρᾴδιον·
φρούδη γάρ ἐστιν, οἰομένη μ' ἔνδον μένειν.
Γρ. α'. ἀλλ' οὑτοσὶ γὰρ αὐτὸς, οὗ μεμνήμεθα.
δεῦρο δὴ, δεῦρο δὴ, φίλον ἐμὸν, δεῦρό μοι
προσελθὲ, καὶ ξύνευνός μοι
τὴν εὐφρόνην ὅπως ἔσει. πάνυ γάρ τις ἔρως με δονεῖ
τῶνδε τῶν σῶν βοστρύχων.
ἄτοπος δ' ἔγκειταί μοί τις πόθος,
ὅς με διακναίσας ἔχει.
μέθες, ἱκνοῦμαί σ', Ἔρως, καὶ ποίησον τόνδ' ἐς εὐνὴν
τὴν ἐμὴν ἱκέσθαι.
Νε. δεῦρο δὴ, δεῦρο δὴ καὶ σύ μοι
καταδραμοῦσα τὴν θύραν ἄνοιξον
τήνδ'· εἰ δὲ μὴ, καταπεσὼν κείσομαι.
φίλον, ἀλλ' ἐν τῷ σῷ βούλομαι κόλπῳ
πληκτίζεσθαι μετὰ τῆς σῆς πυγῆς.
Κύπρι, τί μ' ἐκμαίνεις ἐπὶ ταύτῃ;
μέθες, ἱκνοῦμαί σ', Ἔρως, καὶ ποίησον τήνδ' ἐς εὐνὴν
τὴν ἐμὴν ἱκέσθαι.
καὶ ταῦτα μέν μοι μετρίως
πρὸς τὴν ἐμὴν ἀνάγκην εἰρημέν' ἐστί· σὺ δ' ἐμοὶ,
φίλτατον, ὦ ἱκετεύω,
ἄνοιξον, ἀσπάζου με· διά τοι σὲ πόνους ἔχω.
ὦ χρυσοδαίδαλτον ἐμὸν μέλημα,

948. ἔρχομαι ποθῶν πάλαι. In cod. ποθῶν πάλιν. Vulgo inversus est ordo vocum: ἔρχομαι πάλαι ποθῶν.

952. φίλον ἐμόν. Cod. φίλον ἐμοί.

954. τὴν εὐφρόνην. Sic cod. Inepte vulgo τὴν εὐφροσύνην. Illud reponendum esse vidit Berglerus.

962. Theocritus in simili παρακλαυσιθύρῳ ᾠδῇ, Idyll. iii. 54. κεισεῦμαι δὲ πεσών.

963. ἐν τῷ σῷ. Sic cod. Vulgo articulus omissus.

971. ἀσπάζου με. Sic bene cod. Vulgo ἀσπάζου τε. Vide infra 975.

972. χρυσοδαίδαλτον. Ut recte edidit B. Junta. Vulgo χρυσοδαίδαλον, quam scripturam adfirmat Suidas in δαίδαλον, ubi hunc locum profert. Mendose in Aldi edit. excusum χρυσοδαίδαλμον. Eurip. Iphig. A. 219. καλλίστους εἰδόμαν χρυσοδαιδάλτους στομίοι-

Κύπριδος ἔρνος, μέλιττα Μούσης, Χαρίτων θρέμμα,
Τρυφῆς πρόσωπον,
ἄνοιξον, ἀσπάζου με, διά τοι σὲ πόνους ἔχω.
Γρ. α΄. οὗτος, τί κόπτεις; μῶν ἐμὲ ζητεῖς;
Νε. πόθεν;
Γρ. α΄. καὶ τὴν θύραν γ᾽ ἤραττες.
Νε. ἀποθάνοιμ᾽ ἄρα.
Γρ. α΄. τοῦ δὲ σὺ δεόμενος δᾷδ᾽ ἔχων ἐλήλυθας;
Νε. Ἀναφλύστιον ζητῶν τιν᾽ ἄνθρωπον.
Γρ. α΄. τίνα;
Νε. αὐτήν σε κινοῦνθ᾽, ὃν σὺ προσδοκᾷς ἴσως.
Γρ. α΄. νὴ τὴν Ἀφροδίτην, ἤν τε βούλῃ γ᾽, ἤν τε μή.
Νε. ἀλλ᾽ οὐχὶ νυνὶ τὰς ὑπερεξηκοντέτεις
ἐσάγομεν, ἀλλ᾽ ἐσαῦτις ἀναβεβλήμεθα.
τὰς ἐντὸς εἴκοσιν γὰρ ἐκδικάζομεν.
Γρ. α΄. ἐπὶ τῆς πρότερον ἀρχῆς γε ταῦτ᾽ ἦν, ὦ γλύκων·
νυνὶ δὲ πρῶτον εἰσάγειν ἡμᾶς δοκεῖ.
Νε. τῷ βουλομένῳ γε, κατὰ τὸν ἐν πεττοῖς νόμον.

σε πόνους. Metri lex omnino hic requirit χρυσοδαίδαλτον. Versus est antispasticus trimeter catal. seu hendecasyllabus phalæcius, qui in secundo pede titubaret, si legeretur χρυσοδαίδαλον. Sic eum dimetiri oportet:

ω χρυσοδαι | δαλτον εμον | μελημα.

Pes secundus est choriambus, qui antispasto ἰσόχρονος est, quemque hoc metrum admittit. δαλον εμον quinque tantum constat temporibus, ac proinde metrum pessumdat.

976. πόθεν; Vide ad Ran. 1455.

978. τοῦ δὲ σὺ δεόμενος. In cod. et in edit. B. Juntæ, τοῦ δὲ δεόμενος. Vulgo τοῦ δαὶ δεόμενος.

979. Ἀναφλύστιον. Vide ad Ran. 426.

980. αὐτήν σε κινοῦνθ᾽—Sic cod. Vulgo βινοῦνθ᾽, quod perinde est. Vide supra ad v. 468.

984. τὰς ἐντὸς εἴκοσιν γὰρ ἐκδικάζομεν. Allegorice. Loquitur enim quasi de litibus forensibus, et intelligit ætates mulierum. Hoc Scholiastes breviter: ἀπὸ τῶν δικῶν. ἔλεγον γὰρ ἀεί· τὰ πρὸ τόσων ἐτῶν δικάζομεν. Nempe quum Athenis non tantum lites domesticæ, sive ipsorum Atheniensium, dijudicarentur, verum etiam exterorum, quicunque Atheniensium imperio erant subjecti, ita obruebantur multitudine negotiorum, ut uno tempore non possent omnes lites cognoscere, sed multas differrent in aliud tempus, deinde in aliud. BERGLERUS.

985. ἐπὶ τῆς πρότερον ἀρχῆς. Sic cod. Vulgo προτέρας.

987. κατὰ τὸν ἐν πεττοῖς νόμον. Sic optime cod. In impressis ἐν Παιτοῖς. Vetus est menda, cujus hæc fertur in scholiis interpretatio: Παιτοί. ἔθνος μέν ἐστι Θρᾳκικόν. ἔπαιζε δὲ Παιτοῖς, παρὰ τὸ παίειν. Sic scholion legendum videtur; sed totum ineptum est. De

Γρ. α'. ἀλλ' οὐδὲ δειπνεῖς κατὰ τὸν ἐν πεττοῖς νόμον.
Νε. οὐκ οἶδ' ὅ τι λέγεις. τήνδε δή μοι κρουστέον.
Γρ. α'. ὅταν γε κρούσῃς τὴν ἐμὴν πρῶτον θύραν.
Νε. ἀλλ' οὐχὶ νυνὶ κρησέραν αἰτούμεθα.
Γρ. β'. οἶδ' ὅτι φιλοῦμαι· νῦν δὲ θαυμάζεις, ὅτι
θύραισί μ' εὗρες· ἀλλὰ πρόσαγε τὸ στόμα.
Νε. ἀλλ', ὦ μέλ', ὀῤῥωδῶ τὸν ἐραστήν σου.
Γρ. β'. τίνα;
Νε. τὸν τῶν γραφέων ἄριστον.
Γρ. β'. οὗτος δ' ἔστι τίς;
Νε. ὃς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθους.

calculorum, seu *latronum*, quos Græci πισσὰ, πεττοὺς vocant, ludo, seu de πεττείᾳ videndus Jo. Meursius in *Græcia ludibunda.* πεττείαν cum κυβείᾳ aliquoties confudisse Grammaticos vere observat, quod etiam auctori Etymol. M. contigit, cujus notam hic adponam, non prout vulgo fertur, sed suppletam ex *Ori Thebani* Etymologico Ms. ad quod vulgatum contulit familiaris meus, atque in Regia Academia socius, eruditissimus LARCHERUS, qui mihi observationes suas in Etymol. M. dedit, iisque, pro eo quo me amplectitur amore, ut tanquam meis uterer permisit: quas si, ut fert animus, cum eruditis aliquando communicavero,

πλήν γ' ἑνὸς ἂν οὐδεὶς ἐνδίκως μέμψαιτό μοι.

Scilicet gratum id non accidet nupero commentatori, qui Sophoclem illotis manibus attrectavit: hujus ineptias bene multas in Observationibus illis confutat optimus LARCHERUS. En autem locum Etymologici. Πισσοὶ, βόλια κυβιστῶν, πισσὰ, ὁμωνύμως ἥ τε γραμμὴ, καὶ ὁ ψῆφος. πέντε δὲ ἦσαν, οἷς ἐχρῶντο, κατὰ Σοφοκλέα·

καὶ πισσὰ πεντάγραμμα, καὶ κύβων βολαί.

καὶ τάχα ἡ πεττεία, οἱονεὶ πεντεία τις οὖσα. ἐπὶ δὲ τῶν πέντε γραμμῶν τὰς ψήφους ἐτίθεσαν, ὧν ἡ μέση Γραμμὴ Ἱερὰ ἐκαλεῖτο. εὗρε δὲ αὐτὴν Παλαμήδης, ὡς εἴρηται ἐν ἡρωϊκῷ στίχῳ παλαιῷ γραμμάτων τριάκοντα ἕξ, πρὸς τοὺς τόπους οὓς ἔχει τὸ Παλαμήδειον ἀβάκιον·

εὗρε σοφὸς λιμοῦ με παραιφασίην Παλαμήδης.

ἔστι πίτω, ὃ σημαίνει τὸ καταπίπτω· ὁ μέλλων πίσω. ἐξ αὐτοῦ ὄνομα πισσὸς, ὁ πίπτων ἐν τῷ βάλλεσθαι, καὶ τροπῇ, πεττός. καὶ πεττεύειν, τὸ μεταφέρειν τὴν ψῆφον· ἀπὸ τῶν πεττῶν, τουτέστι τῶν κύβων. πεττεύειν δὲ καὶ τὸ ταβλίζειν. γίνεται δὲ ἀπὸ τοῦ πεττὸς, πεττεύω· δηλοῖ δὲ τὸ μετατιθέναι τὴν ψῆφον, καὶ παίζειν. Si in abaco quadrilatero, qualia sunt nostra ζατρίκια, (gallicum nomen *trictrac* a græco barbaro ζατρίκιον originem ducere videtur.) quinque lineas transversas, totidemque perpendiculares ducas, areolæ efficientur XXXVI. quot numero sunt literæ in illo heroico versu. Etymologi errores, de calculorum jactu, tanquam si tesseræ aut tali essent, loquentis, ostendit Meursius. Confer Salmasium ad H. A. p. 459. seqq.

988. Hic versus in cod. omissus. ratio ob oculos posita.

993. θύραισι. Cod. θύρῃσι.

994. ὦ μέλ' ὀῤῥωδῶ. Sic recte cod. Perperam vulgo ὦ μελὲ ὀῤῥωδῶ. Vide not. ad Lys. 56.

ἀλλ' ἄπιθ', ὅπως μή σ' ἐπὶ θύραισιν ὄψεται.
Γρ. β'. οἶδ', οἶδ' ὅ τι βούλει.
Νε. καὶ γὰρ ἐγώ σε, νὴ Δία.
Γρ. β'. μὰ την 'Αφροδίτην, ἥ μ' ἔλαχεν κληρουμένη,
μὴ 'γώ σ' ἀφήσω.
Νε. παραφρονεῖς, ὦ γρᾴδιον.
Γρ. β'. ληρεῖς· ἐγὼ δ' ἄξω σ' ἐπὶ τἀμὰ στρώματα.
Νε. τί δῆτα κρεάγρας τοῖς κάδοις ὠνοίμεθ' ἄν,
ἐξὸν, καθέντα γρᾴδιον τοιουτονὶ,
ἐκ τῶν φρεάτων τοὺς κάδους ξυλλαμβάνειν;
Γρ. β'. μὴ σκῶπτέ μ', ὦ τάλαν, ἀλλ' ἕπου δεῦρ' ὡς ἐμέ.
Νε. ἀλλ' οὐκ ἀνάγκη μοι 'στὶν, εἰ μὴ τῶν ἐτῶν
τὴν πεντακοσιοστὴν κατέθηκας τῇ πόλει.
Γρ. β'. νὴ τὴν 'Αφροδίτην, δεῖ γε μέντοι. ὡς ἐγὼ
τοῖς τηλικούτοις ξυγκαθεύδουσ' ἥδομαι.
Νε. ἐγὼ δὲ ταῖς γε τηλικαύταις ἄχθομαι,
κοὐκ ἂν πιθοίμην οὐδέποτ'.

998. οἶδ', οἶδ' ὅ τι βούλει. Sic recte cod. et editt. primariæ. Perperam in recentioribus alterum οἶδ' omissum, cum versus labe. Sic sæpe peccatum fuit. Vide ad Lys. 524. 831. Thesm. 630. 689. 768, 1194. 1226. Ran. 1001.

999. ἥ μ' ἔλαχεν. Sic ob metrum scribi debuit. Perperam vulgo ἔλαχε.

1000. μὴ 'γώ σ' ἀφήσω. Vetans μὴ positum est hic pro negante οὐ, quod non fert harum particularum indoles. Infra 1075. recte legitur, ἀλλ' οὐκ ἀφήσω σ' οὐδέποτ'. Rursus v. 1085. ἀλλ' οὐκ ἀφήσω μὰ Δία σ'. Sic Ranis 513. οὐ γάρ σ' ἀφήσω. Et sic semper in simili formula. Alter tamen succurrit locus, ubi itidem μὴ pro οὐ positum: est in Lys. 917.

μὰ τὸν 'Απόλλω, μή σ' ἐγὼ,
καίπερ τοιοῦτον ὄντα, κατακλινῶ χαμαί.

Sed et ille locus et hic depravatus est. Scribendum in Lysistrata:

μὰ τὸν 'Απόλλω, οὐ μή σ' ἐγὼ—

Sic Ranis 508.

μὰ τὸν 'Απόλλω, οὐ μή σ' ἐγὼ
περιόψομ' ἀπελθόντ'—

Hic vero οὐ μή σ' ἀφήσω. Quis enim desiderare possit inutile pronomen ἐγώ? at μή σ' ἀφήσω, pro οὐ σ' ἀφήσω, vix me continere queo, quin solœcum esse pronuntiem.

1004. ἐκ τῶν φρεάτων. Quum apud Homerum aliosque poëtas legere meminissem φρέατα correpta media, mendam hic subesse primo arbitratus fueram, excudique feceram ἐκ τῶν γε φρεάτων. Postea vero intellexi perperam me istud γε infersisse, quod eo abire jussi, unde malum intulerat pedem. Atticis poëtis media in φρέατος longa est, ut in κόβαλος, φλύαρος infinitisque aliis, quod ostendit dimeter hic trochaicus in Pace 578.

τῷ φρέατι τῶν σ' ἐλαῶν.

1006. εἰ μὴ τῶν ἐτῶν. Male scriptum εἰ μὴ τῶν ἐμῶν.

Γρ. β'. ἀλλὰ, νὴ Δία,
ἀναγκάσει τουτί σε.
Νε. τοῦτο δ' ἔστι τί;
Γρ. β'. ψήφισμα, καθ' ὅ σε δεῖ βαδίζειν ὡς ἐμέ.
Νε. λέγ' αὐτὸ, τί ποτε κἄστι.
Γρ. β'. καὶ δή σοι λέγω.
Ἔδοξε ταῖς γυναιξὶν, ἢν ἀνὴρ νέος
νέας ἐπιθυμῇ, μὴ σποδεῖν αὐτὴν, πρὶν ἂν
τὴν γραῦν προκρούσῃ πρῶτον· ἢν δὲ μὴ θέλῃ
πρότερον προκρούειν, ἀλλ' ἐπιθυμῇ τῆς νέας,
ταῖς πρεσβυτέραις γυναιξὶν ἔστω τὸν νέον
ἕλκειν ἀνατεὶ, λαβομένας τοῦ παττάλου.
Νε. οἴμοι· Προκρούστης τήμερον γενήσομαι.
Γρ. β'. τοῖς γὰρ νόμοις τοῖς ἡμετέροισι πειστέον.
Νε. τί δ', ἢν ἀφαιρῆταί μ' ἀνὴρ τῶν δημοτῶν
ἢ τῶν φίλων ἐλθών τις;
Γρ. β'. ἀλλ' οὐ κύριος
ὑπὲρ μέδιμνον ἔστ' ἀνὴρ οὐδεὶς ἔτι.
Νε. ἐξωμοσία δ' οὐκ ἔστιν;
Γρ. β'. οὐ γὰρ δεῖ στροφῆς.
Νε. ἀλλ' ἔμπορος εἶναι σκήψομαι.
Γρ. β'. κλαύσει γε σύ.

1013. *καθ' ὅ σε.* Sic emendate scriptum in cod. Aliæ editiones *καθόσε*, aliæ *καθό σε* habent. Itane socordes fuisse homines, ut tam apertas mendas non viderent!

1020. *ἀνατεί.* Perperam vulgo *ἀνατὶ*, forma insolita. Sophocles Antig. 485.

εἰ ταῦτ' ἀνατεὶ τῇδε κείσεται κράτη.

Euripides Med. 1357.

Κρέων ἀνατεὶ τῆσδέ μ' ἐκβαλεῖν χθονός.

—*λαβομένας τοῦ παττάλου.* Lys. 1119.

ἢν μὴ διδῷ τὴν χεῖρα, τῆς σάθης ἄγε.

1020. *ἀνατεί.* Alia hujus adverbii exempla vide in aureo Ruhnkenii commentario ad Timæi Lexicon. *πάσσαλος* eadem, qua hic adhibetur, significatione occurrit in Automedontis Epigr. iii.

1021. *Προκρούστης.* Faceta paronomasia e verbo *προκρούειν*, quod bis occurrit in superiore decreto. Fuit autem *Προκρούστης* latro, non *aliquis*, sed insignis, e Thesei historia notissimus. Vide Plutarchum in Theseo p. 9. edit. Bryani. Ovidius Metam. vii. 438. ubi egregia Thesei facinora recenset:

Vidit et immitem Cephisias ora Procrusten.

1027. *κλαύσει γε σύ.* In cod. *κλαύσεις γε σύ.* Forma activa futuri *κλαύσω* apud

Νε. τί δῆτα χρὴ δρᾷν;
Γρ. β'. δεῦρ' ἀκολουθεῖν ὡς ἐμέ.
Νε. καὶ ταῦτ' ἀνάγκη μοι 'στί;
Γρ. β'. Διομήδειά γε.
Νε. ὑποστόρεσαί νυν πρῶτα τῆς ὀριγάνου,
καὶ κλήμαθ' ὑπόθου ξυγκλάσασα τέτταρα,
καὶ ταινίωσαι, καὶ παράθου τὰς ληκύθους,
ὕδατός τε κατάθου τοὔστρακον πρὸ τῆς θύρας.
Γρ. β'. ἦ μὴν ἔτ' ὠνήσει σὺ καὶ στεφάνην ἐμοί.
Νε. νὴ τὸν Δί', ἤν περιῇς γέ που τῶν κηρίνων.
οἶμαι γὰρ ἔνδον διαπεσεῖσθαί σ' αὐτίκα.
Νε. ποῖ τοῦτον ἕλκεις σύ;
Γρ. β'. τὸν ἐμαυτῆς εἰσάγω.
Νε. οὐ σωφρονοῦσά γ'. οὐ γὰρ ἡλικίαν ἔχει
παρά σοι καθεύδειν τηλικοῦτος ὤν· ἐπεὶ

Comicum non reperitur: media semper utitur. Vide Pac. 255. 1277. Nub. 58. Pl. 174. 425. 572. Sæpissime autem permutatæ verborum terminationes ει et εις, quod observavi ad Pl. 932. Pessime vulgo legitur, κλᾷς σύ.

1030. Hæc omnia, quæ adolescens jubet anum apparare, ad funerum ritus pertinent, quorum plerique etiamnum nobis observantur, ab ultima antiquitate transsumti. Quibus ista minus nota sunt Kirchmannum adeant.

1034. στεφάνην recte Kusterus accipit de corona, quæ mortuis imponebatur: vide supra v. 539. Notissimus est hic funerum ritus. At in iis quis fuerit *cribri* usus, nescio an quispiam tradiderit. Nec tamen idcirco depravata esse Græculi verba crediderim. Voci στεφάνην notam adposuit εἶδος κοσκίνου, quia meminerat illud nomen eo sensu alicubi legisse. Sic accipi possit apud Oppianum ἁλ. γ'. 500.

περιπλήθουσα δὲ πάντη
πυροδόκος στεφάνη λευκαίνεται ἔνδον ἀλωῆς.

Sed hoc nihil ad poëtam nostrum facit, coævosque scriptores Atticos, quorum haud scio an apud ullum nomen στεφάνη *cribrum* significans occurrat.

1035. ἤν περιῇς γέ που τῶν κηρίνων. Vulgo sine metro et sensu ἢν περί γε τοῦ τῶν κηρίων. *Si consumtis cereis superstes sis.* Quod Faber dederat, *præterea etiam, si quid opus cereis, emam*: ineptum est, et ne quidem est in Græcis. Notanda ellipsis substantivi λαμπάδων. Antipater Thessal. Epigramm. xiii.

λαμπάδα κηροχίτωνα, Κρόνου τυφήρεα λύχνον
σχοίνῳ καὶ λεπτῇ σφιγγόμενον παπύρῳ.

Candelæ istæ e papyro vel scirpi cortice fiebant cera circumdato. Vide Salmasium in Plin. Exerc. p. 705. extrema: et Harduinum ad ista Plinii T. ii. p. 30. edit. in fol. Scirpi fragiles palustresque, ad tegulum, tegetesque, e quibus detracto cortice candelæ luminibus et *funeribus* serviunt. Ibi merito Harduinus veterem lectionem *funeribus* retinuit.

μήτηρ ἂν αὐτοῦ μᾶλλον εἴης ἢ γυνή.
ὥστ' εἰ καταστήσεσθε τοῦτον τὸν νόμον,
τὴν γῆν ἅπασαν Οἰδιπόδων ἐμπλήσετε.

Γρ. β'. ὦ παμβδέλυρα, φθονοῦσα τόνδε τὸν λόγον
ἐξεῦρες· ἀλλ' ἐγώ σε τιμωρήσομαι.

Νε. νὴ τὸν Δία τὸν Σωτῆρα, κεχάρισαί γ' ἐμοὶ,
ὦ γλυκύτατον, τὴν γραῦν ἀπαλλάξασά μου·
ὥστ' ἀντὶ τούτων τῶν ἀγαθῶν εἰς ἑσπέραν
μεγάλην ἀποδώσω καὶ παχεῖάν σοι χάριν.

Γρ. α'. αὕτη σὺ, ποῖ παραβᾶσα τόνδε τὸν νόμον
ἕλκεις, παρ' ἐμοὶ τῶν γραμμάτων εἰρηκότων
πρότερον καθεύδειν αὐτόν;

Νε. οἴμοι δείλαιος.
πόθεν ἐξέκυψας, ὦ κάκιστ' ἀπολουμένη;
τοῦτο γὰρ ἐκείνου τὸ κακὸν ἐξωλέστερον.

Γρ. α'. βάδιζε δεῦρο.

Νε. μηδαμῶς με περιΐδῃς
ἑλκόμενον ὑπὸ τῆσδ', ἀντιβολῶ σ'.

Γρ. α'. ἀλλ' οὐκ ἐγὼ,
ἀλλ' ὁ νόμος ἕλκει σ'.

Νε. οὐκ ἐμέ γ', ἀλλ' Ἔμπουσά τις
ἐξ αἵματος φλύκταιναν ἠμφιεσμένη.

Γρ. α'. ἕπου, μαλακίων, δεῦρ', ἀνύσας, καὶ μὴ λάλει.

Νε. ἴθι νυν ἔασον ἐς ἄφοδον πρώτιστά με
ἐλθόντα θαῤῥῆσαι πρὸς ἐμαυτόν· εἰ δὲ μὴ,
αὐτοῦ τι δρῶντα πυῤῥὸν ὄψει μ' αὐτίκα
ὑπὸ τοῦ δέους.

1040. *μήτηρ ἂν αὐτοῦ.* Sic cod. Vulgo *αὐτῷ.*

1043. *τόνδε τὸν λόγον.* Sic recte Faber. Vulgo *τόνδε τὸν νόμον.* *Illa vox νόμον defluxit per incogitantiam exscriptoris ex versu paulo superiori.*

1047. *εἰς ἑσπέραν.* Sic cod. Vulgo *ἐς ἑσπέραν*, sono minus suavi.

1049. Trajectæ voces sic ordinandæ: *αὕτη σὺ, ποῖ, παραβᾶσα τὸν νόμον, ἕλκεις τόνδε;*

1056. *ἕλκει σ'*—Sic optime cod. In edit. B. Juntæ *ἕλκει σε.* In ceteris pronomen perperam omissum.—*οὐκ ἐμέ γ', ἀλλ'*—In cod. *οὐκ ἐμ', ἀλλ'*—

Γρ. α'. θάῤῥει, βάδιζ'· ἔνδον χεσεῖ.

Νε. δέδοικα κᾀγὼ, μὴ πλέον γ', ἢ βούλομαι.
ἀλλ' ἐγγυητάς σοι καταστήσω δύο
ἀξιόχρεως.

Γρ. α'. μή μοι καθίστη.

Γρ. γ'. ποῖ σὺ, ποῖ
χωρεῖς μετ' αὐτῆς;

Νε. οὐκ ἔγωγ'· ἀλλ' ἕλκομαι.
ἀτὰρ, ἥτις εἶ γε, πόλλ' ἀγαθὰ γένοιτό σοι,
ὅτι μ' οὐ περιεῖδες ἐπιτριβέντ'. ὦ Ἡράκλεις,
ὦ Πᾶνες, ὦ Κορύβαντες, ὦ Διοσκόρω,
τοῦτ' αὖ πολὺ τούτου τὸ κακὸν ἐξωλέστερον.
ἀτὰρ τί τὸ πρᾶγμ' ἔστ', ἀντιβολῶ, τουτί ποτε;
πότερον πίθηκος ἀνάπλεως ψιμυθίου,
ἢ γραῦς ἀνεστηκυῖα παρὰ τῶν πλειόνων;

Γρ. γ'. μὴ σκῶπτέ μ', ἀλλὰ δεῦρ' ἕπου.

Γρ. α'. δευρὶ μὲν οὖν.

Γρ. γ'. ὡς οὐκ ἀφήσω σ' οὐδέποτ'.

1065. ἀξιόχρεως. Sic perspicue et emendate cod. ut recte edidit Kusterus. In prioribus editt. erat ἀξιόρχρεως, quod defendit et genuinum censet Berglerus, *quia alluditur ad ὄρχεις*. Sed sic oportuisset ἀξιόρχεως. Verum hoc est ingenio abuti. Istud ἀξιόρχρεως nihil aliud est, quam librarii vel typothetæ error.

1068. ὦ Ἡράκλεις. Ut antea Vetulæ ii. ereptus fuerat a puella, nondum conspecta femina, cujus studio nunc Vetulæ i. eripitur, credit etiam puellam esse: sed postquam eam intuitus est, cognovitque anum etiam esse, et insuper altera fœdiorem, in has erumpit exclamationes. Non satis distinctæ erant in prioribus editt. tres vetulæ: quin etiam nescio an ullus editor suspicatus fuerit trinas eas esse.

1073. παρὰ τῶν πλειόνων. Sic cod. quod e Suida bene reposuit Kusterus. In prioribus editt. erat παρὰ τῶν νεκρῶν, quod purum putum est glossema. Sic est apud Suidam: Πλειόνων, τῶν νεκρῶν. ἢ γραῦς ἀνεστηκυῖα παρὰ τῶν πλειόνων. Vera lectio apud Scholiastem etiam deprehendi poterat, cujus verba ad depravatum textum accommodata fuere; scripserat ille: παρὰ τῶν πλειόνων, παρὰ τῶν νεκρῶν. Sed postquam νεκρῶν in textum immigravit, scholion inverterunt, quod sic Aldus edidit: παρὰ τῶν νεκρῶν, παρὰ τῶν πλειόνων; tanquam si vox νεκρῶν explicatione indiguisset. Jam stipitem esse oportet, si quis non intelligat, qui glossæ in causa fuere cur textus depravarentur. Vide not. ad Ran. 874. Eustathius initio commentarii ad Odyss. p. 1382. l. 18. ὡς δὲ καὶ νεκροῖς προσφυὲς τὸ, οἱ πολλοὶ, καὶ τὸ, οἱ πλείους, δηλοῖ ὁ εἰπὼν τὸ, ἀπελεύσομαι παρὰ τοὺς πλείονας, ὅ ἐστι, θανοῦμαι. πλείονας γὰρ, τοὺς τεθνεῶτας ἐκεῖνος ἔφη.

Γρ. α'. οὐδὲ μὴν ἐγώ.
Νε. διασπάσεσθέ μ', ὦ κακῶς ἀπολούμεναι.
Γρ. γ'. ἐμοὶ γὰρ ἀκολουθεῖν σ' ἔδει κατὰ τὸν νόμον.
Γρ. α'. οὐκ, ἤν ἑτέρα γε γραῦς ἔτ' αἰσχίων φανῇ.
Νε. ἢν οὖν ὑφ' ὑμῶν πρῶτον ἀπόλωμαι κακῶς,
φέρε, πῶς ἐπ' ἐκείνην τὴν καλὴν ἀφίξομαι;
Γρ. γ'. αὐτὸς σκόπει σύ· ταδὶ δέ σοι ποιητέον.
Νε. ποτέρας προτέρας οὖν κατελάσας ἀπαλλαγῶ;
Γρ. α'. οὐκ οἶσθα; βαδιεῖ δεῦρ'.
Νε. ἀφέτω νύν μ' αὑτηΐ.
Γρ. γ'. δευρὶ μὲν οὖν ἴθ' ὡς ἔμ'.
Νε. ἤν γ' ἡδί μ' ἀφῇ.
Γρ. α'. ἀλλ' οὐκ ἀφήσω μὰ Δία σ'.
Γρ. γ'. οὐδὲ μὴν ἐγώ.
Νε. χαλεπαί γ' ἂν ἦστε γενόμεναι πορθμῆς.
Γρ. α'. τιή;
Νε. ἕλκοντε τοὺς πλωτῆρας ἂν ἀπεκναίετε.
Γρ. α'. σιγῇ βάδιζε δεῦρο.
Γρ. γ'. μὰ Δί', ἀλλ' ὡς ἐμέ.
Νε. τουτὶ τὸ πρᾶγμα κατὰ τὸ Καννώνου σαφῶς

1077. Male hoc et seq. versu notatæ sunt personæ. Huic versui præponi debuit ΓΡΑΥΣ Α. Sequenti vero ΓΡΑΥΣ Γ. Quippe Anus i. jam antea adolescentem sollicitaverat ut secum esset, quocirca ei dicit: *ἐμοὶ γὰρ ἀκολουθεῖν σ' ἔδει κατὰ τὸν νόμον.* Tum Anus iii. quæ postrema supervenit omnium fœdissima est, quod ex iis intelligitur, quæ dicit Adolescens v. 1069. Ideo excipit illa: *οὐκ, ἢν ἑτέρα γε γραῦς ἔτ' αἰσχίων φανῇ.*

1084. Vulgo sic legitur hic versus; *δευρὶ μὲν οὖν ἴθ' ὡς ἐμέ.---ἢν νὴ Δία γ' ἀφῇ.* In cod. scriptum *ἢν μὰ Δία μ' ἀφῇ.* Sed quid, malum, sibi vult istud sive *νὴ Δία*, sive *μὰ Δία*, quod nemo non videt e sequenti versu huc retractum fuisse? At vero desideratur nomen vel pronomen a quo regatur verbum *ἀφῇ.* Emendo certissime:

δευρὶ μὲν οὖν ἴθ' ὡς ἔμ'.---ἤν γ' ἡδί μ' ἀφῇ.

1085. *ἀλλ' οὐκ ἀφήσω μὰ Δία σ'.* Sic optime cod. Solœce in impressis *νὴ Δία*, in negativa phrasi adhibita particula affirmativa. Ista *μὰ* et *νὴ* sæpissime permutantur, quod præter superiorem notam ostendunt notata ad Lys. 465. Pl. 764.

1089. *Καννώνου ψήφισμα.* Hesychius: *εἰσήνεγκε γὰρ οὗτος ψήφισμα, ὥστε διειλημμένους τοὺς κρινομένους ἑκατέρωθεν ἀπολογεῖσθαι.* Male apud Lexicographum excusum *Καννόνου.* Veram hujus nominis scripturam adstruit hic Comici locus. Ejusdem Cannoni decreti meminit Xenophon Hellen. i. sub finem. *Ταῦτ' εἰπὼν Εὐρυπτόλεμος, ἔγραψε γνώ-*

ψήφισμα, βινεῖν δεῖ με διαλελημμένον.
πῶς οὖν δικωπεῖν ἀμφοτέρας δυνήσομαι;
Γρ. α'. καλῶς, ἐπειδὰν καταφάγῃς βολβῶν χύτραν.
Νε. οἴμοι κακοδαίμων, ἐγγὺς ἤδη τῆς θύρας
ἑλκόμενος εἴμ'.
Γρ. γ'. ἀλλ' οὐδὲν ἔσται σοι πλέον.
ξυνεσπεσοῦμαι γὰρ μετὰ σοῦ.
Νε. μὴ πρὸς θεῶν.
ἑνὶ γὰρ ξυνέχεσθαι κρεῖττον ἢ δυοῖν κακοῖν.
Γρ. γ'. νὴ τὴν Ἑκάτην, ἐάν τε βούλῃ γ', ἤν τε μή.
Νε. ὢ τρισκακοδαίμων, εἰ γυναῖκα δεῖ σαπρὰν
βινεῖν ὅλην τὴν νύκτα καὶ τὴν ἡμέραν·
κἄπειτ', ἐπειδὰν τῆσδ' ἀπαλλαγῶ, πάλιν
Φρύνην ἔχουσαν λήκυθον πρὸς ταῖς γνάθοις.
ἆρ' οὐ κακοδαίμων εἰμί; βαρυδαίμων μὲν οὖν,
νὴ τὸν Δία τὸν Σωτῆρ', ἀνὴρ, καὶ δυστυχὴς,
ὅστις τοιούτοις θηρίοις ξυννήξομαι.
ὅμως δ', ἐάν τι πολλὰ πολλάκις πάθω

μην, κατὰ τοῦ Καννώνου ψήφισμα κρίνεσθαι τοὺς ἄνδρας δίχα ἕκαστον. ἡ δὲ τῆς Βουλῆς ἦν, μιᾷ ψήφῳ ἅπαντας κρίνειν. In Reg. cod. recte scriptum est Καννώνου. Si ejusdem criminis plures essent rei, Cannoni decreto cautum erat, ut singulorum seorsum causa cognosceretur: eo facete adludit Comicus; non enim aliud decretum in animo habuit. Juxta Cannoni decretum ait adolescens sibi impositam esse necessitatem δίχα ἑκάστην, non κρίνειν *judicare*, sed βινεῖν *permolere*. Jocus in eo consistit, quod quum in decreto esset reos διειλημμένους ἀπολογεῖσθαι, *seorsum causam dicere*, adolescens dicat se διαλελημμένον tanquam in *diversa diductum* binis subantibus vetulis simul morigeraturum. Mendose in cod. scriptum κατὰ τὸ Διαγόρου σαφῶς.

1094. ἑλκόμενος εἴμ'—Sic bene cod. Vulgo εἰμί.

1101. Φρύνην. Hic nomine meretrices fuere complures. Adluditur hic forte ad φρύνη seu φρῦνος, quod *rubetam venenosam* significat.

1105. ἐάν τι πολλὰ πολλάκις πάθω. Sic cod. optime. Vox πολλὰ vulgo omissa cum versus labe. πολλὰ πολλάκις duo sunt adverbia ἐκ παραλλήλου posita, ut αὖθις αὖ. Notus est εὐφημισμὸς, seu formula bene ominata, ἤν τι πάθω, *si quid obtigerit*, id est, *si moriar*. Theocr. Idyll. viii. 10.

οὔ ποτε νικαξεῖς, οὐδ' εἴ τι πάθοις τύ γ' ἀείδων.

Meleager Epigr. xvi.

ἤν τι πάθω, Κλεόβουλε, (τὸ γὰρ πλέον ἐν πυρὶ παίδων
βαλλόμενος, κεῖμαι λείψανον ἐν σποδιῇ)
λίσσομαι, ἀκρήτῳ μέθυσον, πρὶν ὑπὸ χθόνα θέσθαι,

ὑπὸ ταῖνδε ταῖν κασαλβάδοιν, δεῦρ' ἐσπλέων,
θάψαι μ' ἐν αὐτῷ τῷ στόματι τῆς ἐσβολῆς·
καὶ τὴν ἄνωθεν ἐπιπολῆς τοῦ σήματος
ζῶσαν καταπιττώσαντας, εἶτα τὼ πόδε
μολυβδοχοήσαντας κύκλῳ περὶ τὰ σφυρὰ,
ἄνω 'πιθεῖναι πρόφασιν ἀντὶ ληκύθου.

Χο. (λείπει κομμάτιον τοῦ Χοροῦ.)

Θε. ὦ μακάριος μὲν δῆμος, εὐδαίμων δ' ἐγὼ,
αὐτή τε μοι δέσποινα μακαριωτάτη,
ὑμεῖς δ' ὅσαι πάρεστ' ἐπὶ ταῖσδε ταῖς θύραις,
οἱ γείτονές θ' ἅπαντες, οἵ τε δημόται,
ἐγώ τε πρὸς τούτοισιν ἡ διάκονος,
ἥτις μεμύρισμαι τὴν κεφαλὴν μυρώμασιν,
ἀγαθοῖσιν, ὦ Ζεῦ· πολὺ δ' ὑπερπέπαικεν αὖ
τούτων ἁπάντων τὰ Θάσι' ἀμφορείδια.
ἐν τῇ κεφαλῇ γὰρ ἐμμένει πολὺν χρόνον·
τὰ δ' ἄλλ' ἀπανθήσαντα πάντ' ἀπέπτετο·
ὥστ' ἐστὶ πολὺ βέλτιστα, πολὺ δῆτ', ὦ θεοί.
κέρασον ἄκρατον, εὐφρανεῖ τὴν νύχθ' ὅλην,
ἐκλεγομένη ὅ τι ἂν μάλιστ' ὀσμὴν ἔχῃ.

κάλπιν, ἐπιγράψας· ΔΩΡΟΝ ΕΡΩΣ ΑΙΔΗ.

Sic Philocleon in Vespis 385.

ἤν τι πάθω 'γὼ,
ἀνελόντες καὶ κατακλαύσαντες θεῖναί μ'
ὑπὸ τοῖσι δρυφάκτοις.

1108. *καὶ τὴν ἄνωθεν.* Sic bene cod. Vulgo *καὶ τῶν* sine ullo sensu. Intelligendum est adolescentem hæc ad spectatores conversum dicere. Oratio elliptica est; supplendum *λίσσομαι ὑμᾶς, θάψαι με—καὶ καταπιττώσαντας*—

1114. *ὅσαι πάρεσσ' ἐπὶ ταῖσδε ταῖς θύραις.* In cod. *ὅσαι πάρεσσ' ἐπί ταῖσι θύραις.* In impressis, *ὅσαι παρέστατ' ἐπὶ ταῖσι θύραις.* Veram lectionem restituimus.

1115. *οἱ γείτονές θ' ἅπαντες.* Sic est in cod. qui, ut impressi, in versus fine mendosus est. Sic illi habent:

οἱ γείτονές τε πάντες οἱ τῶν δημοτῶν.

quod, quidquid Faber censuerit, ineptum est.

1117. *ἥ τις μεμύρισμαι.* Sic Athenæus p. 691. Vulgo *μεμύρωμαι.* Usitatior est altera forma.

1118. *ὑπερπέπαικεν αὖ τούτων.* In cod. *ὑπεπέπαικε νῦν αὐτῶν.*

1122. Anus bibacula apud Plautum Curcul. i. 2.

Nam omnium unguentûm odor præ tuo, nautea est.

1124. *ἐκλεγομένη.* Sic cod. bene: refertur enim ad *κέρασον.* Vulgo *ἐκλεγομένας.*—*ἔχῃ.* Male cod. *ἔχει.*

ἀλλ', ὦ γυναῖκες, φράσατέ μοι τὸν δεσπότην,
τὸν ἄνδρ', ὅπου 'στὶ, τῆς ἐμῆς κεκτημένης.
Χο. αὐτοῦ μένουσ' ἡμῖν γ' ἂν ἐξευρεῖν δοκεῖς.
Θε. μάλισθ'· ὁδὶ γὰρ ἐπὶ τὸ δεῖπνον ἔρχεται.
ὦ δέσποτ', ὦ μακάριε, καὶ τρισόλβιε.
Δε. ἐγώ;
Θε. σὺ μέντοι, νὴ Δί', ὥς γ' οὐδεὶς ἀνήρ.
τίς γὰρ γένοιτ' ἂν μᾶλλον ὀλβιώτερος,
ὅστις, πολιτῶν πλεῖον ἢ τρισμυρίων
ὄντων τὸ πλῆθος, οὐ δεδείπνηκας μόνος.
Χο. εὐδαιμονικόν γ' ἄνθρωπον εἴρηκας σαφῶς.
Θε. ποῖ, ποῖ βαδίζεις;
Δε. ἐπὶ τὸ δεῖπνον ἔρχομαι.
Θε. νὴ τὴν Ἀφροδίτην, πολύ γ' ἁπάντων ὕστατος.
ὅμως δ' ἐκέλευε συλλαβοῦσάν μ' ἡ γυνὴ

1125. *φράσατέ μοι τὸν δεσπότην, ὅπου 'στί.* Usitatissimam hanc constructionem semel observasse satis erit. Verbis cogitandi, et dicendi substantivum adjungunt, quod sequenti verbo adjungi debuisset: *φράσατέ μοι τὸν δεσπότην, ὅπου ἐστίν.* Pro *φράσατέ μοι ὅπου ὁ δεσπότης ἐστίν.* Exempla multa congessit Taylorus in Indice Attico ad Lysiam, tametsi hæc loquendi ratio Atticis propria non est, sed apud quosvis scriptores obvia. Homerus Ἰλ. β'. 409.

ᾔδει γὰρ κατὰ θυμὸν ἀδελφεὸν, ὡς ἐπονεῖτο.

υ'. 310.

Ἐννοσίγαι', αὐτὸς σὺ μετὰ φρεσὶ σῇσι νόησον
Αἰνείαν, ἤ κέν μιν ἐρύσσεαι.

Odyss. α'. 115.

ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσὶν, εἴ ποθεν ἐλθὼν—

1126. *τῆς ἐμῆς κεκτημένης*, *heræ meæ.* Sic Pl. 4. *τῷ κεκτημένῳ*, *hero.*

1127. *ἡμῖν γ' ἂν ἐξευρεῖν δοκεῖς.* Sic omnino legendum. Vulgo *ἡμῖν γὰρ ἐξευρεῖν δοκεῖς.* Primo istud *γὰρ* prorsus absurde hic positum. Deinde nisi adsit particula *ἂν*, verbum *ἐξευρεῖν* nihil aliud significare poterit quam *reperisse*, quod falsum est; at cum illa futuri significationem induit. Vide not. ad Pl. 380. qua ex fabula hoc etiam exemplum notabo v. 465.

καὶ τί ἂν νομίζετον
κακὸν ἐργάσασθαι μεῖζον ἀνθρώπους;

ubi infinitivi aoristo significationem futuri particula *ἂν* tribuit.

1131. *μᾶλλον ὀλβιώτερος.* Comparativus auctus per pleonasmum. Sic Euripides Hecuba 377.

θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος,
ἢ ζῶν. τὸ γὰρ ζῆν μὴ καλῶς, μέγας πόνος.

Plautus in lepidissimo Menæchmorum prologo 55.

Nam nisi qui argentum dederit, nugas egerit,
qui dederit, magis majores nugas egerit.

ἄγειν σέ, καὶ τασδὶ μετὰ σοῦ τὰς μείρακας.
οἶνος δὲ Χῖος ἐστὶ περιλελειμμένος
καὶ τἄλλ' ἀγαθά. πρὸς ταῦτα μὴ βραδύνετε,
καὶ τῶν θεατῶν εἴ τις εὔνους τυγχάνει,
καὶ τῶν κριτῶν εἰ μή τις ἑτέρωσε βλέπει,
ἴτω μεθ' ἡμῶν· πάντα γὰρ παρέξομεν.
οὐκοῦν ἅπασι δῆτα γενναίως ἐρεῖς,
καὶ μὴ παραλείψεις μηδέν', ἀλλ' ἐλευθέρως
καλεῖν γέροντα, μειράκιον, παιδίσκον· ὡς
τὸ δεῖπνον αὐτοῖς ἔστ' ἐπεσκευασμένον
ἀπαξάπασιν, ἢν ἀπίωσιν οἴκαδε.

Χο. ἐγὼ δὲ πρὸς τὸ δεῖπνον ἤδη 'πείξομαι,
ἔχουσά τοι καὶ δᾷδα ταυτηνὶ καλῶς.
τί δῆτα διατρίβεις ἔχων, ἀλλ' οὐκ ἄγεις
τασδὶ λαβών; ἐν ὅσῳ δὲ καταβαίνεις, ἐγὼ
ἐπᾴσομαι μέλος τι μελλοδειπνικόν.
σμικρὸν δ' ὑποθέσθαι τοῖς κριταῖσι βούλομαι·
τοῖς σοφοῖς μὲν, τῶν σοφῶν μεμνημένους κρίνειν ἐμέ·
τοῖς γελῶσι δ' ἡδέως, διὰ τὸν γέλων κρίνειν ἐμέ·
σχεδὸν ἅπαντας οὖν κελεύω δηλαδὴ κρίνειν ἐμέ.
μηδὲ τὸν κλῆρον γενέσθαι μηδὲν ἡμῖν αἴτιον,
ὅτι προείληχ'· ἀλλ' ἅπαντα ταῦτα χρὴ μεμνημένους
μὴ 'πιορκεῖν, ἀλλὰ κρίνειν τοὺς χοροὺς ὀρθῶς ἀεί·

Et V. 6. 13. nam magis multo
patior facilius verba.

1145. *καὶ μὴ παραλείψεις.* Vulgo *παραλείψῃς.*

1148. *ἢν ἀπίωσιν οἴκαδε.* Jocus præter exspectationem, quales sunt in Lysistrata 1071. 1213. frequentesque alii in comœdiis. Sic clauditur Plauti Stichus:

Intro hinc abeamus. Nunc jam saltatum satis pro vino est.
Vos spectatores, plaudite, atque ite ad vos comissatum.

Confer finem Pseudoli et Rudentis.

1154. Versus hic, ut sequentes, tetrameter trochaicus esse deberet, cui tres desunt syllabæ. Hoc Kusterus observato versum sic complet: *σμικρόν ἐστιν, ὅ τι γ' ὑποθέσθαι τοῖς κριταῖσι βούλομαι.*

1155. *τοῖς σοφοῖς μὲν*—Vulgo *τοῖς σοφοῖσι.*

1159. *ὅτι προείληχ'.* Uno die Athenis plures diversorum poëtarum exhibebantur populo fabulæ, quarum in commissione sorte ducebant Chori ordinem,

μηδὲ ταῖς κακαῖς ἑταίραις τὸν τρόπον προσεικέναι,
αἳ μόνον μνήμην ἔχουσι τῶν τελευταίων ἀεί·
ὢ, ὤ, ὥρα δὴ, φίλαι
γυναῖκες, εἴπερ μέλλομεν τὸ χρῆμα δρᾷν,
ἐπὶ τὸ δεῖπνον ὑπανακινεῖν. Κρητικῶς οὖν τὼ πόδε
καὶ σὺ κίνει.

Ημ. τοῦτο δρῶ.

Χο. καὶ τάσδε νῦν λαγαρὰς
τοῖν σκελίσκοιν τὸν ῥυθμόν. τάχα γὰρ ἔπεισι
λεπαδοτεμαχοσελαχογαλεο-
κρανιολειψανοδριμυποτιτριμματο-
σιλφιοπαραομελιτοκατακεχυμενο-
κιχλεπικοσσυφοπεριστερα-
λεκτρυονοπτεκεφαλλιοκιγκλοπε-
λειολαγωοσιραιοβαφητραγανοπτερύγων.
σὺ δὲ ταῦτ' ἀκροασάμενος ταχὺ καὶ ταχέως
λαβὲ τρυβλίον· εἶτα λαβὼν κόνισαι
λέκιθον, ἵν' ἐπιδειπνῇς.

Ημ. ἀλλὰ λαιμάττουσί που.

Χο. αἴρεσθ' ἄνω· ἰαὶ εὐαί.
δειπνήσομεν εὐοῖ εὐαὶ,

quo alii post alios prodirent. Ex hoc loco apparet meliorem illius chori fuisse conditionem, qui prodiret postremus, quia recens illius memoria et voluptas judicum animis inhærens, priorum merita obliterabat. Hinc facete Comicus judices orat, ne male moratas meretriculas imitentur, quæ benefactorum meminisse non solent, nisi quæ postrema acceperunt. De fabularum commissionibus Athenis fieri solitis, legisse operæ pretium fuerit, quæ vir ingeniosus et elegantissimæ doctrinæ commentatus est in Actis Academiæ nostræ T. XXXIX. p. 172.

1169. Ad hunc locum respexisse credo Eustathium cujus verba proferam ex Commentario in Iliadem p. 1277. Ἰστέον δὲ, ὡς, εἰ καὶ Ὅμηρος μὴ φιλεῖ χρῆσθαι πολυσυνθέτοις λέξεσιν, ἀλλ' οἱ μετ' ἐκεῖνον ἐπλεόνασαν τοῖς τοιούτοις, καὶ μάλιστα οἱ Ἀττικοί. τῇ δὲ κωμῳδίᾳ λίαν πάνυ τὸ τοιοῦτον ὑπερεσπούδασται. εὕρηται γοῦν παρὰ τῷ Κωμικῷ χωρίον ἔν τινι ἀσυνήθει κωμῳδίᾳ, οὕτω συχνοσύνθετον, ὥστε ὁ κατερξάμενος αὐτὸ ἀναγνῶναι, ἢ οὐ διέξεται τὸ πᾶν ἀπνευστὶ, ἢ ἀλλὰ πνευστιῶν αὐτοῦ ἀπαλλαγήσεται.

1176. κόνισαι, *festina*. Sic bene Faber, spreta Scholiastæ explicatione γυμνάσθητι. Supra 291. ὃς ἂν μὴ πρῴ πάνυ τοῦ κνέφους ἥκῃ κεκονιμένος.

εὐαἶως ἐπινίκι' εὐαὶ, εὐαὶ, εὐαὶ, εὐαὶ, εὐαί.

Mutila est in fine hæc fabula. Notarum in procœmio dixi versum 1135. ultimum in cod. Reg. esse. Nullum aliud vetus exemplar Ms. nancisci potui: quibus alia consulere commodum erit, forte plura reperient iis quæ Aldus edidit.

ΤΕΛΟΣ

ΤΩΝ ΕΚΚΛ ΣΙΑΖΟΥΣΩΝ.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΝΕΦΕΛΑΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΣΤΡΕΨΙΑΔΗΣ.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ΘΕΡΑΠΩΝ Στρεψιάδου.
ΜΑΘΗΤΑΙ Σωκράτους.
ΣΩΚΡΑΤΗΣ.
ΧΟΡΟΣ ΝΕΦΕΛΩΝ.
Ο ΔΙΚΑΙΟΣ ΛΟΓΟΣ.
Ο ΑΔΙΚΟΣ ΛΟΓΟΣ.
ΠΑΣΙΑΣ δανειστής.
ΜΑΡΤΥΣ Πασίου.
ΑΜΥΝΙΑΣ δανειστής.
ΧΑΙΡΕΦΩΝ.

ΥΠΟΘΕΣΙΣ.

ΠΡΕΣΒΥΤΗΣ τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος, διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς, δεῖται τούτου, φοιτήσαντα ὡς τὸν Σωκράτην, μαθεῖν τὸν ἥττονα λόγον, εἴ πως δύναιτο, τὰ ἄδικα λέγων ἐν τῷ δικαστηρίῳ, τοὺς χρήστας νικᾷν καὶ μηδενὶ τῶν δανειστῶν μηδὲν ἀποδοῦναι. οὐ βουλομένου δὲ τοῦ μειρακίσκου, διαγνοὺς αὐτὸς ἐλθὼν μανθάνειν, καὶ μαθητὴν τοῦ Σωκράτους ἐκκαλέσας τινὰ, διαλέγεται. ἐκλυθείσης δὲ τῆς διατριβῆς, οἵ τε μαθηταὶ κύκλῳ καθήμενοι πιναροὶ συνορῶνται, καὶ αὐτὸς ὁ Σωκράτης ἐπὶ κρεμάθρας αἰωρούμενος, καὶ ἀποσκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα τελεῖ παραλαβὼν τὸν πρεσβύτην, καὶ τοὺς νομιζομένους παρ' αὐτῷ θεοὺς, Ἀέρα, προσέτι δὲ καὶ Αἰθέρα καὶ Νεφέλας κατακαλεῖται. πρὸς δὲ τὴν εὐχὴν εἰσέρχονται Νεφέλαι ἐν σχήματι Χοροῦ· καὶ, φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ Σωκράτους, ἀποκαταστᾶσαι πρὸς τοὺς θεατὰς, περὶ πλειόνων διαλέγονται. μετὰ δὲ ταῦτα ὁ μὲν πρεσβύτης διδασκόμενος ἐν τῷ φανερῷ τινὰ τῶν

ARGUMENTUM ad fidem codd. edidi. In C. pro τελεῖ l. 12. est διδάσκει, quod prioris verbi interpretatio est. Alias varietates observare nihil adtinet. Perperam vulgo pro παραλαβὼν p. 76. l. 4. legitur περιλαβὼν, et pro σύγκρουσιν l. 11. inepte σύγκρισιν.

μαθημάτων γελωτοποιεῖ· καὶ ἐπειδὴ διὰ τὴν ἀμαθίαν ἐκ τοῦ φροντιστηρίου ἐκβάλλεται, ἄγων πρὸς βίαν τὸν υἱὸν, συνίστησι τῷ Σωκράτει. τούτου δὲ ἐξαγαγόντος αὐτῷ ἐν τῷ θεάτρῳ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον, διαγωνισθεὶς ὁ ἄδικος πρὸς τὸν δίκαιον λόγον, καὶ παραλαβὼν αὐτὸν ὁ ἄδικος λόγος, ἐκδιδάσκει. κομισάμενος δὲ αὐτὸν ὁ πατὴρ ἐκπεπονημένον, ἐπηρεάζει τοῖς χρήσταις, καὶ, ὡς κατωρθωκότος, εὐωχεῖ παραλαβών. γενομένης δὲ περὶ τὴν εὐωχίαν ἀντιλογίας, πληγὰς λαβὼν ὑπὸ τοῦ παιδὸς, βοὴν ἵστησι, καὶ προσκαταλαλούμενος ὑπὸ τοῦ παιδὸς, ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν ἀντιτύπτεσθαι, ὑπεραλγῶν διὰ τὴν πρὸς τὸν υἱὸν σύγκρουσιν ὁ γέρων, κατασκάπτει καὶ ἐμπίπρησι τὸ φροντιστήριον τῶν Σωκρατιστῶν. τὸ δὲ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΝΕΦΕΛΑΙ.

ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ, ΘΕΡΑΠΩΝ, ΜΑΘΗΤΗΣ, ΣΩΚΡΑΤΗΣ, ΧΟΡΟΣ.

Στ. ΙΟΥ, ἰού.
ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν νυκτῶν ὅσον

Inter Scripta Gallica politissimi auctoris BERNARDI DE FONTENELLE exstat commentariolum, quod ille sibi olim juvenis memoriæ causa scripserat, nec luci destinaverat publicæ. Titulus est: *Remarques sur quelques Comédies d'Aristophane, sur le Théatre Grec. etc.* Quæ de Comici nostri fabulis tulit judicia, non usquequaque vera sunt. Non videtur Græcæ antiquitatis et linguæ satis peritus fuisse vir ingeniosus, diversisque variarum rerum districtus studiis, ut Dramatum scopum et allusionem, actionem scenæ, permultarumque Aristophanis facetiarum acumen percipere potuerit: in eoque minus æquum se prodit, quod pleraque e sui temporis moribus æstimet. Sunt tamen in hac commentatione nonnulla, quæ tollere velis, quæque acre viri ingenium ostendunt. Placent mihi isti quæ in NUBES observat: *Le dessein de cette pièce est fort plaisant.* STREPSIADE *est le vrai* BOURGEOIS GENTILHOMME, *par la difficulté qu'il a d'apprendre, par ses méprises continuelles, et par la naïveté avec laquelle il rend ce qu'il a appris. Il ressemble fort aussi à* GEORGE DANDIN, *quand il se plaint d'avoir épousé une femme de la ville, lui qui étoit un homme de la campagne.* Primus e scriptoribus nostris, nescio an solus, persensisse videtur BERNARDUS ille, novæ Comœdiæ poetarum qui exstant ex omni ævo excellentissimum, solumque, qui ingenio et vi comica Aristophani æquiparari possit, MOLIERIUM. Comico nostro quædam debere, multaque lineamenta facetissimi illius plebeii hominis, nobilium mores æmulantis, MONSIEUR JOURDAIN, in Dramate, cui titulus, LE BOURGEOIS GENTILHOMME e STREPSIADE adumbrata esse; quod verissimum esse facile deprehendet, quicunque utramque fabulam diligenter leget.

Deest in codice initium Fabulæ, us-

ἀπέραντον. οὐδέποθ' ἡμέρα γενήσεται;
καὶ μὴν πάλαι γ' ἀλεκτρυόνος ἤκουσ' ἐγώ.
οἱ δ' οἰκέται ῥέγκουσιν· ἀλλ' οὐκ ἂν πρὸ τοῦ.
ἀπόλοιο δῆτ', ὦ πόλεμε, πολλῶν οὕνεκα,
ὅτι οὐδὲ κολάσαι ἔξεστί μοι τοὺς οἰκέτας.
ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσὶ νεανίας
ἐγείρεται τῆς νυκτὸς, ἀλλὰ πέρδεται
ἐν πέντε σισύραις ἐγκεκορδυλημένος.
ἀλλ', εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι.- - -
'Αλλ' οὐ δύναμαι δείλαιος εὕδειν, δακνόμενος
ὑπὸ τῆς δαπάνης, καὶ τῆς φάτνης, καὶ τῶν χρεῶν,
διὰ τουτονὶ τὸν υἱόν. ὁ δὲ κόμην ἔχων,

que ad v. 251. qui primus ibi comparet.

3. ἀπέραντον. Sic iv. codd. Glossæ, ἀπλήρωτον, ἀτελείωτον. Sic infra 393. codd. cum impressis eandem formam ἀπέραντον exhibent. Quod ad hunc locum in scholiis legitur: οἱ δὲ ἀπέραντον μετὰ τοῦ ν γράφοντες ἁμαρτάνουσι, imperiti Græculi est. In Æschyli Prom. 1086. εἰς ἀπέραντον δίκτυον ἄτης. Gl. οὗ τέλος οὐχ εὑρίσκεται. Utraque forma perinde bona est. Nec eam differentiam agnoscunt boni scriptores, quam ille statuit in integra nota, quam e cod. C. describo: ἀπέρατον, τὸ μὴ ἔχον πέρας· ἀπέραντον δὲ, τὸ μὴ περαινόμενον, καὶ τὸ ὅπερ μὴ δύναιτ' ἄν τις ἐξελθεῖν. Quemadmodum hic de longa nocte queritur Strepsiades, ita Sosia apud Plaut. in *Amphitr.* i. 1.

Neque ego hac nocte longiorem me
vidisse censeo:
nisi item unam, verberatus quam pependi perpetem.

Nec mirum Strepsiadem hunc noctes insomnes ducere: hoc enim evenire solet iis, qui in magno ære alieno sunt. Apud Plautum Menæ. V. 5. rogat medicus Menæchmum:

Perdormiscin' usque ad lucem? facilen' tu dormis cubans?

Cui ille respondet:

Perdormisco, si resolvi argentum, quoi debeo.

Ex Lamb. Bos Observatt. critt. p. 61.

7. ὅτι οὐδὲ κολάσαι ἔξεστι. Vide not. ad Lys. 611. et Thesm. 217. Perperam in impressis ὅτ' οὐδὲ κολάσ' ἔξεστι. In plerisque codd. scriptum est plene κολάσαι ἔξεστι. Mallem vero ὅτι τ' οὐδὲ, vel ὅτι δ' οὐδέ. Copula enim desideratur: ἀπόλοιο πολλῶν οὕνεκα, καὶ ὅτι—vel ὅτι δὲ—Sic extrema in fabula: παῖε, πολλῶν οὕνεκα, μάλιστα δ' εἰδὼς—In bellum imprecatur, quod non sinat servos castigare, quia quum prope hostes essent, ab heris male habiti facile transfugiebant. Idcirco inter eos, quibus bellum commodum est, servos recenset, Pace 451.

ἢ δοῦλος αὐτομολεῖν παρεσκευασμένος. Male hæc unus e Scholiastis refert ad libertatis promissionem factam servis ante pugnam ad Arginusas, quæ contigit an. 3. Olymp. xciii. diu post editam hanc fabulam.

10. ἐγκεκορδυλημένος. Gl. ἐντετυλιγμένος, ἐγκεκρυμμένος.

12. δακνόμενος. Gl. ἐνοχλούμενος.

ἱππάζεταί τε, καὶ ξυνωρικεύεται,
ὀνειροπολεῖ θ' ἵππους· ἐγὼ δ' ἀπόλλυμαι,
ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας.
οἱ γὰρ τόκοι χωροῦσιν.--- ἅπτε, παῖ, λύχνον,
κἄκφερε τὸ γραμματεῖον, ἵν' ἀναγνῶ λαβὼν,
ὁπόσοις ὀφείλω, καὶ λογίσωμαι τοὺς τόκους.
φέρ' ἴδω, τί ὀφείλω; δώδεκα μνᾶς Πασίᾳ.
τοῦ δώδεκα μνᾶς Πασίᾳ; τί ἐχρησάμην;
ὅτ' ἐπριάμην τὸν κοππατίαν. οἴμοι τάλας.
εἴθ' ἐξεκόπην πρότερον τὸν ὀφθαλμὸν λίθῳ.
Φε. Φίλων, ἀδικεῖς. ἔλαυνε τὸν σαυτοῦ δρόμον.
Στ. τοῦτ' ἐστὶ τοῦτο τὸ κακὸν, ὅ μ' ἀπολώλεκεν.
ὀνειροπολεῖ γὰρ καὶ καθεύδων ἱππικήν.
Φε. πόσους δρόμους ἐλᾷ τὰ πολεμιστήρια;
Στ. ἐμὲ μὲν σὺ πολλοὺς τὸν πατέρ' ἐλαύνεις δρόμους.---
ἀτὰρ τί χρέος ἔβα με μετὰ τὸν Πασίαν;
τρεῖς μναῖ διφρίσκου καὶ τροχοῖν Ἀμυνίᾳ.
Φε. ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε.
Στ. ἀλλ', ὦ μέλ', ἐξήλικας ἐμέ γ' ἐκ τῶν ἐμῶν,
ὅτε καὶ δίκας ὦφληκα, χ' ἅτεροι τόκου
ἐνεχυράσεσθαί φασιν.
Φε. ἐτεὸν, ὦ πάτερ,
τί δυσκολαίνεις, καὶ στρέφει τὴν νύχθ' ὅλην;

15. Glossæ: *ἱππάζεται, ἐν ἵππῳ ὀχεῖται. ξυνωρικεύεται, ἐπὶ δίφρου φέρεται. ὀνειροπολεῖ, ἐν ὀνείρασι φαντάζεται.*

20. *λογίσωμαι.* Gl. *λογαριάσωμαι, λογαριάσω.*

22. *τοῦ.* Gl. *ἕνεκεν τίνος πράγματος— τί ἐχρησάμην;* Gl. *ἐς τί, κατὰ τί.*

25. In somnis loquitur adolescens.

29. *ἐλαύνεις.* Gl. *στρέφεσθαί με ποιεῖς, ἤγουν πολλὰς στροφὰς φροντίδων διεγείρεις.*

30. *ἔβα με.* Gl. *κατέλαβε.* Translata loquendi forma ex Euripidis Tragœdia, in qua erat juxta Scholiastem: *τί χρέος ἔβα δῶμα.* In Herc. Fur. legitur hic versus 531.

γύναι, τί καινὸν ἦλθε δώμασιν χρέος;
Vide Phrynichum in *χρέως*, p. 172.

31. *τρεῖς μναῖ.* Supple *ὀφείλονται ἕνεκα*—

35. *ἐνεχυράσεσθαι*, forma media, *pignora ablaturos.* Gl. *ἐνέχυρον ἐξ ἐμοῦ λαβεῖν.* At infra v. 241. *τὰ χρήματ' ἐνεχυράζομαι*, significatione passiva, *pignora a me capiuntur.* Vide Salmasium de modo usurarum p. 549.

36. *καὶ στρέφει.* Perperam vulgo *στρέφῃ.* Illud est in membr. et absque iis etiam repositum fuisset.

Στ. δάκνει με δήμαρχός τις ἐκ τῶν στρωμάτων.
Φε. ἔασον, ὦ δαιμόνιε, καταδαρθεῖν τί με.
Στ. σὺ μὲν οὖν κάθευδε· τὰ δὲ χρέα ταῦτ' ἴσθ' ὅτι
εἰς τὴν κεφαλὴν ἅπαντα τὴν σὴν τρέψεται.---
Φεῦ.
εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς,
ἥτις με γῆμαι 'πῆρε τὴν σὴν μητέρα.
ἐμοὶ γὰρ ἦν ἄγροικος ἥδιστος βίος,
εὐρωτιῶν, ἀκόρητος, εἰκῆ κείμενος,
βρύων μελίτταις, καὶ προβάτοις, καὶ στεμφύλοις.
ἔπειτ' ἔγημα Μεγακλέους τοῦ Μεγακλέους
ἀδελφιδῆν, ἄγροικος ὢν, ἐξ ἄστεος,
σεμνὴν, τρυφῶσαν, ἐγκεκοισυρωμένην.
ταύτην ὅτ' ἐγάμουν, ξυγκατεκλινόμην ἐγὼ,

37. δήμαρχος. Scholion Ms. cod. C. δέον εἰπεῖν κόρεις. αἱ γὰρ κόρεις ἐν τοῖς στρώμασιν ὄντες τοὺς ὑπνοῦντας δάκνουσιν. ὁ δὲ μεμνημένος, ὅτι εἰς δικαστήριον ἥξει ὑπὸ τῶν δανειστῶν, δήμαρχος φησί. δήμαρχος δέ ἐστιν, ὁ τοῦ δήμου προστάτης, ὃν φασὶν ἰδιωτικῶς δοῦκαν.

41. εἴθ' ὤφελ'. Parodia primi versus Euripidis Medeæ:

εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτᾶσθαι σκάφος.

προμνήστρια. Gl. ἡ τοῦ γάμου πρόξενος.

42. γῆμαι 'πῆρε. Gl. παρεκίνησε, κατέπεισε. Perperam vulgo, γῆμ' ἐπῆρε. Vide supra ad v. 7.

44. εὐρωτιῶν. Ἐξήγησίς ἐστι τοῦ εἰκῆ κείμενος. τοῖς γὰρ εἰκῆ καὶ ἀμελῶς κειμένοις ἱδρὼς προσίζει καὶ νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος· ὥσπερ αὖ ἐπιμελὴς καὶ καθάριος ὁ τῶν ἀστικῶν. διόπερ καὶ εἰς πενίαν συνεχῶς ὑπὸ τῶν ποιητῶν τύπτεται καὶ ὀνειδίζεται, ὥς φησι Μένανδρος·

ὡς εἰς τὰ καθαρὰ λιμὸς εἰσοικίζεται.

Suidas.—ἀκόρητος. Gl. ἀκαλλώπιστος. Eustathius ad Il. p. 951. i. 41. Ἰστέον δὲ καὶ ὅτι οἱ Ἀττικοὶ ἀκόρητόν φασι τὸ ἀκαλλώπιστον καὶ ἀφιλοκάλητον, ὡς δηλοῖ καὶ ὁ Κωμικὸς ἐν τῷ, βίον ἀκόρητον, εἰκῆ κείμενον. τοῦ δὲ τοιούτου ἀκορήτου θέμα τὸ κορῶ. ἐξ οὗ ἐκκορεῖν Ἑλλάδα ἡ κωμῳδία λέγει, τὸ ἐκκενοῦν καὶ καθαίρειν ὡσεὶ καὶ ἐσαροῦτο κατὰ τὰς φιλοκαλουμένας οἰκίας. Respicit versum Pacis 59.

45. στεμφύλοις. Gl. τοῖς περιχεομέναις σταφύλαις. Falso. Phrynichus: στέμφυλα. οἱ μὲν πολλοὶ, τὰ τῶν βοτρύων ἐκπιέσματα, ἀμαθῶς· οἱ δ' Ἀττικοὶ, στέμφυλα τὰ τῶν ἐλαῶν. Thomas M. στέμφυλα οἱ πολλοὶ, τὰ τῶν βοτρύων μετὰ τὸ ἐκπιεσθῆναι· οἱ δ' Ἀττικοὶ, στέμφυλα τὰ τῶν ἐλαῶν.

48. σεμνήν. Gl. σοβαρὰν τὸ ἦθος. ἐγκεκοισυρωμένην. Schol. Ms. περισσῶς κεκοσμημένην, κεκαλλωπισμένην, ὁμοίως τῇ Κοισύρᾳ. αὕτη δὲ ἦν γυνή τις πάνυ ἑαυτὴν κοσμοῦσα ἱματίοις καὶ τῇ ἄλλῃ διαίτῃ, ὡς τοὺς ἐρῶντας ἐκπλήττεσθαι. Suidas ex antiquis scholiis Cœsyram Pisistrati uxorem fuisse dicit; juxta alios, Alcmæonis, quod probabilius est. Namque in Acharn. 614. ὁ Κοισύρας Megacles appellatur.

ὄζων τρυγὸς, τρασιᾶς, ἐρίων περιουσίας·
ἡ δ' αὖ, μύρου, κρόκου, καταγλωττισμάτων,
δαπάνης, λαφυγμοῦ, Κωλιάδος, Γενετυλλίδος.
οὐ μὴν ἐρῶ γ', ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα.
ἐγὼ δ' ἂν, αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ,
πρόφασιν, ἔφασκον· Ὦ γύναι, λίαν σπαθᾷς.
Θε. ἔλαιον ἡμῖν οὐκ ἔνεστ' ἐν τῷ λύχνῳ.
Στ. οἴμοι· τί γάρ μοι τὸν πότην ἧπτες λύχνον;
δεῦρ' ἔλθ' ἵνα κλάῃς.
Θε. διατί δῆτα κλαύσομαι;
Στ. ὅτι τῶν παχειῶν ἐνετίθεις θρυαλλίδων.—
Μετὰ ταῦθ', ὅπως νῷν ἐγένεθ' υἱὸς οὑτοσὶ,
ἐμοί τε δὴ καὶ τῇ γυναικὶ τῇ 'γαθῇ,
περὶ τοὐνόματος δὴ ταῦτ' ἐλοιδορούμεθα.
ἡ μὲν γὰρ ἵππον προσετίθει πρὸς τοὔνομα,
Ξάνθιππον, ἢ Χάριππον, ἢ Καλλιππίδην·
ἐγὼ δὲ τοῦ πάππου 'τιθέμην Φειδωνίδην.
τέως μὲν οὖν ἐκρινόμεθ'· εἶτα τῷ χρόνῳ
κοινῇ ξυνέβημεν, κἀθέμεθα Φειδιππίδην.
τοῦτον τὸν υἱὸν λαμβάνουσ' ἐκορίζετο;
Ὅταν σὺ μέγας ὢν ἅρμ' ἐλαύνῃς πρὸς πόλιν,
ὥσπερ Μεγακλέης, ξυςίδ' ἔχων — — — ἐγὼ δ' ἔφην·

50. τρυγός. Bene Schol. νέου οἴνου. Hesych. τρύγα. οἶνον ἀδιήθητον ἀπὸ ληνοῦ.—τρασιᾶς. Gl. ξύλον ἐν ᾧ τὰς ὀπώρας ἐξήραινον.

51. Schol. Ms. καταγλώττισμά ἐστιν, ὅταν ἐν τῷ καιρῷ τῆς συνουσίας ὁ ἀνὴρ τὴν γλῶτταν αὐτοῦ τῷ τῆς γυναικὸς ἐμβάλλῃ στόματι. ἔστι δὲ καὶ ὁ λαφυγμὸς κατὰ μέν τινας τὸ αὐτό· κατὰ δέ τινας, ἡ ἄλογος καὶ καθ' ὑπερβολὴν δαπάνη. ἔστι γὰρ λάπτω καὶ λαφύσσω τὸ ῥοφῶ, κυρίως ἐπὶ κυνῶν καὶ χοίρων. ὅθεν παράγεται καὶ ὁ λαφυγμός. εἰκότως δὲ ταῦτα καταλέγει, δεικνὺς ὅτι αἱ εὐγενεῖς γυναῖκες ὑπὸ τῆς λίαν τρυφῆς τοιαῦτα πράττουσι.

53. ἐσπάθα, *telam texebat*: proprie *telam spatha densabat*. In ambiguitate hujus verbi ludit, quod significat etiam *prodigere*. Hesych. σπαθᾷ. τρυφᾷ ἀναλίσκει, ἀσώτως καὶ ἀφειδῶς ἀλαζονεύεται.

57. Suidas: πότης λύχνος, παρὰ Ἀττικοῖς, ὁ πολὺ ἔλαιον ἀναλίσκων. Confer Herodiani Philetærum p. 432.

58. διατί δῆτα κλαύσομαι;· Sic recte codd. A. B. Vulgo διατὶ δὴ κλαύσομαι, claudicante versu.

61. τῇ 'γαθῇ. Male in A. C. τῇ ἀγαθῇ.

66. τέως. Gl. μέχρι τινός. τῷ χρόνῳ, μόλις.

68. ἐκορίζετο. Gl. ἐκολάκευε.

70. ξυςίδ'. Schol. Ms. ξυςὶς εἶδος ἱμα-

Ὅταν μὲν οὖν τὰς αἶγας ἐκ τοῦ Φελλέως,
ὥσπερ ὁ πατήρ σου, διφθέραν ἐνημμένος---
ἀλλ' οὐκ ἐπίθετο τοῖς ἐμοῖς οὐδὲν λόγοις,
ἀλλ' ἵππερόν μου κατέχεεν τῶν χρημάτων.
νῦν οὖν ὅλην τὴν νύκτα φροντίζων, ὁδοῦ
μίαν εὗρον ἀτραπὸν δαιμονίως ὑπερφυᾶ,
ἣν, ἢν ἀναπείσω τουτονὶ, σωθήσομαι.
ἀλλ' ἐξεγεῖραι πρῶτον αὐτὸν βούλομαι.
πῶς δῆτ' ἂν ἥδιστ' αὐτὸν ἐπεγείραιμι; πῶς;
Φειδιππίδη, Φειδιππίδιον.

Φε. τί, ὦ πάτερ;
Στ. κύσον με, καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν.
Φε. ἰδού. τί ἐστιν.
Στ. εἰπ' ἐμοὶ, φιλεῖς ἐμέ;
Φε. νὴ τὸν Ποσειδῶ τουτονὶ τὸν Ἵππιον.
Στ. μή μοι γε τοῦτον μηδαμῶς τὸν Ἵππιον.
οὗτος γὰρ ὁ θεὸς αἴτιός μοι τῶν κακῶν.
ἀλλ' εἴπερ ἐκ τῆς καρδίας μ' ὄντως φιλεῖς,
ὦ παῖ, πιθοῦ.
Φε. τί οὖν πίθωμαι δῆτά σοι;
Στ. ἔκστρεψον ὡς τάχιστα τοὺς σαυτοῦ τρόπους,
καὶ μάνθαν' ἐλθὼν ἃ 'ν ἐγὼ παραινέσω.
Φε. λέγε δὴ, τί κελεύεις;
Στ. καί τι πείσει;

τίου πορφυροῦ. ἄλλοι δέ φασι τὸ ἰδιωτικῶς λεγόμενον σωσάνιον καὶ σῶζον τοὺς ἄνδρας.

73. ἐπίθετο. Sic cum Bentleio lego. Vulgo minus numerose ἐπείθετο.

74. ἵππερον. Gl. ἱππικὸν ἔρωτα, ἀφανισμόν. Recte in membr. scriptum est κατέχεεν, quod absque iis etiam ob versum reponi debebat. Male vulgo κατέχει.

81. κύσον με. Perperam vulgo κῦσόν με. Prima in κύω, κυνῶ corripitur semper. Vide Ran. 755. 788. Æschylus Prom. 944.

οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν, σοφοί. Confer not. ad Apollonium i. 1238.—τὴν δεξιάν. Schol. Ms. ἔθος ἦν τοῖς παλαιοῖς τὰς δεξιὰς διδόναι ἀλλήλοις εἰς βεβαίωσιν τῶν συνθηκῶν. καὶ Ὅμηρος (Ἰλ. ζ'. 233.)

χεῖράς τ' ἀλλήλων λαβέτην, καὶ πιστώσαντο.

87. τί οὖν πίθωμαι; Sic recte Dawesius, cujus emendationi favet cod. C. in quo πίθομαι. Vulgo πιθοῦμαι. In meo πειθοῦμαι.

Φε. πείσομαι,
νὴ τὸν Διόνυσον.
Στ. δεῦρό νύν γ᾽ ἀπόϐλεπε.
ὁρᾷς τὸ θύριον τοῦρο καὶ τῳκίδιον;
Φε. ὁρῶ. τί οὖν τοῦτ᾽ ἐστὶν ἐτεὸν, ὦ πάτερ;
Στ. ψυχῶν σοφῶν τοῦτ᾽ ἐστὶ φροντιστήριον.
ἐνταῦθ᾽ ἐνοικοῦσ᾽ ἄνδρες, οἱ τὸν οὐρανὸν
λέγοντες ἀναπείθουσιν, ὡς ἔστιν πνιγεὺς,
κᾆστιν περὶ ἡμᾶς οὗτος· ἡμεῖς δ᾽ ἄνθρακες.
οὗτοι διδάσκουσ᾽, ἀργύριον ἤν τις διδῷ,
λέγοντα νικᾷν καὶ δίκαια κᾄδικα.
Φε. εἰσὶν δὲ τίνες;
Στ. οὐκ οἶδ᾽ ἀκριϐῶς τοὔνομα·
μεριμνοφροντισταὶ καλοί τε κἀγαθοί.
Φε. αἰϐοῖ· πονηροί γ᾽, οἶδα. τοὺς ἀλαζόνας,
τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγεις,
ὧν ὁ κακοδαίμων Σωκράτης καὶ Χαιρεφῶν.
Στ. ἤ, ἤ, σιώπα· μηδὲν εἴπῃς νήπιον.
ἀλλ᾽ εἴ τι κήδει τῶν πατρῴων ἀλφίτων,
τούτων γενοῦ μοι, σχασάμενος τὴν ἱππικήν.
Φε. οὐκ ἂν, μὰ τὸν Διόνυσον, εἰ δοίης γ᾽ ἐμοὶ

92. τῳκίδιον. τὸ οἰκίδιον. Ad hanc formam in Thesm. 349. scribi debuit:

κακῶς ἀπολέσθαι τοῦτον αὐτὸν κᾠκίαν.

non, ut ibi reliquimus, κοἰκίαν Sic Ran. 511. κᾦνον pro καὶ οἶνον.

94. φροντιστήριον. Hesych. διατριϐὴ καὶ τὸ οἴκημα Σωκράτους, καὶ τὸ σχολεῖον. Ipse etiam Socrates φροντιστὴς appellabatur. Vide Lamb. Bos Observatt. critt. p. 63.

96. ὡς ἔστιν πνιγεύς. Sic ad metri legem scribendum fuit. Perperam vulgo ἐστι. Gl. πνιγεὺς, κάμινος.

98. ἀργύριον ἤν τις διδῷ. De Socrate vere dici hoc non potuit, qui nunquam ab auditoribus suis mercedem accepit. Sed hoc faciebant plerique alii Sophistæ. Hac autem fabula sub persona Socratis philosophos omnes traducit Aristophanes, et quæ singulis in ratione vitæ et doctrina inerant ridicula, ea simul omnia in Socratem confert. Sic solent etiamnum Comici nostri, qui in personam aliquam fictam vitia et ridicula congerunt in multis hominibus observata. Hoc non ignorabant Athenienses, quorum nulli non notus erat Socrates. Hujus observationis meminisse lectorem velim ad omnes locos, ubi Socrati, qui philosophorum omnium personam sustinet, vel dogmata vel actiones tribuuntur, a quibus eum scimus fuisse alienissimum.

105. νήπιον. Gl. μωρόν.

107. σχασάμενος. Gl. ἀφείς.

τοὺς Φασιανοὺς, οὓς τρέφει Λεωγόρας.

Στ. ἴθ', ἀντιβολῶ σ', ὦ φίλτατ' ἀνθρώπων ἐμοὶ,
ἐλθὼν διδάσκου.

Φε. καὶ τί σοι μαθήσομαι;

Στ. εἶναι παρ' αὐτοῖς φασὶν ἄμφω τὼ λόγω,
τὸν κρείττον', ὅστις ἐστὶ, καὶ τὸν ἥττονα.
τούτοιν τὸν ἕτερον τοῖν λόγοιν, τὸν ἥττονα.
νικᾶν λέγοντα φασὶ τἀδικώτερα.
ἢν οὖν μάθῃς μοι τὸν ἄδικον τοῦτον λόγον,
ἃ νῦν ὀφείλω διὰ σὲ, τούτων τῶν χρεῶν
οὐκ ἂν ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενί.

Φε. οὐκ ἂν πιθοίμην. οὐ γὰρ ἂν τλαίην ἰδεῖν
τοὺς ἱππέας, τὸ χρῶμα διακεκναισμένος.

Στ. οὐκ ἄρα, μὰ τὴν Δήμητρα, τῶν γ' ἐμῶν ἔδει,
οὔτ' αὐτὸς, οὔθ' ὁ ζύγιος, οὔθ' ὁ σαμφόρας·
ἀλλ' ἐξελῶ σ' ἐς κόρακας ἐκ τῆς οἰκίας.

Φε. ἀλλ' οὐ περιόψεταί μ' ὁ θεῖος Μεγακλέης
ἄνιππον. ἀλλ' εἴσειμι, σοῦ δ' οὐ φροντιῶ.

Στ. ἀλλ' οὐδ' ἐγὼ μέντοι πεσών γε κείσομαι·

109. τοὺς Φασιανούς. Nulla est hic ambiguitas: de Phasianis gallinis hoc intelligendum. Enimvero absurdum esset adolescentem dicere: *equitandi studium non abjicerem, etiamsi mihi dares pulcherrimos equos.* Præterea notæ gulositatis Leogoras gallinas Phasianas saginabat; nihil illi cum equis fuit rei. Vid. not. ad Phrynichum p. 204.

114. In fine hujus versus τὸν ἥττονα scribi debuit, ut in superioris fine, et sic est in iv. codd. Perperam vulgo ἥσσονα.

115. τἀδικώτερα. Sic tres Regii. Vulgo τἀδικώτατα. Comparativus sic eleganter adhibetur vice superlativi.

119. οὐκ ἂν πιθοίμην. In meo, licet reclamante metro, πειθοίμην. Frequentissima horum permutatio.

120. τὸ χρῶμα διακεκναισμένος. Gl. βεβλαμμένος, ἐφθαρμένος, ὠχρὸς, οἷόν ἐστι τὸ τῶν φιλοσόφων.

121. ἴδει. Confer not. ad Conc. 595.

126. Metaphora sumta a luctatoribus, qui nisi ter dejecti fuissent, pro victis non habebantur. Semel dejectus iterumque surgebat, certamenque integrabat. Vide Lucillii epigramm. xx. in Milonem. Summo cum judicio nuperus Sophoclis commentator hunc Comici versum Euripidi admovit, apud quem Orestis initio Electra de fratre suo ait juxta Musgravii emendationem, quam, licet codd. aliquot auctoritate suffultam, probandam non censui:

νοσεῖ
τλήμων Ὀρέστης· οὐδὲ πεσὼν ἐν δεμνίοις
κεῖται

Quod, ut huic Comici loco assimuletur, significare necesse est: *Neque cum*

ἀλλ' εὐξάμενος τοῖσιν θεοῖς, διδάξομαι
αὐτὸς, βαδίζων εἰς τὸ Φροντιστήριον.
πῶς οὖν γέρων ὢν, κἀπιλήσμων, καὶ βραδὺς,
λόγων ἀκριβῶν σχινδαλάμους μαθήσομαι;
ἰτητέον. τί ταῦτ' ἔχων στραγγεύομαι,
ἀλλ' οὐχὶ κόπτω τὴν θύραν; παῖ, παιδίον.
Μα. βάλλ' ἐς κόρακας. τίς ἔσθ' ὁ κόψας τὴν θύραν;
Στ. Φείδωνος υἱὸς Στρεψιάδης Κικυννόθεν.
Μα. ἀμαθής γε, νὴ Δί', ὅστις οὑτωσὶ σφόδρα
ἀπεριμερίμνως τὴν θύραν λελάκτικας,
καὶ φροντίδ' ἐξήμβλωκας ἐξευρημένην.
Στ. ξύγγνωθί μοι· τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν.
ἀλλ' εἰπέ μοι τὸ πρᾶγμα τοὐξημβλωμένον.
Μα. ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσιν λέγειν.
Στ. λέγε νυν ἐμοὶ θαῤῥῶν. ἐγὼ γὰρ οὑτοσὶ
ἥκω μαθητὴς εἰς τὸ Φροντιστήριον.
Μα. λέξω. νόμισαι δέ σε ταῦτα χρὴ μυστήρια.
ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης

morbo conflictatus, postquam in lecto cecidit, jacendo se victum profitetur; sed exsurgit, et cum morbo denuo colluctatur. Bella mehercule sententia!

130. σχινδαλάμους. Perperam vulgo σκινδαλμοὺς, corruptis numeris. Ex usu Atticæ dialecti litera aspirata pro tenui reponenda fuit. Vide not. ad Ran. 819. Productiorem formam σχινδαλάμους sola metri necessitas tuetur: accedit etiam codicis auctoritas: in B. scriptum σκινδαλάμους. Hesych. σκινδάλαμος. σκόλοψ. τινὲς δὲ διὰ τοῦ χ, σχινδάλαμος. ἄλλοι, σκινδαλμός. Quæ ad hanc glossam voci explicandæ affert Lamb. Bos, sunt bonæ notæ. Sed senariorum leges nec prosodiam græcam noverat, si δαλμους pro iambo habuit, aut si spondeum ibi stare posse credidit.

131. στραγγεύομαι. Gl. ἀναβάλλω, καὶ διατρίβω. βραδύνω. In C. atramento scriptum στρατ. reliqua vocis pars minio scripta ηγεύομαι. Primo librarius scribere voluit στρατεύομαι, quod verbum sæpe cum στραγγεύομαι commutatum. Vide Hesychii interpretes ad glossam στρατεύομαι, διατρίβω. in primis vero elegantissimum Valckenarium ad Ammonium L. ii. cap. xiii.

136. τὴν θύραν λελάκτικας. Alia metaphora Plautus Truc. ii. 2.

Quis illic est, qui tam proterve nostras ædes arietat?

137. ἐξήμβλωκας. Gl. ἡμιτελῆ ἐποίησας διαφθείρας. Allusio ad Socratis matrem quæ obstetrix erat: ipse autem dicere solebat se eandem artem exercere, ὅτι τέχνην ἔχω τὴν μαιευτικὴν, καὶ διὰ ταύτης ποιῶ τοὺς νέους ἀποτίκτειν τὰ νοήματα ἐν τῇ ἑαυτῶν ψυχῇ. Schol.

ψύλλαν, ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας.
δακοῦσα γὰρ τοῦ Χαιρεφῶντος τὴν ὀφρῦν,
ἐπὶ τὴν κεφαλὴν τοῦ Σωκράτους ἀφήλατο.
Στ. πῶς δῆτα τοῦτ' ἐμέτρησε;
Μα. δεξιώτατα.
κηρὸν διατήξας, εἶτα τὴν ψύλλαν λαβὼν
ἐνέβαψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε·
κᾆτα ψυγείσῃ περιέφυσαν Περσικαί.
ταύτας ὑπολύσας, ἀνεμέτρει τὸ χωρίον.
Στ. ὦ Ζεῦ βασιλεῦ, τῆς λεπτότητος τῶν φρενῶν.
Μα. τί δῆτ' ἄν, ἕτερον εἰ πύθοιο Σωκράτους
φρόντισμα;
Στ. ποῖον; ἀντιβολῶ, κάτειπέ μοι.
Μα. ἀνήρετ' αὐτὸν Χαιρεφῶν ὁ Σφήττιος,
ὁπότερα τὴν γνώμην ἔχοι, τὰς ἐμπίδας
κατὰ τὸ στόμ' ᾄδειν, ἢ κατὰ τοὐῤῥοπύγιον.
Στ. τί δῆτ' ἐκεῖνος εἶπε περὶ τῆς ἐμπίδος;
Μα. ἔφασκεν εἶναι τοὔντερον τῆς ἐμπίδος
στενόν· διαλέπτου δ' ὄντος αὐτοῦ, τὴν πνοὴν
βίᾳ βαδίζειν εὐθὺ τοὐῤῥοπυγίου·
ἔπειτα κοῖλον πρὸς στενῷ προσκείμενον
τὸν πρωκτὸν ἠχεῖν ὑπὸ βίας τοῦ πνεύματος.
Στ. σάλπιγξ ὁ πρωκτός ἐστιν ἄρα τῶν ἐμπίδων.
ὢ τρισμακάριος τοῦ διεντερεύματος.
ἦ ῥᾳδίως φεύγων ἂν ἀποφύγοι δίκην,
ὅστις δίοιδε τοὔντερον τῆς ἐμπίδος.
Μα. πρώην δέ γε γνώμην μεγάλην ἀφῃρέθη
ὑπ' ἀσκαλαβώτου.
Στ. τίνα τρόπον; κάτειπέ μοι.

145. τοὺς αὑτῆς. Sic tres codd. melius quam vulgo αὐτῆς.

166. τοῦ διεντερεύματος. Gl. τῆς περὶ τοῦ ἐντέρου λεπτολογίας καὶ φυσιολογίας.

170. ὑπ' ἀσκαλαβώτου. *Stellio lacerti genus est, quo Galli, Germani, Anglique carent; cujus proinde nomen ii nullum habent.* Harduinus ad Plinium T. i. p. 606. Quin juxta Plinium T. ii. p. 508.

Μα. ζητοῦντος αὐτοῦ τῆς σελήνης τὰς ὁδοὺς,
καὶ τὰς περιφορὰς, εἶτ' ἄνω κεχηνότος,
ἀπὸ τῆς ὀροφῆς νύκτωρ γαλεώτης κατέχεσεν.
Στ. ἥσθην γαλεώτῃ καταχέσαντι Σωκράτους.
Μα. ἐχθὲς δέ γ' ἡμῖν δεῖπνον οὐκ ἦν ἑσπέρας.
Στ. εἶεν. τί οὖν πρὸς τἄλφιτ' ἐπαλαμήσατο;
Μα. κατὰ τῆς τραπέζης καταπάσας λεπτὴν τέφραν,
κάμψας ὀβελίσκον, εἶτα διαβήτην λαβὼν,
ἐκ τῆς παλαίστρας θοἰμάτιον ὑφείλετο.
Στ. τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν;
ἄνοιγ', ἄνοιγ' ἀνύσας, τὸ φροντιστήριον,
καὶ δεῖξον ὡς τάχιστά μοι τὸν Σωκράτη.
μαθητιῶ γάρ. ἀλλ' ἄνοιγε τὴν θύραν.
ὦ Ἡράκλεις. ταυτὶ ποδαπὰ τὰ θηρία;
Μα. τί ἐθαύμασας; τῷ σοι δοκοῦσιν εἰκέναι;
Στ. τοῖς ἐκ Πύλου ληφθεῖσι τοῖς Λακωνικοῖς.
ἀτὰρ τί ποτ' ἐς τὴν γῆν βλέπουσιν οὑτοιί;
Μα. ζητοῦσιν οὗτοι τὰ κατὰ γῆς.
Στ. βολβοὺς ἄρα

stellio, quem Græci coloten vocant, et ascalaboten, et galeoten, in Italia non nascitur.

179. Monui ad Plut. 985. legendum esse:

ἐκ τῆς παλαίστρας ἱμάτιον ὑφείλετο.

180. Plautus Capt. ii. 2. 24.

Eugepæ! Thalem talento non emam Milesium.
nam ad sapientiam hujus nimius nugator fuit.

182. τὸν Σωκράτη. Codd. τὸν Σωκράτην. Hanc formam præfero ubi vitando hiatu servit: illa magis Attica est, ut κλεισθένη, Ἀντισθένη, aliaque: proinde hic relinqui debuit. Vide not. ad Conc. 366.

185. τῷ σοι δοκοῦσιν εἰκέναι; Perperam vulgo ἐοικέναι. Mœris εἰκὼς, Ἀττικῶς. ἐοικὼς, Ἑλληνικῶς. In Conc. impressi etiam exhibebant v. 1161. προσεοικέναι. In Vesp. 1321. εἰκότας. Quibus in locis altera forma metro non repugnabat. Sic etiam Av. 1298.

Ὄρτυξ ἐκαλεῖτο· καὶ γὰρ εἶχεν ὄρτυγι.

Ad hæc aliaque exempla εἰκέναι, εἰκότες ubique scribendum, ni metri lex obstet, ut Vesp. 1309.

ἔοικας, ὦ πρεσβῦτα, νεοπλούτῳ τρυγί.

1413.

γυναικὶ κληπτούσῃ ἔοικας θαψίνῃ.

Eandem medelam feci Euripidi in Bac. 1273.

μῶν σοι λέοντι φαίνεται προσεικέναι;

Sic Sophocles Philoct. 903.

ὅταν λιπών τις, δρᾷ τὰ μὴ προσεικότα.

ζητοῦσι. μὴ νῦν τοῦτ' ἔτι φροντίζετε.
ἐγὼ γὰρ οἶδ', ἵν' εἰσὶ μεγάλοι καὶ καλοί.
τί δ' ἄρ' οἵδε δρῶσιν, οἱ σφόδρ' ἐγκεκυφότες;
Μα. οὗτοί γ' ἐρεβοδιφῶσιν ὑπὸ τὸν Τάρταρον.
Στ. τί δῆθ' ὁ πρωκτὸς ἐς τὸν οὐρανὸν βλέπει;
Μα. αὐτὸς καθ' αὑτὸν ἀστρονομεῖν διδάσκεται.
ἀλλ' εἴσιθ', ἵνα μὴ 'κεῖνος ἡμῖν ἐπιτύχῃ.
Στ. μήπω γε, μήπω γ'. ἀλλ' ἐπιμεινάντων, ἵνα
αὐτοῖσι κοινώσω τι πραγμάτιον ἐμόν.
Μα. ἀλλ' οὐχ οἷόν τ' αὐτοῖσι πρὸς τὸν ἀέρα
ἔξω διατρίβειν πολὺν ἄγαν ἐστὶν χρόνον.
Στ. πρὸς τῶν θεῶν, τί γάρ τάδ' ἐστίν; εἰπ' ἐμοί.

189. τοῦτ' ἔτι. Sic A. C. recte. In B. τοῦτο φροντίζετε. In meo τούτου φρ— Vulgo τοῦτό γε.

191. τί δ' ἄρ' οἵδε. Male vulgo τί γὰρ οἵδε. Vocula γὰρ quæ hic locum non habet, e superiore versu repetita fuit.

192. οὗτοί γ' ἐρεβοδιφῶσιν. Sic tres Regii. Vulgo οὗτοι δ'—Gl. ἐρευνῶσι τὰ ὑπὸ—

199. ἄγαν ἐστὶν χρόνον. Vulgo ἄγαν γ' ἐστὶ χρόνον. Primo istud γε recte abest a tribus Regiis. Tum ἐστὶν ob metrum scribi oportuit. Insertum fuit γε ab inepto librario prosodiæ imperito. Ultima in ἄγαν poëtis Atticis semper producitur. Vide quæ notavi ad Euripidis Androm. 364. Quæ ibi proposita fuit Sophoclei versus in Ajace 965. emendatio, quam suo loco adseram, *Clarissimi Professoris Regii* suffragio comprobata non fuit. Tamen *certi satis nihil videt*. Huic ergo dico, ut Dicæopolis agricolæ illi qui flendo morbum oculorum contraxerat, κλαῖε πρὸς τοὺς Πιττάλου. At ego medico solvam mercedem, si mihi lippus ille unicum e poëtis Atticis versum indubiæ lectionis ostendat, in quo ἄγαν ultimam corripiat. Quod Eustathius ait ad Odyss. β'. 49. id est p. 1433. l. 64. cujus loci indicium Heathio debet: ὅρα δὲ καὶ τὸ πάμπαν συσταλὲν, ὡς τὸ ἄγαν καὶ λίαν. illud scribens humani quid passus est. ἄγαν omittere debebat et λίαν. Quod ad πάμπαν adtinet, ultimam istius adverbii corripi, ipse agnoscit auctor Etymol. M. quem laudavi, sed hoc de ἄγαν et λίαν diserte negat. ἄγαν, τὸ γαν μακρόν. τὰ εἰς αν λήγοντα ἐπιῤῥήματα μακρὸν ἔχουσι τὸ α, οἷον πέραν, λίαν, εὐάν· πλὴν τοῦ ὅταν καὶ πάμπαν. Nullibi apud poëtas Atticos λίαν occurrit ultima brevi. Primam modo producunt, modo corripiunt. Producitur in Antisthenis versibus, quos profero aliter ac leguntur in Floril. Grotii p. 321.

τί φῄς; λαθεῖν ζητῶν τι, πρὸς γυναῖκ' ἐρεῖς
τὸ πρᾶγμα; καὶ τί τοῦτο λίαν διαφέρει,
ἢ πᾶσι τοῖς κήρυξιν ἐν ἀγορᾷ φράσαι;

Vide quæ notavi ad Androm. 860. et Med. 928. Adverbium μακρὰν ultimam etiam semper producit, ut dixi ad Ran. 434. Incerti Tragici versus apud Stobæum de R. N. edit. Grotii p. 127. sic legendus est:

καὶ τὴν Δίκην μακρὰν ἀπῳκίσθαι βροτῶν.

Si legas που μακρὰν pes vel tertius, vel quartus ereticus erit.

Μα. Ἀστρονομία μὲν αὑτηΐ.

Στ. τουτὶ δὲ, τί;

Μα. Γεωμετρία.

Στ. τοῦτ' οὖν τί ἐστι χρήσιμον;

Μα. γῆν ἀναμετρεῖσθαι.

Στ. πότερα τὴν κληρουχικήν;

Μα. οὔκ· ἀλλὰ τὴν ξύμπασαν.

Στ. ἀστεῖον λέγεις.
τὸ γὰρ σόφισμα δημοτικὸν καὶ χρήσιμον.

Μα. αὕτη δέ σοι γῆς περίοδος πάσης. ὁρᾷς;
αἵδε μὲν Ἀθῆναι.

Στ. τί σὺ λέγεις; οὐ πείθομαι·
ἐπεὶ δικαστὰς οὐχ ὁρῶ καθημένους.

Μα. ὡς τοῦτ' ἀληθῶς Ἀττικὸν τὸ χωρίον.

Στ. καὶ ποῦ Κικυννῆς εἰσὶν οἱ 'μοὶ δημόται;

Μα. ἐνταῦθ' ἔνεισιν· ἡ δέ γ' Εὔβοι', ὡς ὁρᾷς,
ἡδὶ, παρατέταται μακρὰ πόῤῥω πάνυ.

Στ. οἶδ'· ὑπὸ γὰρ ἡμῶν παρετάθη καὶ Περικλέους.
ἀλλ' ἡ Λακεδαίμων ποῦ 'στιν;

Μα. ὅπου 'στίν; αὑτηΐ.

201. ἀστρονομία μὲν αὑτηΐ. Gl. σφαῖραν δείκνυσι.

206. αὕτη δέ σοι. Venustam emphasin habet σοι abundans. Vide ad Ran. 1119.

210. καὶ ποῦ Κικυννῆς. Perperam vulgo Κικινεῖς. In A. C. Κικυννεῖς. Genuinam terminationem Atticam meus exhibet Κικυνῆς: sed ν geminari debuit. Pagi nomen est Κίκυννα, unde Κικυννόθεν supra v. 134. Pessime in B. καὶ ποῦ Κυνεῖς. Depravatæ sunt etiam Hesychii glossæ: Κικίννης. δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. Κικίννα. τριχόπλαστος. Scripserat Κίκυννα, δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. δημόται, Κικυννῆς. Tum nomen ad quod pertinet explicato τριχόπλαστος epitomatoris culpa omissum fuit. Dicitur autem Κικυννῆς, ut Ἀχαρνῆς, Κεραμῆς, κωπῆς, ἀμφορῆς, γναφῆς, ἱππῆς, quæ forma est nominativi pluralis nominum omnium in εὺς desinentium. Vide Gregorium de Dial. Att. §. 43. In priore Hesychii glossa Atticam terminationem non animadverterunt interpretes: Κικίννης depravatum a Κικυννῆς. His nominativis ι olim non subscribebant.

213. ὑπὸ γὰρ ἡμῶν. Sic bene duo Regii. Perperam vulgo ὑμῶν. In scholio Ms. est etiam ἡμῶν. Scholii ultima verba apponam. παραστησάμενος γὰρ Περικλῆς τὴν Εὔβοιαν ἐξέτεινε τοὺς αὐτῆς φόρους ἐπιπολύ. τοῦτο οὖν ἔδοξε τῷ Στρεψιάδῃ νοεῖν τὸ, παρατέταται μακρὰ πόῤῥω πάνυ. καὶ διὰ τοῦτο φησίν· οἶδα, ὑπὸ γὰρ ἡμῶν καὶ Περικλέους παρετάθη.

Στ. ὡς ἐγγὺς ἡμῶν. τοῦτο μέγα φροντίζετε,
ταύτην ἀφ' ἡμῶν ἀπαγαγεῖν πόῤῥω πάνυ.
Μα. ἀλλ' οὐχ οἷόν τε, νὴ Δί'.
Στ. οἰμώξεσθ' ἄρα.
φέρε, τίς γὰρ οὗτος οὑπὶ τῆς κρεμάθρας ἀνήρ;
Μα. αὐτός.
Στ. τίς αὐτός;
Μα. Σωκράτης.
Στ. ὦ Σώκρατες.
ἴθ' οὗτος, ἀναβόησον αὐτόν μοι μέγα.
Μα. αὐτὸς μὲν οὖν σὺ κάλεσον. οὐ γάρ μοι σχολή.
Στ. ὦ Σώκρατες,
ὦ Σωκρατίδιον.
Σω. τί με καλεῖς, ὦ 'φήμερε;
Στ. πρῶτον μὲν ὅ τι δρᾷς, ἀντιβολῶ, κάτειπέ μοι.
Σω. ἀεροβατῶ, καὶ περιφρονῶ τὸν ἥλιον.
Στ. ἔπειτ' ἀπὸ ταῤῥοῦ τοὺς θεοὺς ὑπερφρονεῖς,
ἀλλ' οὐκ ἀπὸ τῆς γῆς; εἴπερ—
Σω. οὐ γὰρ ἄν ποτε
ἐξεῦρον ὀρθῶς τὰ μετέωρα πράγματα,

215. *τοῦτο μέγα φροντίζετε.* Sic olim Scholiastes legebat et Suidas in v. *μέγα*, ubi *τὸ μέγα* interpretatur *πάνυ*. Nimirum illud *πάνυ*, quod vulgo hic legitur, e glossemate irrepsit, et invenuste profecto, quum mox sequatur *πόῤῥω πάνυ*. BENTLEI. In B. scriptum *τοῦτο πάνυ μέγα φροντίζετε.*

217. *οἰμώξεσθ' ἄρα.* Gl. *συνεχῶς ὑπ' αὐτῶν ληϊζόμενοι.*

219. *ὦ Σώκρατες.* Sic iv. codd. ut Kusterus edidit. In prioribus editt. adverbium *ὦ* omissum erat. Est autem illud admirantis, non vocantis. Ut hic Socratem Comicus in corbe suspensum exhibet, sic Acharn. Euripidem in machina theatrali.

225. Quæ hic Socrati affinguntur, de aliis sophistis, quos sub persona Socratis universos irridet Comicus, vera sunt: at ille, ut ait Cicero Academ. i. a rebus occultis et ab ipsa natura involutis avocavit philosophiam, et ad vitam communem adduxit, ut de virtutibus et vitiis, omninoque de bonis rebus et malis quæreret. Cœlestia autem vel procul esse a nostra cognitione censebat, vel, si maxime cognita essen, nihil tamen ad bene vivendum.

227. *εἴπερ*—Strepsiadis sermonem abrumpit Socrates: dicturus erat ille *εἴπερ ἔξεστι περιφρονεῖν τοὺς θεοὺς δηλονότι.* Sic sententiam supplet scholion Ms. in membr.

εἰ μὴ κρεμάσας τὸ νόημα, καὶ τὴν φροντίδα
λεπτὴν καταμίξας ἐς τὸν ὅμοιον ἀέρα·
εἰ δ' ὢν χαμαὶ τἄνω κάτωθεν ἐσκόπουν,
οὐκ ἄν ποθ' εὗρον. οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ
ἕλκει πρὸς αὑτὴν τὴν ἰκμάδα τῆς φροντίδος.
πάσχει δὲ ταυτὸ τοῦτο καὶ τὰ κάρδαμα.
Στ. τί φῄς;
ἡ φροντὶς ἕλκει τὴν ἰκμάδ' εἰς τὰ κάρδαμα;
ἴθι νῦν, κατάβηθ', ὦ Σωκρατίδιον, ὡς ἐμὲ,
ἵνα μ' ἐκδιδάξῃς, ὧνπερ οὕνεκ' ἐλήλυθα.
Σω. ἦλθες δὲ κατὰ τί;
Στ. βουλόμενος μαθεῖν λέγειν.
ὑπὸ γὰρ τόκων, χρήστων τε δυσκολωτάτων,
ἄγομαι, φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι.
Σω. πόθεν δ' ὑπόχρεως σαυτὸν ἔλαθες γενόμενος;
Στ. νόσος μ' ἐπέτριψεν ἱππικὴ, δεινὴ φαγεῖν.
ἀλλά με δίδαξον τὸν ἕτερον τοῖν σοῖν λόγοιν,
τὸν μηδὲν ἀποδιδόντα. μισθὸν δ', ὅν τιν' ἂν
πράττῃ μ', ὀμοῦμαι, σοι καταθήσειν, τοὺς θεούς.
Σω. ποίους θεοὺς ὀμεῖ σύ; πρῶτον γὰρ θεοὶ
ἡμῖν νόμισμ' οὐκ ἔστι.
Στ. τῷ δ' ἄρ' ὄμνυτ'; ἢ
σιδαρέοισιν, ὥσπερ ἐν Βυζαντίῳ;
Σω. βούλει τὰ θεῖα πράγματ' εἰδέναι σαφῶς,
ἅττ' ἐστὶν ὀρθῶς;
Στ. νὴ Δί', εἴπερ ἐστί γε.
Σω. καὶ ξυγγενέσθαι ταῖς Νεφέλαισιν ἐς λόγους,
ταῖς ἡμετέραισι δαίμοσιν;

247. *θεοὶ ἡμῖν νόμισμ' οὐκ ἔστι.* Sic Euripides, qui philosophus etiam erat, et insuper poëta bonus, in Ranis ait v. 889.

ἕτεροι γάρ εἰσιν, οἶσιν εὔχομαι, θεοί.

Philosophorum de Diis opiniones exagitat Comicus, absque ullo religionis studio. Nam et ipse deos passim in fabulis suis irridet. Qui autem deos ita ridicule traduxit, non ægre ferre potuit, si quis eos nihil esse doceret. Quod autem Socrates ait *νόμισμα*, id alio sensu accipit Strepsiades, nimirum pro *nummo*.

Στ. μάλιστά γε.
Σω. κάθιζε τοίνυν ἐπὶ τὸν ἱερὸν σκίμποδα.
Στ. ἰδοὺ κάθημαι.
Σω. τουτονὶ τοίνυν λαβὲ
τὸν στέφανον.
Στ. ἐπὶ τί στέφανον; οἴμοι, Σώκρατες,
ὥσπερ με τὸν Ἀθάμανθ' ὅπως μὴ θύσετε.
Σω. οὔκ· ἀλλὰ πάντα ταῦτα τοὺς τελουμένους
ἡμεῖς ποιοῦμεν.
Στ. εἶτα δὴ τί κερδανῶ;
Σω. λέγειν γενήσει τρίμμα, κρόταλον, παιπάλη.
ἀλλ' ἔχ' ἀτρέμας.
Στ. μὰ τὸν Δί' οὐ ψεύσει γ' ἐμέ.
καταπαττόμενος γὰρ παιπάλη γενήσομαι.

Σωκράτης.

εὐφημεῖν χρὴ τὸν πρεσβύτην, καὶ τῆς εὐχῆς ὑπακούειν.
ὦ δέσποτ' ἄναξ, ἀμέτρητ' Ἀὴρ, ὃς ἔχεις τὴν γῆν μετέωρον,
λαμπρός τ' Αἰθὴρ, σεμναί τε θεαὶ Νεφέλαι βροντησικέραυνοι,
ἄρθητε, φάνητ', ὦ δέσποιναι, τῷ φροντιστῇ μετέωροι.

Στρεψιάδης.

μήπω, μήπω γε, πρὶν ἂν τουτὶ πτύξωμαι, μὴ καταβρεχθῶ.
τὸ δὲ μὴ κυνέην οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον' ἔχοντα.

Σωκράτης.

ἔλθετε δῆτ', ὦ πολυτίμητοι Νεφέλαι, τῷδ' εἰς ἐπίδειξιν,

257. Allusio est in hoc versu ad Sophoclis *Athamantem coronatum*, quo in dramate introducebatur Athamas caput corona redimitus, aræque admovebatur Jovis, ut immolaretur, Phryxoque, qui mortuus esse credebatur, pœnas lueret; at interventu Herculis nuntiantis Phryxum vivere et apud Colchos esse, liberabatur.

260. παιπάλη. Gl. λεπτολόγος.

262. καταπαττόμενος γὰρ παιπάλη γενήσομαι. *Dum hæc dicit, comminuit super Strepsiadis capite lapides friabiles, aut eum farina conspergit, ut victimæ solebant* mola *conspergi; nam et iste tanquam victima coronatus erat.* Ita Berglerus e Scholiaste. Sed aliter hæc acceperunt veteres magistri: glossa, καταπαττόμενος ὑπὸ σοῦ ταῖς πληγαῖς διὰ τὰ μαθήματα, παιπάλη γενήσομαι. *Ita me pugnis comminues, ut facile pollen fiam.*

268. κυνέην. Sic ob metrum scribi oportuit. Vulgo κυνῆν, corruptis numeris. Prima hujus nominis syllaba semper corripitur. Vide Lys. 751. 754. 757.

269. δῆτ', ὦ. In A. C. δὴ ὦ. Alibi

εἴτ' ἐπ' Ὀλύμπου κορυφαῖς ἱεραῖς χιονοβλήτοισι κάθησθε,
εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις ἱερὸν χορὸν ἵστατε Νύμφαις,
εἴτ' ἄρα Νείλου προχοαῖς ὑδάτων χρυσέῃς ἀρύτεσθε πρόχουσιν,
ἢ Μαιῶτιν λίμνην ἔχετ', ἢ σκόπελον νιφόεντα Μίμαντος·
ἐπακούσατε δεξάμεναι θυσίαν, καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.

Χο. ἀέναοι Νεφέλαι
ἀρθῶμεν φανεραὶ,
δροσερὰν φύσιν εὐάγητοι,
πατρὸς ἀπ' Ὠκεανοῦ βαρυαχέος
ὑψηλῶν ὀρέων κορυφὰς ἐπὶ
δενδροκόμους, ἵνα
τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα,
καρπούς τ' ἀλδομέναν ἱερὰν χθόνα,
καὶ ποταμῶν ζαθέων κελαδήματα,
καὶ πόντον κελάδοντα βαρύβρομον.
ὄμμα γὰρ αἰθέρος ἀ-
κάματον σελαγεῖται
μαρμαρέαισιν αὐγαῖς.

δὴ pro δῆτ' male positum observare memini.

272. *χρυσέῃς ἀρύτεσθε πρόχουσιν.* Vulgo *χρυσέαις ἀρύεσθε πρ.* Feminini generis est nomen *πρόχους.* Vide Piersonum ad Mœrin p. 296. In duobus Regiis scriptum est *χρυσέαις.* Euphoniæ gratia præferri debuit Ionica forma poëtis Atticis frequentata, quam adfirmat Thomas M. in *χοή.* Atticam formam *ἀρύτεσθε* reposui e Suida in *ἀρύτεσθαι.* Conferatur Kœnius ad Corinthum p. 28. Ordo est: *εἴτ' ἄρα ἐν ταῖς προχοαῖς ὑδάτων Νείλου ἀρύτεσθε χρυσέῃς πρόχουσιν.*

Scriptura codicis est: *χρυσέαις ἀρύεσθε προχόησιν.* Glossa postremæ voci superscripta, *ἀγγείοις.*

274. *τοῖς ἱεροῖσι χαρεῖσαι.* Cod. *φανεῖσαι,* cum gl. *παραγενόμεναι.*

277. *δροσερὰν φύσιν εὐάγητοι.* Vulgo *εὐάγητον.* Glossæ: *πάντη φερόμενον. εὐκίνητον· τοιοῦτον γὰρ τὸ ὕδωρ.* Sed vera est lectio *εὐάγητοι,* quam ex emendatione Jo. Toupii reposui, ad Suidam iii. 305.

282. *καρπούς τ' ἀλδομέναν ἱερὰν χθόνα.* Vulgo legitur: *καρπούς τ', ἀρδομέναν θ' ἱερὰν χθόνα.* Id est, Berglero interprete; *fructusque et sacram tellurem, dum irrigatur.* Quod profecto ineptissimum est. In membr. copula post *ἀρδομέναν* non comparet. Unius itaque literæ mutatione, Λ pro Ρ posito, genuinam elegantemque lectionem restitui.

287. *μαρμαρέαισιν αὐγαῖς.* Sic B. In duobus aliis Regiis *μαρμαρέαις ἐν αὐγαῖς.* Alterutra lectio recipienda fuit. Nam vulgatæ *μαρμαρέαισιν ἐν αὐγαῖς* metrum repugnat.

Cod. *μαρμαραίνῃσιν αὐγαῖς,* omissa præpositione. Inde lucrifacere possimus formam Ionicam *μαρμαρέῃσιν.*

ἀλλ᾽ ἀποσεισάμεναι νέφος ὄμβριον,
ἀθανάταις ἰδέαις ἐπιδώμεθα
τηλεσκόπῳ ὄμματι γαῖαν.

Σωκράτης.

ὦ μέγα σεμναὶ Νεφέλαι, φανερῶς ἠκούσατέ μου καλέσαντος.
ἤσθου φωνῆς ἅμα καὶ βροντῆς μυκησαμένης θεοσέπτου;

Στρεψιάδης.

καὶ σέβομαί γ᾽, ὦ πολυτίμητοι, καὶ βούλομαι ἀνταποπαρδεῖν
πρὸς τὰς βροντάς· οὕτως αὐτὰς τετρεμαίνω καὶ πεφόβημαι.
κεἰ θέμις ἐστὶν, νυνί γ᾽ ἤδη, κεἰ μὴ θέμις ἐστὶ, χεσείω.

Σωκράτης.

οὐ μὴ σκώψεις, μηδὲ ποιήσεις, ἅπερ οἱ τρυγοδαίμονες οὗτοι·
ἀλλ᾽ εὐφήμει· μέγα γάρ τι θεῶν κινεῖται σμῆνος ἀοιδαῖς.

Χο. παρθένοι ὀμβροφόροι,
ἔλθωμεν λιπαρὰν
χθόνα Παλλάδος, εὔανδρον γᾶν
Κέκροπος ὀψόμεναι πολυήρατον,
οὗ σέβας ἀῤῥήτων ἱερῶν, ἵνα
μυστοδόκος δόμος
ἐν τελεταῖς ἁγίαις ἀναδείκνυται,
οὐρανίοις τε θεοῖς δωρήματα,
ναοί θ᾽ ὑψερεφεῖς, καὶ ἀγάλματα,
καὶ πρόσοδοι μακάρων ἱερώταται,
εὐστέφανοί τε θεῶν

295. ἐστὶν νυνί. Sic bene membr. ut ex metri lege correxit Berglerus. In aliis editt. et in plerisqne codd. ἐςὶ νυνί. Prius ν a sequente absorptum fuit.

296. οὐ μὴ σκώψεις, μηδὲ ποιήσεις. Solœce vulgo σκώψῃς—ποιήσῃς. Vide not. ad Lys. 704. Ran. 202. 298. 524. οἱ τρυγοδαίμονες οὗτοι. Id est οἱ κακοδαίμονες οὗτοι τρυγῳδοί. Comœdia olim τρυγῳδία appellabatur, nec unquam isto nomine tragœdia appellata fuit, quod videbimus ad Acharn. 400. Perperam in B. C. τραγοδαίμονες.

Cod. recte τρυγοδαίμονες. Schol. marg. οἱ ἄλλοι κωμικοί. οὗτοι γὰρ ἐν τοῖς ποιήμασιν αὐτῶν ἀνθρώπους εἰσῆγον χέζοντάς τε καὶ ἕτερα αἰσχρὰ ποιοῦντας. λέγει δὲ δι᾽ Εὔπολιν καὶ Κρατῖνον, καὶ τοὺς ἄλλους. τρυγοδαίμονας δὲ τούτους καλεῖ, διότι πάντες οἱ κωμῳδοὶ τρυγὶ ἀνηλείφοντο.

306. ὑψερεφεῖς. Sic A. C. Duo alii ὑψηρεφεῖς. Vulgo ὑψερεφεῖς. Gl. ὑψηλοί.

θυσίαι, θαλίαι τε,
παντοδαπαῖς ἐν ὥραις·
ἦρί τ' ἐπερχομένῳ Βρομία χάρις,
εὐκελάδων τε χορῶν ἐρεθίσματα,
καὶ Μοῦσα βαρύβρομος αὐλῶν.

Στρεψιάδης.

πρὸς τοῦ Διὸς ἀντιβολῶ σε, φράσον, τίνες εἴσ', ὦ Σώκρατες, αὗται,
αἱ φθεγξάμεναι τοῦτο τὸ σεμνόν; μῶν Ἡρῷναί τινές εἰσιν;

Σωκράτης.

ἥκιστ', ἀλλ' οὐράνιαι Νεφέλαι, μεγάλαι θεαὶ ἀνδράσιν ἀργοῖς,
αἵπερ γνώμην, καὶ διάλεξιν, καὶ νοῦν ἡμῖν παρέχουσι,
καὶ τερατείαν, καὶ περίλεξιν, καὶ κροῦσιν, καὶ κατάληψιν.

Στρεψιάδης.

ταῦτ' ἄρ' ἀκούσασ' αὐτῶν τὸ φθέγμ' ἡ ψυχή μου πεπότηται,
καὶ λεπτολογεῖν ἤδη ζητεῖ, καὶ περὶ καπνοῦ στενολεσχεῖν,
καὶ γνωμιδίῳ γνώμην νύξασ' ἑτέρῳ λόγῳ ἀντιλογῆσαι·
ὥστ', εἴ πως ἐστὶν, ἰδεῖν αὐτὰς ἤδη φανερῶς ἐπιθυμῶ.

Σωκράτης.

βλέπε νυν δευρὶ πρὸς τὴν Πάρνηθ'. ἤδη γὰρ ὁρῶ κατιούσας

310. παντοδαπαῖς. Sic tres Regii. Vulgo παντοδαπαῖσιν.

παντοδάπαις ἐν ὥραις. Sic etiam hic cod.

311. ἦρι. Gl. ἔαρι. τότε γὰρ ἐτελοῦντο τὰ Διονύσια.

316. ἀνδράσιν ἀργοῖς. Gl. τοῖς φιλοσόφοις καὶ ποιηταῖς, οἳ μηδὲν ἄλλο μεταχειρίζονται, ἢ περὶ λόγων σχολάζουσιν.

317. γνώμην. Gl. ἐνθυμήματα. διάλεξιν, εὐπορίαν εἰς τὸ διαλέγεσθαι. τερατείαν, παραδοξολογίαν. περίλεξιν, εὐπορίαν καὶ περιττότητα λόγων. κροῦσιν, ποικιλίαν καὶ στροφὰς λόγων, δι' ὧν τοὺς διαλεγομένους σοφιζόμεθα, καὶ ἀπατῶμεν.

318. καὶ τερατείαν. Hoc in iv. codd. reperi. Gl. παραδοξολογίαν. ἀλαζονείαν. Nec tamen infitior potuisse Comicum scribere τερθρείαν. Mœris, τερθρεία, Ἀττικῶς. τερατεία, Ἑλληνικῶς. Quam notam ad hunc Aristophanis locum refert Piersonus. Sed non ideo a codd. scriptura recedere necessarium duxi. Confer Ruhnkenium ad Timæum p. 180.

319. ταῦτ' ἄρ'.—Glossa διά. Scilicet ταῦτ' ἄρα valet διὰ ταῦτα ἄρα. Sic infra 335. 352. ubi eadem glossa in codd. adscripta. Corinthus de Dial. Att. §. vi. Ταῦτ' ἄρα Ἀττικὸν ἀντὶ τοῦ διὰ ταῦτα· λείπουσι γὰρ αἱ προθέσεις παρὰ τοῖς Ἀττικοῖς, ὡς—Exempla passim obvia.

πεπότηται. Gl. μετέωρος γέγονε.

320. περὶ καπνοῦ. Observes καπνοῦ prima producta, contra artem, constantemque Comici usum, a quo in anapæstis tantum recedit, in quibus major scenicis poëtis concessa licentia. Glossa: περὶ τοῦ τυχόντος λεπτῶς φιλοσοφεῖν, μικρολογεῖν.

323. πρὸς τὴν Πάρνηθ'. Sic legen-

ἥσυχα ταύτας.

Στρεψιάδης.

φέρε, ποῦ; δεῖξον.

Σωκράτης.

χωροῦσ' αὗται πάνυ πολλαὶ
διὰ τῶν κοίλων καὶ τῶν δασέων αὗται πλάγιαι.

Στρεψιάδης.

τί τὸ χρῆμα,
ὡς οὐ καθορῶ;

Σωκράτης.

παρὰ τὴν ἔσοδον.

dum: sic distincte scriptum in iv. codd. Sic etiam excusum tribus literarum formis in edit. Bern. Juntæ. Jam vide quid sit in edit. Kusteri; nescias τὸν ne an τὴν legere debeas, adeo ambigua est sigla, seu compendii nota; nec mirum, si fefellit Batavum typothetam, qui Kusterianam expressit; ille enim dedit τόν. Veteribus tachygraphis, qui describendis libris victum sibi comparabant, condonandum est, quod fœdissimis illis notis, complures literas uno nexu comprehendentibus, usi fuerint: multum enim eorum intererat calamum cito currere, foliaque quam plurima uno die exarari, tum chartæ quam minimum dispendium fieri. At hodie typothetis nullum temporis compendium afferunt isti nexus; lectoribus vero sæpe negotium facessunt: elegantibus autem viris, etiamsi eorum perplexitas moræ non sit legentibus, non est tamen ut non summe displiceant deformes illæ et invenustæ notæ, quas sordida excogitavit barbaries. Adeo ut mirer optimum virum, qui hodie in arte typographica principatum tenet, *Franc. Ambr. Didot* novas horum nexuum formas nuper in officinam suam intulisse, unde, si quas habuisset, omnes ejicere debuisset. Veneri et Gratiis nunquam litavit homo, quisquis ille sit, qui ei auctor fuit, ut tam fœdis formis pulcherrimos libros dehonestaret.

324. ἥσυχα ταύτας. Sic in meo cod. ut est etiam in primariis editt. Glossa ἡσύχως. In membr. ἥσυχος αὐτάς. In duobus aliis ἡσύχως αὐτάς. Pessime in Kusteriana correptis numeris ἥσυχ' αὐτάς.

Male hic cod. etiam, ἡσύχως αὐτάς.

326. Sic legitur hic versus in primariis editt.

ὡς οὐ καθορῶ.—Παρὰ τὴν εἴσοδον.—
ἤδη νῦν μόλις ὁρῶ.

et ita eum dedit Kusterus. In notis autem monuit e Ms. Vat. legendum esse: ἤδη νῦν καὶ μόλις ἀθρῶ, quod in novissima Batava fuit repositum. Sic etiam scriptum est in membr. Quod in tribus aliis est, ὁρῶ, e glossa irrepsit. At nec ἀθρῶ scripserat Comicus, quod nullubi apud eum prima producta occurrit. Hic, ut multis aliis in locis, peccavit librarius præpositionem verbi compositi omittendo. Vide not. ad Lys. 408. et similem mendam sublatam in Thesm. 658. ubi ἀθρῆσαι pro διαθρῆσαι male legebatur. Sed et metrum prorsus luxatum erat, transpositis aliis vocibus, aliis perperam scriptis, quibus omnibus, ut par erat, medentes, et numeros et veram poëtæ manum restituimus:

ὡς οὐ καθορῶ.—Παρὰ τὴν ἔσοδον.—

Στρεψιάδης.

διαθρῶ νυνὶ μόλις ἤδη.

Σωκράτης.

νῦν γέ τοι ἤδη καθορᾷς αὐτὰς, εἰ μὴ λημᾷς κολοκύνταις.

Στρεψιάδης.

νὴ Δί', ἔγωγ'· ὦ πολυτίμητοι. πάντα γὰρ ἤδη κατέχουσι.

Σωκράτης.

ταύτας μέντοι σὺ θεὰς οὔσας οὐκ ᾔδης, οὐδ' ἐνόμιζες.

Στρεψιάδης. [εἶναι.

μὰ Δί', ἀλλ' ὁμίχλην καὶ δρόσον αὐτὰς ἡγούμην καὶ καπνὸν

Διαθρῶ νυνὶ μόλις ἤδη.

A librario infertum καὶ ineptum est, nec ullo modo hic stare poterat. Emendationem hujus versus tentavere Bentleius et Dawesius Misc. Crit. p. 321. uterque infeliciter. Reponebat ille, ἤδη νυνὶ μόλις ἰδών. Hic vero, ἤδη νῦν μόλις ὁρῶ αὐτάς.

In cod. scriptum : παρὰ τὴν εἴσοδον.—ἤδη νυνὶ μόλις ὁρῶ.

329. οὐκ ᾔδης. Sic perspicue cod. meus optime, e puriori Atticismo. Vide not. ad Conc. 551. ubi ᾔδησθα pro vulgato ᾔδεισθα reposui. Atticam illam formam adstruxerant præstantissimus Valckenarius ad Il. xxii. 280. et ad Euripidis Hippol. p. 207. Piersonus ad Mœrin p. 173. Kœnius ad Corinthum pag. 50. His, aliisque bene multis auctoribus, in Sophoclis Electra 1018. lego,

ᾔδη σ' ἀποῤῥίψουσαν ἁπηγγελλόμην.

ubi vulgo legitur ᾔδειν. Si catus ille Professor, qui tam bene novit *quantum inter dicta et probata intersit*, (vide not. ad Ran. 1405.) solos, quos modo laudavi, Criticos adire velit, forte intelliget, tam *probatum* esse cum veterum Grammaticorum testimoniis, tum codicum scriptura, qui formam hanc, librariorum libidine sæpissime obliteratam, multis tamen in locis repræsentant, sic Atticos solitos fuisse loqui, quam quid in hac disciplina probari possit. Sed quum bibliopolis, qui ejus conduxerant operam, raptim et sine ulla cura notas suas scriberet, Heathii lectiones ob oculos habebat, qui, solo laudato Dawesio, cum quadam dubitatione ᾔδη proposuit pro ᾔδειν. Ideo arbitratus est se doctiorem sagacioremque Dawesio visum iri, si illius emendationi nobile istud opponeret apophthegma : INTER DICTA ET PROBATA MULTUM INTEREST. Saltem vetus istud Homeri dictum exemplo aliquo, si opus esset, probari posset :

τὸνδ' οὔτ' ἄρ σκαπτῆρα θεοὶ θέσαν, οὔτ' ἀροτῆρα,
οὔτ' ἄλλως τι σοφόν· πάσης δ' ἡμάρτανε τέχνης.

330. καὶ καπνὸν εἶναι. Sic optime Regius B. sine ullo alius lectionis vestigio. In aliis libris legitur καὶ σκιὰν εἶναι, quæ lectio sine minima ullius editoris offensione per omnes editt. propagata fuit. Vitiosam eam esse primus monuit Dawesius, recte observans vocem σκιὰν, cujus ultima fieri non potest quin producatur, metri legem respuere. At in eo fallitur, quod rescribendum esse pronuntiet :

μὰ Δί', ἀλλ' ὁμίχλην καὶ δρόσον αὐτὰς
ἡγοῦμαι δάσκιον εἶναι.

Poëticum epitheton δάσκιος nemoribus tribuitur nemorosisque montibus; sicque illud adhibet Noster in chorico

Σωκράτης.

οὐ γὰρ, μὰ Δί', οἶσθ' ὁτιὴ πλείστους αὗται βόσκουσι σοφιστὰς,
Θουριομάντεις, ἰατροτέχνας, σφραγιδονυχαργοκομήτας,
κυκλίων τε χορῶν ᾀσματοκάμπτας, ἄνδρας μετεωροφένακας·
οὐδὲν δρῶντας βόσκουσ' ἀργοὺς, ὅτι ταύτας μουσοποιοῦσι.

Στρεψιάδης.

ταῦτ' ἄρ' ἐποίουν ὑγρᾶν Νεφελᾶν στρεπταιγλᾶν δάϊον ὁρμὰν,
πλοκάμους θ' ἑκατογκεφάλα Τυφῶ, πρημαινούσας τε θυέλλας,
εἶτ' ἀερίους, διεροὺς, γαμψοὺς οἰωνοὺς, ἀερονηχεῖς,
ὄμβρους θ' ὑδάτων δροσερᾶν Νεφελᾶν. εἶτ' ἀντ' αὐτῶν κατέπινον
κεστρᾶν τεμάχη μεγάλαν, ἀγαθᾶν, κρέατ' ὀρνίθεια κιχηλᾶν.

cantico Thesm. 997. *μελάμφυλλά τ' ὄρη δάσκια.* Sed substantivo *δρόσος* minime convenit; et *ros umbrosus* res est pæne ridicula.

ἡγούμην καὶ καπνὸν εἶναι. Si liquido cod. ut ex alio Regio B. edidi. Nec ad vocem *καπνὸν* glossa ulla est adposita, nec ullum diversæ lectionis indicium: quo magis miror, undenam oriri potuerit illa ceterorum codd. *σκιάν*.

331. Codicis scriptura est: *οὐ γὰρ, μὰ Δί', ἀλλ' ἴσθ' ὅτι*—glossa, *γίνωσκε*. Præstat vulgata lectio.

332. Auctor Etymol. M. p. 739. *σφραγιδονυχαργοκομήτης, ὁ ἄσωτος, παρὰ Ἀριστοφάνει· ἀπὸ τοῦ σφραγὶς, καὶ ὄνυξ, καὶ ἀργὸς, καὶ κόμη, οἱονεὶ ὃς φέρει τοὺς δακτυλίους μέχρι τῶν ὀνύχων, καὶ ὃς ἀεργός ἐστι καὶ κομᾶται.*

336. Cod. *ἑκατοντακεφάλα.* Sic etiam est in meo, et in B. perperam.

337. *ἀερίους, διεροὺς, γαμψοὺς οἰωνούς.* Vulgo *ἀερίας, διεράς.* In membr. *ἀερίους, διεράς.* Rectius C. utrumque adjectivum in masculino exhibet: referuntur enim ad *οἰωνούς*.

339. *κρέατ' ὀρνίθεια κιχηλᾶν.* In primariis editt. erat *κρέα τ' ὀρνίθεια κιχλᾶν.* Emendavit nescio quis *κρέα τ' ὀρνίθειά γε κιχλᾶν.* Ineptissime insertum istud *γε*, in nullo cod. comparet. In membr. est, ut edidimus, *κρέατ' ὀρνίθεια κιχηλᾶν*: quæ vera est et genuina lectio. In C. *κεστρῶν τεμάχη μεγάλων, ἀγαθῶν, κρέατ' ὀρνίθεια κιχηλῶν*: male neglecto Dorismo, quem de industria affectavit Comicus ad dithyrambicorum imitationem derisionemque. Sincera lectio ex Eustathio reponi poterat, cujus hæc est observatio p. 1934. l. 15. *Ὅτι δὲ τὰς κίχλας κιχήλας τρισυλλάβως ἔλεγον οἱ Δωριεῖς, καὶ ὡς ἐκ τῆς αὐτῶν φωνῆς, κιχλίζειν καὶ κιχλισμὸς ἐπὶ γυναικείῳ γέλωτος, οὐκ ἄδηλόν ἐστι· χρῆσις δὲ κιχηλῶν, οὐ μόνον παρὰ τῷ Κωμικῷ, ἀλλὰ καὶ παρ' Ἐπιχάρμῳ, ἐν τῷ τὰς ἐλαιοφιλοφάγους κιχήλας. ὃ κεῖται παρὰ τῷ Δειπνοσοφιστῇ.* Scilicet p. 64. F. *Συρακούσιοι δὲ τὰς κίχλας κιχήλας λέγουσιν. Ἐπίχαρμος· τάς τ' ἐλαιοφυλλοφάγους κιχήλας. μέμνηται τούτων καὶ Ἀριστοφάνης ἐν Νεφέλαις.* Confer Kœnium ad Corinthum p. 102. *κρέατ'* autem legendum pro *κρέατα* sine copula; non *κρέα τ'*, pro *κρέα τε*. Hoc enim præterquam quod languidius est, in metrum peccat. *κρέα* contractum ex *κρέαα* ultimam producit, ut *γέρα* contractum ex *γέραα*. Vide quæ notavi ad Euripidis Bac. 921. In vulgata recentiorum editionum lectione, præter ineptum *γε*, hoc etiam incommodum est, quod *κιχλᾶν* primam producat contra artem et Comici usum.

Σωκράτης.

διὰ μέντοι τάσδ' οὐχὶ δικαίως.

Στρεψιάδης.

λέξον δή μοι, τί παθοῦσαι,
εἴπερ Νεφέλαι γ' εἰσὶν ἀληθῶς, θνηταῖς εἴξασι γυναιξίν;
οὐ γὰρ ἐκεῖναί γ' εἰσὶ τοιαῦται.

Σωκράτης.

φέρε, ποῖαι γάρ τινές εἰσιν;

Στρεψιάδης.

οὐκ οἶδα σαφῶς· εἴξασιν γοῦν ἐρίοισιν πεπταμένοισι,
κοὐχὶ γυναιξὶν, μὰ Δί', οὐδ' ὁτιοῦν. αὗται δὲ ῥῖνας ἔχουσιν.

Σωκράτης.

ἀπόκριναι νῦν ἅττ' ἂν ἔρωμαι.

Στρεψιάδης.

λέγε νῦν ταχέως ὅ τι βούλει.

Σωκράτης.

ἤδη ποτ' ἀναβλέψας εἶδες νεφέλην Κενταύρῳ ὁμοίαν,
ἢ παρδάλει, ἢ λύκῳ, ἢ ταύρῳ;

Στρεψιάδης.

νὴ Δί' ἔγωγ'. εἶτα τί τοῦτο;

Σωκράτης.

γίγνονται πάνθ' ὅ τι βούλονται· κᾆτ' ἢν μὲν ἴδωσι κομήτην,

341. εἴξασι. Gl. ὡμοιώθησαν. Mœris: εἴξασιν, Ἀττικῶς· ἐοίκασιν, Ἑλληνικῶς. Timæus: εἴξασι καὶ εἴκασι λέγει ἀντὶ τοῦ ἐοίκασιν. Confer utriusque Grammatici eruditos interpretes.

344. αὗται δὲ ῥῖνας ἔχουσιν. Sic scriptum est in C. ut vulgati libri habent. At tres alii codd. αὗται δέ γε ῥῖνας ἔχουσιν. Prava erga metrum solicitudo γε infersit. Vide ad Pl. 1065.

Hic etiam cod. male. αὗται δέ γε ῥῖνας ἔχουσιν, et seq. v. ἅττ' ἄν σ' ἔρωμαι.

345. ἅττ' ἂν ἔρωμαι. Sic optime membr. In tribus aliis, ut in primariis editionibus, ἅττ' ἄν σ' ἔρωμαι. Pronomine carere possumus, quod metrum labefactat. Perperam in recentioribus ἅττ' ἄν σ' ἔρομαι.

348. Vulgo sic legitur hic versus:

γίνονται πάνθ' ὅ τι ἂν βούλωνται· κᾆν μὲν ἴδωσι κομήτην.

Vitium vides in cæsura. Membr. optime habent πάνθ' ὅ τι βούλονται. Tum eædem, ut et C. D. κᾆτ' ἢν μὲν ἴδωσι κομήτην. Unde venustus tetrameter Comico restitutus.

γίγνονται πάνθ' ὅ τι βούλονται· κᾆτ' ἢν μὲν ἴδωσι κομήτην.

Plane hunc versum exhibet cod. ut eum edidimus, nisi quod ibi κᾆτα scri-

ἄγριόν τινα τῶν λασίων τούτων, οἷόν περ τὸν Ξενοφάντου,
σκώπτεσθαι τὴν μανίαν αὐτοῦ, Κενταύροις ᾔκασαν αὐτάς.

Στρεψιάδης.

τί δ' ἄρ'; ἢν ἅρπαγα τῶν δημοσίων καθίδωσι Σίμωνα, τί δρῶσιν;

Σωκράτης.

ἀποφαίνουσαι τὴν φύσιν αὐτοῦ, λύκοι ἐξαίφνης ἐγένοντο.

Στρεψιάδης.

ταῦτ' ἄρα, ταῦτα Κλεώνυμον αὗται τὸν ῥίψασπιν χθὲς ἰδοῦσαι,
ὅτι δειλότατον τοῦτον ἑώρων, ἔλαφοι διὰ τοῦτ' ἐγένοντο.

Σωκράτης.

καὶ νῦν ὅτι Κλεισθένη εἶδον, ὁρᾷς, διὰ τοῦτ' ἐγένοντο γυναῖκες.

Στρεψιάδης.

χαίρετε τοίνυν, ὦ δέσποιναι· καὶ νῦν, εἴπερ τινὶ κἄλλῳ,
οὐρανομήκη ῥήξατε κἀμοὶ φωνήν, ὦ παμβασίλειαι.

Χορός.

χαῖρ', ὦ πρεσβῦτα παλαιογενές, θηρατὰ λόγων φιλομούσων,
σύ τε, λεπτοτάτων λήρων ἱερεῦ· φράζε πρὸς ἡμᾶς ὅ τι χρῄζεις.
οὐ γὰρ ἂν ἄλλῳ γ' ὑπακούσαιμεν τῶν νῦν μετεωροσοφιστῶν,
πλὴν ἢ Προδίκῳ· τῷ μέν, σοφίας καὶ γνώμης οὕνεκα· σοὶ δέ,

tum sine elisione, quod librariis solemne est.

349. ἄγριον. Huc respicit Eustathius p. 1448. l. 4. παιδεραστίας δέ, οὓς ἀγρίους ἔφη σεμνότερον ὁ Κωμικός. Harpocration: ἀγρίους, Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, τοὺς σφόδρα ἐπτοημένους περὶ τὰ παιδικά, καὶ χαλεποὺς παιδεραστάς φησι. Locus Æschinis est p. 76. ed. Reiskii.

350. ᾔκασαν. Sic membr. Alii, ut vulgo, minus bene εἴκασαν. Mœris: ᾔκασα, Ἀττικῶς. εἴκασα, Ἑλληνικῶς. Sæpius apud Comicum illam formam vulgati libri exhibent, ut Conc. 385.

351. τί δ' ἄρ'. Vulgo τί γάρ.

352. τὴν φύσιν αὐτοῦ. In C. τὴν γνώμην αὐτοῦ. Quod merum est glossema.

356. τοίνυν ὦ. Sic iv. codd. sine particula, quæ vulgo inseritur. Vide not. ad Ran. 321. 1013. Pl. 567. 1161.

τοίνυν ὦ—sic etiam hic cod.

357. Cod. ῥήξατε φωνὴν κἄμοιγ' ὦ—

358. ὦ πρεσβῦτα παλαιογενὲς, θηρατὰ—Sic perspicue et optime membr. In impressis recentioribus invenustus est versus:

χαῖρ' ὦ πρεσβῦτα παλαιγενὲς, ὦ θηρατὰ λόγων φιλομούσων.

Tres alii codd. qui παλαιγενὲς habent, posterius ὦ non agnoscunt. Versui sustentando ab emendatore additum fuit nescio quo. Abest etiam a primariis editt.

Cod. χαῖρ', ὦ πρεσβῦτα παλαιγενὲς, θηρατὰ—

360. οὐ γὰρ ἂν ἄλλῳ γ' ὑπακούσαιμεν. Sic bene iv. codd. Solœce vulgo ὑπακούσωμεν.

ὅτι βρενθύει τ' ἐν ταῖσιν ὁδοῖς, καὶ τὼ 'φθαλμὼ παραβάλλει,
κἀνυπόδητος κακὰ πόλλ' ἀνέχει, κἀφ' ἡμῖν σεμνοπροσωπεῖς.

Στρεψιάδης.

ὦ Γῆ, τοῦ φθέγματος· ὡς ἱερὸν, καὶ σεμνὸν, καὶ τερατῶδες.

Σωκράτης.

αὗται γάρ τοι μόναι εἰσὶ θεαί· τἄλλα δὲ πάντ' ἐστὶ φλύαρος.

Στρεψιάδης.

ὁ Ζεὺς δ' ἡμῖν, φέρε, πρὸς τῆς Γῆς, οὑλύμπιος οὐ θεός ἐστι;

Σωκράτης.

ποῖος Ζεύς; οὐ μὴ ληρήσεις. οὐδ' ἔστι Ζεύς.

Στρεψιάδης.

τί λέγεις σύ;
ἀλλὰ τίς ὕει; τουτὶ γὰρ ἔμοιγ' ἀπόφηναι πρῶτον ἁπάντων.

Σωκράτης.

αὗται δή που· μεγάλοις δέ σ' ἐγὼ σημείοις αὐτὸ διδάξω.
φέρε, ποῦ γὰρ πώποτ' ἄνευ Νεφελῶν ὕοντ' ἤδη τεθέασαι;
καίτοι χρῆν αἰθρίας ὕειν αὐτὸν, ταύτας δ' ἀποδημεῖν.

Στρεψιάδης.

νὴ τὸν Ἀπόλλω, τοῦτό γέ τοι τῷ νυνὶ λόγῳ εὖ προσέφυσας.
καίτοι πρότερον τὸν Δί' ἀληθῶς ᾤμην διὰ κοσκίνου οὐρεῖν.
ἀλλ', ὅστις ὁ βροντῶν ἐστι, φράσον· τοῦτό με ποιεῖ τετρεμαίνειν.

Σωκράτης.

αὗται βροντῶσι κυλινδόμεναι.

Στρεψιάδης.

τῷ τρόπῳ, ὦ πάντα σὺ τολμῶν;

362. τὼ 'φθαλμὼ παραβάλλει. Gl. ἴδιόν ἐστι τῶν ἀλαζόνων τὸ μὴ ἔχειν ἀεὶ τὸ βλέμμα ἐπὶ ταυτοῦ, ἀλλ' ἄνω καὶ κάτω κινεῖν, καὶ νῦν μὲν ἐνταῦθα, νῦν δ' ἄλλοσε μεταφέρειν.

364. καὶ σεμνὸν—Cod. καὶ τερπνόν.

367. οὐ μὴ ληρήσεις. Perperam vulgo οὐ μὴ ληρήσῃς.

372. τοῦτό γέ τοι τῷ νυνὶ λόγῳ εὖ προσέφυσας. Sic tres codices. Perperam in membran. ut in impressis legebatur, τούτῳ γε. Illud, metro et sensu flagitante, reposuit Berglerus, qui Dawesio emendationem hanc non debet, cujus libellum non vidit. Ad προσέφυσας glossæ: ἥρμοσας. καλῶς καὶ ὡς ἔδει προσήρμοσας. Æschylus Suppl. 284.

καὶ ταῦτ' ἀληθῆ πάντα προσφύσω λόγῳ.

ubi schol. προσφύσω, ἀποδείξω.

τοῦτο γέ τοι τῷ νυνὶ λόγῳ—Sic liquido cod. ut edidimus.

374. Scriptura codicis est: φράσον, τοῦθ' ὅ με ποιεῖ—

Σωκράτης.

ὅταν ἐμπλησθῶσ' ὕδατος πολλοῦ, κἀναγκασθῶσι φέρεσθαι,
κατακρημνάμεναι πλήρεις ὄμβρου δι' ἀνάγκην, εἶτα βαρεῖαι
εἰς ἀλλήλας ἐμπίπτουσαι, ῥήγνυνται καὶ παταγοῦσιν.

Στρεψιάδης.

ὁ δ' ἀναγκάζων ἐστὶ τίς αὐτὰς, οὐχ ὁ Ζεὺς, ὥστε φέρεσθαι;

Σωκράτης.

ἥκιστ'· ἀλλ' αἰθέριος δῖνος.

Στρεψιάδης.

Δῖνος; τουτί μ' ἐλελήθη,
ὁ Ζεὺς οὐκ ὢν, ἀλλ' ἀντ' αὐτοῦ Δῖνος νυνὶ βασιλεύων.
ἀτὰρ οὐδέν πω περὶ τοῦ πατάγου καὶ τῆς βροντῆς μ' ἐδίδαξας.

Σωκράτης.

οὐκ ἤκουσάς μου, τὰς Νεφέλας ὕδατος μεστὰς ὅτι φημὶ,
ἐμπιπτούσας εἰς ἀλλήλας παταγεῖν διὰ τὴν πυκνότητα;

Στρεψιάδης.

φέρε τουτὶ τῷ χρὴ πιστεύειν;

Σωκράτης.

ἀπὸ σαυτοῦ γ', ὥς σε διδάξω.
ἤδη ζωμοῦ Παναθηναίοις ἐμπλησθεὶς, εἶτ' ἐταράχθης
τὴν γαστέρα, καὶ κλόνος ἐξαίφνης αὐτὴν διεκορκορύγησε;

377. *κατακρημνάμεναι.* In duobus codd. *κᾆτα κρημνάμεναι.* In C. *κᾆτα κρημνώμεναι.* In membr. *κατακρημνούμεναι.*

380. *τουτί μ' ἐλελήθη.* Vulgo ἐλελήθει. Vide not. ad Conc. 650. et supra ad 329.

382. *οὐδέν πω.* Perperam vulgo, claudicante versu, *οὐδέπω.* Atticos *οὐδὲν* frequentare pro *οὐ* observavi ad Conc. 644.—In membr. *περὶ τοῦ πατάγου τῆς βροντῆς*, omisso *καί*: unde mihi oborta fuerat suspicio Comicum scripsisse:

ἀτὰρ οὐδέν πω περὶ τοῦ πατάγου τῆς βροντῆς μ' ἐξεδίδαξας.

Vulgatam tamen, quam tres alii adfirmant codd. præfero. Codex hic etiam perperam *οὐδέπω.* At recte habet *περὶ τοῦ πατάγου καὶ τῆς βροντῆς.* Schema est, quod vocant ἓν διὰ δυοῖν, ut Pl. 334. *τῇ βαδίσει καὶ τῷ τάχει*, pro *τῷ τάχει τῆς βαδίσεως.*

384. *ἐμπιπτούσας εἰς ἀλλήλας.* Haud deterior, immo venustior est, ob variatam constructionem, codicis scriptura, quam in B. jam repertam, reponere poteram, *ἐμπιπτούσας ἀλλήλαισιν.* Vulgatum e v. 378. repetitum est.

385. *ἀπὸ σαυτοῦ γ', ὥς σε διδάξω.* Sic optime membr. Vulgo *ἀπὸ σαυτοῦ 'γώ σε διδάξω.*

387. Suidas: *διεκορκορύγησε. κορκορυγεῖν λέγουσι τὸ λαλεῖν τὴν γαστέρα. ἐμιμήσαντο δὲ τῇ φωνῇ τῶν ἐντέρων τὸν ἦχον.*

Στρεψιάδης.

νὴ τὸν Ἀπόλλω, καὶ δεινὰ ποιεῖ γ' εὐθύς μοι, καὶ τετάρακται,
χὤσπερ βροντὴ τὸ ζωμίδιον παταγεῖ, καὶ δεινὰ κέκραγεν·
ἀτρέμας πρῶτον πὰξ, κᾆτα παπὰξ ἐπάγει, κᾄπειτα παπαππάξ·
χὤταν χέζω, κομιδῇ βροντᾷ παπαπαππὰξ, ὥσπερ ἐκεῖναι.

Σωκράτης.

σκέψαι τοίνυν ἀπὸ γαστριδίου τυννουτουῒ οἷα πέπορδας·
τὸν δ' ἀέρα τόνδ', ὄντ' ἀπέραντον, πῶς οὐκ εἰκὸς μέγα βροντᾶν;
ταῦτ' ἄρα καὶ τὼ 'νόματ' ἀλλήλοιν βροντὴ καὶ πορδὴ ὁμοίω.

Στρεψιάδης.

ἀλλ' ὁ κεραυνὸς πόθεν ἂν φέρεται, λάμπων πυρί; τοῦτο δίδαξον·

Schol. ἤχησε male. Verbum enim hic transitivum est: *agitatione sonitum edere fecit.* Derivatum verbum a nomine κορκορυγὴ, quod ab Hesychio exponitur, κραυγὴ, βοὴ, ταραχὴ μετὰ θορύβου. Occurrit istud nomen Lys. 491. Pace 991.

καὶ κλόνος ἐξαίφνης αὐτήν. Transpositæ in cod. voces contra commatum anapæsticorum legem, καὶ κλόνος αὐτὴν ἐξαίφνης. Frequens librariorum error, editoribus sæpe non animadversus.

390. Hunc versum ex luculenta Dawesii emendatione dedi, Misc. crit. p. 172. Vulgo sic legitur:

ἀτρέμας πρῶτον παππάξ· κᾄπειτ' ἐπάγει παπαπαππάξ.

Totus pes deficit. In membr. scriptum:

ἀτρέμας πρῶτον παπὰξ παπάξ· κᾄπειτ' ἐπάγει παπαπαππάξ.

Hinc numeri quidem compleri poterant: sed totus locus corruptelæ manifestus, quem felicissime restituit Dawesii acumen. Hoc si quis non sentiat, eum omni sensu carere oportet. κλιμακηδὸν augetur sonitus: πὰξ, παπὰξ, παπαππὰξ, παπαπαππάξ. Postremum hoc in vulgata lectione, secundum in membran. scriptura, ineptissime repetuntur. At observes velim in membr. et in tribus aliis codd. non παππὰξ scriptum esse, sed παπάξ, unico π, priore brevi. Hæc inquam est iv. codd. scriptura. Præterea in meo sic totus versus scriptus est:

ἀτρέμας πρῶτον παπάξ· κᾄπειτ' ἐπάγει παπαππάξ.

quæ ipsissima est Dawesii lectio, si omissas voces, sine quibus numeri constare non possunt, nec sententiæ lepor, suo loco reponas.

ἀτρέμας πρῶτον πὰξ, κᾆτα παπὰξ ἐπάγει, κᾄπειτα παπαππάξ.

392. τοίνυν ἀπὸ—Sic codd. sine γε. A. B. τυννουτουῒ recte. Mendosa est vulgata scriptura, ut Thesm. 745.

Nobis consentit in scriptura hujus versus cod. veteribus autem impressis in v. 390.

394. ταῦτ' ἄρα. Cod. ταῦτ' οὖν; quod perinde est.

395. πόθεν ἂν φέρεται: Sic C. ut Kusterus edidit. In prioribus editt. erat πόθεν αὖ, quod imperite revocavit Berglerus. Vide not. ad Pl. 885. Perperam in membr. πόθεν ἔρχεται.

Cod. πόθεν αὖ φέρεται;

καὶ καταφρύγει βάλλων ἡμᾶς, τοὺς δὲ ζῶντας περιφλύει.
τοῦτον γὰρ δὴ φανερῶς ὁ Ζεὺς ἵησ' ἐπὶ τοὺς ἐπιόρκους.

Σωκράτης.

καὶ πῶς, ὦ μῶρε σὺ, καὶ Κρονίων ὄζων, καὶ βεκκεσέληνε,
εἴπερ βάλλει τοὺς ἐπιόρκους, πῶς οὐχὶ Σίμων' ἐνέπρησεν,
οὐδὲ Κλεώνυμον, οὐδὲ Θέωρον; καίτοι σφόδρα γ' εἴσ' ἐπίορκοι.
ἀλλὰ τὸν αὑτοῦ γε νεὼν βάλλει, καὶ Σούνιον ἄκρον Ἀθηνῶν,
καὶ τὰς δρῦς τὰς μεγάλας· τί παθών; οὐ γὰρ δὴ δρῦς ἐπιορκεῖ.

Στρεψιάδης.

οὐκ οἶδ'· ἀτὰρ εὖ σὺ λέγειν φαίνει. τί γάρ ἐστιν δῆθ' ὁ κεραυνός;

Σωκράτης.

ὅταν εἰς ταύτας ἄνεμος ξηρὸς μετεωρισθεὶς κατακλεισθῇ,
ἔνδοθεν αὐτὰς, ὥσπερ κύστιν, φυσᾷ· κᾆπειθ' ὑπ' ἀνάγκης
ῥήξας αὐτὰς, ἔξω φέρεται σοβαρὸς διὰ τὴν πυκνότητα,

396. καταφρύγει. Gl. κατακαίει.—τοὺς ζῶντας, τοὺς πλουσίους.

ζῶντας. Gl. τοὺς πλουσίους. περιφλύει, ἐξ ἐπιπολῆς καίει.

399. πῶς οὐχὶ—Sic membr. recte. Vulgo πῶς δῆτ' οὐχὶ—metrum perimit inserta particula. Pejus adhuc in C. πῶς δῆτ' οὐχὶ καὶ Σιμ—

401. καὶ Σούνιον ἄκρον Ἀθηνῶν. Sic bene membr. In aliis, ut vulgo, Ἀθηναίων, reclamante metro, et ad loquendi formam inepte. Alludit ad Homeri versum Odyss. γ'. 278.

ἀλλ' ὅτε Σούνιον ἱρὸν ἀφικόμεθ', ἄκρον Ἀθηνῶν.

Commutata fuerunt Ἀθηνῶν et Ἀθηναίων etiam Equ. v. 159. Lucret. vi. 386.

Quod si Jupiter atque alii fulgentia Divi
terrifico quatiunt sonitu cœlestia templa,
et jaciunt ignes, quo quoique est cumque voluptas,
cur, quibus incautum scelus aversabile cumque est,
non faciunt, icti flammas ut fulguris halent
pectore perfixo, documen mortalibus acre?

Et paulo post v. 416.

Postremo cur sancta Deûm delubra, suasque
discutit infesto præclaras fulmine sedes:
et bene facta Deûm frangit simulacra? suisque
demit imaginibus violento volnere honorem?
altaque cur plerumque petit loca? plurimaque hujus
montibus in summis vestigia cernimus ignis?

402. τί παθών; Sic etiam cod. ut libri alii omnes. Sed superne ab eadem manu positum, sive emendatio sit, sive varia lectio, μαθών. Hoc pro illo sæpissime intrusum, pravæ Græculorum interpretationi ortum debere videtur.

404. εἰς ταύτας. Sic iv. codd. Vulgo εἰς αὐτάς.

405. φυσᾷ. Sic bene membr. Sic etiam B. a prima manu. Perperam vulgo φυσσᾷ.

ὑπὸ τοῦ ῥοίβδου καὶ τῆς ῥύμης αὐτὸς ἑαυτὸν κατακαίων.

Στρεψιάδης.

νὴ Δί', ἔγωγ' οὖν ἀτεχνῶς ἔπαθον τουτὶ ποτὲ Διασίοισιν.
ὤπτων γαστέρα τοῖς ξυγγενέσιν, κᾆτ' οὐκ ἔσχων ἀμελήσας·
ἡ δ' ἀνεφυσᾶτ', εἶτ' ἐξαίφνης διαλακήσασα πρὸς αὐτὼ
τὠφθαλμώ μου προσεΐλησεν, καὶ κατέκαυσεν τὸ πρόσωπον.

Χορός.

ὦ τῆς μεγάλης ἐπιθυμήσας σοφίας, ἄνθρωπε, παρ' ἡμῶν,
ὡς εὐδαίμων ἐν Ἀθηναίοις καὶ τοῖς Ἕλλησι γενήσει,
εἰ μνήμων εἶ καὶ φροντιστὴς, καὶ τὸ ταλαίπωρον ἔνεστιν
ἐν τῇ ψυχῇ, καὶ μὴ κάμνεις, μήθ' ἑστὼς, μήτε βαδίζων,
μήτε ῥιγῶν ἄχθει λίαν, μήτ' ἀριστᾶν ἐπιθυμεῖς,
οἴνου τ' ἀπέχει, καὶ γυμνασίων, καὶ τῶν ἄλλων ἀνοήτων·
καὶ βέλτιστον τοῦτο νομίζεις, ὅπερ εἰκὸς δεξιὸν ἄνδρα,
νικᾶν πράττων καὶ βουλεύων, καὶ τῇ γλώττῃ πολεμίζων.

Στρεψιάδης.

ἀλλ' ἕνεκέν γε ψυχῆς στεῤῥᾶς, δυσκολοκοίτου τε μερίμνης,
καὶ φειδωλοῦ καὶ τρυσιβίου γαστρὸς, καὶ θυμβρεπιδείπνου,

409. ἴσχων a themate σχάω, σχάζω. Male apud Eustathium p. 842. l. 56. excusum ἴσχεν pro ἴσχων τὴν γαστέρα, ἤγουν ἐπτωμένην οὐκ ἴσχασα. καὶ ἔστι τοῦτο πρωτότυπον τοῦ σχάζω. In tribus Regiis eadem scripturæ menda, ἴσχεν. Meus ἴσχων, cum glossa ἴσχισα, male pro ἴσχασα.

410. ἡ δ' ἀνεφυσᾶτ'—Sic meus, nisi quod literam sibilantem male geminat. In membran. ἡ δ' ἄρ' ἐφυσᾶτ' — Vulgo ἡ δ' ἄρ' ἐφυσσᾶτ'—

412. Voces collocatæ sunt in tribus Regiis eodem quo eas ordine exhibui. Vulgo legitur contra commatum anapæsticorum legem:

ὦ τῆς μεγάλης σοφίας ἐπιθυμήσας ἄν-
θρωπε παρ' ἡμῶν.

Hic autem versus et sequentes perperam vulgo Socrati tributi, in iv. codd. Choro adscribuntur. Eadem vocum in cod. collocatio, quæ in nostro textu. Præfixa itidem Chori persona.

416. μήτε ῥιγῶν. Sic bene meus. In tribus Regiis μήτ' οὖν ῥιγῶν. Vulgo μήτε γε ῥιγῶν. Vide not. ad Pl. 1065. μήτ' ἀριστᾶν. Sic meus et B. optime. In duobus aliis sine elisione μήτε ἀριστᾶν. Vulgo μήτε γ' ἀριστᾶν. Ab imperito homine inserta fuit particula. Prima in ἄριστον prandium semper producitur. Vide Conc. 348. 470. Av. 1602. Vesp. 613. Eq. 815. Pac. 1281.

μήτε ῥιγῶν. Sic etiam hic cod. bene, ut edidimus.

417. ἀνοήτων. Gl. ἀφροδισίων, καὶ πάντων τῶν ἐκ μωρίας γινομένων.

421. θυμβρεπιδείπνου. Gl. εὐτελοῦς περὶ τὰς τροφάς. Suidas: τὰ θύμβρα δυναμένης δειπνεῖν. ἔστι δὲ βοτάνης εἶδος.

ἀμέλει θαῤῥῶν, οὕνεκα τούτων ἐπιχαλκεύειν παρέχοιμ᾽ ἄν.

Σωκράτης.

ἀλλ᾽ ὅτι δῆτ᾽ οὖν νομιεῖς ἤδη θεὸν οὐδένα, πλὴν ἅπερ ἡμεῖς,
τὸ Χάος τετὶ, καὶ τὰς Νεφέλας, καὶ τὴν γλῶτταν, τρία ταυτί;

Στρεψιάδης.

ἐδ᾽ ἂν διαλεχθείην ἀτεχνῶς τοῖς ἄλλοις, ἐδ᾽ ἂν ἀπαντῶν·
ἐδ᾽ ἂν θύσαιμ᾽, ἐδ᾽ ἂν σπείσαιμ᾽, ἐδ᾽ ἐπιθείην λαβανωτόν.

Χορός.

λέγε νῦν ἡμῖν, ὅ τι σοι δρῶμεν, θαῤῥῶν· ὡς οὐκ ἀτυχήσεις,
ἡμᾶς τιμῶν, καὶ θαυμάζων, καὶ ζητῶν δεξιὸς εἶναι.

Στρεψιάδης.

ὦ δέσποιναι, δέομαι τοίνυν ὑμῶν τουτὶ πάνυ μικρὸν,
τῶν Ἑλλήνων εἶναί με λέγειν ἑκατὸν ςαδίοισιν ἄριςον.

Χορός.

ἀλλ᾽ ἔσται σοι τῦτο παρ᾽ ἡμῶν· ὥςτε τολοιπόν γ᾽ ἀπὸ τεδὶ
ἐν τῷ δήμῳ γνώμας οὐδεὶς νικήσει πλείονας ἢ σύ.

Στρεψιάδης.

μή μοί γε λέγειν γνώμας μεγάλας· ἐ γὰρ τούτων ἐπιθυμῶ.
ἀλλ᾽ ὅσ᾽ ἐμαυτῷ ςρεψοδικῆσαι, καὶ τὲς χρήςτας διολισθεῖν.

422. οὕνεκα τούτων. Sic bene C. Perperam vulgo ἕνεκα reclamante metro.

423. Vulgo sic legitur hic versus:

ἄλλο τι δῆτ᾽ οὐ νομιεῖς εἶναι θεὸν οὐδένα,
πλὴν ἅπερ ἡμεῖς.

oportebat saltem οὐδὲν, hac constructione: οὐ δῆτα νομιεῖς ἄλλο τι οὐδὲν εἶναι θεὸν, πλὴν—Sed depravata est illa lectio, cujus vitium sensit Dawesius. In membr. scriptum est, ut edidimus:

ἀλλ᾽ ὅτι δῆτ᾽ οὖν νομιεῖς ἤδη θεὸν οὐδένα,
πλὴν ἅπερ ἡμεῖς.

Sic etiam est in tribus aliis, nisi quod in B. D. pro οὖν est οὐ; et in C. δῆτ᾽ ex scriptoris errore omissum fuit. Elliptica phrasis est per interrogationem efferenda: ἀλλὰ μῶν πρὸς τούτοις κελεύεις με θαῤῥεῖν, ὅτι δῆτ᾽ οὖν ἤδη νομιεῖς οὐδένα θεὸν, πλὴν—Nostra lectio est etiam in editt. primariis, nisi quod perperam excusum ἄλλο τὶ—

423. Distincte et perspicue sic scriptus est hic versus in codice:

ἀλλ᾽ ὅτι δῆτ᾽ οὐ νομιεῖς εἶναι θεὸν οὐδένα
πλὴν ἅπερ ἡμεῖς.

424. τὴν γλῶτταν, Gl. τὴν στωμυλίαν.

425. οὐδ᾽ ἂν διαλεχθείην ἀτεχνῶς τοῖς ἄλλοις. Numerosior esset versus, si transpositis vocibus legeretur: ἀτεχνῶς οὐδ᾽ ἂν διαλεχθείην—

429. τοίνυν ὑμῶν. Sic iv. codd. omisso γε. Mox v. 435. tres Regii τοίνυν ὦν, ubi meus τοίνυν γ᾽ ὦν.

Nec in hoc versu, nec in 435. particulam γε post τοίνυν agnoscit codex.

434. ἀλλ᾽ ὅσ᾽ ἐμαυτῷ στρεψοδικῆσαι. Atticum est ὅσα pro ὅσον, id est μόνον, *solum*, *tantum*. ἐμαυτῷ, Gl. χάριν ἐμαυτοῦ. στρεψοδικῆσαι, Suidas: ἀντὶ τοῦ στρέψαι τὰς δίκας.

στρεψοδικῆσαι. Gl. διὰ στροφῆς καὶ ποικιλίας λόγων τὸ δίκαιον διαφθεῖραι.

Χορός.

τεύξει τοίνυν, ὧν ἱμείρεις. οὐ γὰρ μεγάλων ἐπιθυμεῖς.
ἀλλὰ σεαυτὸν παράδος θαῤῥῶν τοῖς ἡμετέροις προπόλοισι.

Στρεψιάδης.

δράσω τοῦθ', ὑμῖν πιστεύσας. ἡ γὰρ ἀνάγκη με πιέζει,
διὰ τὲς ἵππες τὲς κοππαΐας, καὶ τὸν γάμον, ὅς μ' ἐπέτριψε.
νῦν οὖν χρήσθων, ὅ τι βούλονται.
τουτὶ τό γ' ἐμὸν σῶμ' αὐτοῖσιν
παρέχω τύπτειν, πεινῆν, διψῆν,
αὐχμεῖν, ῥιγοῦν, ἀσκὸν δαίρειν·
εἴπερ τὰ χρέα διαφευξοῦμαι,
τοῖς ἀνθρώποις τ' εἶναι δόξω
θρασὺς, εὔγλωττος, τολμηρὸς, ἴτης,
βδελυρὸς, ψευδῶν ξυγκολλητὴς,
εὑρησιεπὴς, περίτριμμα δικῶν,
κύρβις, κρόταλον, κίναδος, τρύμη,
μάσθλης, εἴρων, γλοιὸς, ἀλαζὼν,
κέντρων, μιαρὸς,
στρόφις, ἀργαλέος, ματτυολοιχός.

435. ἱμείρεις. Minus bene in C. forma media ἱμείρει.

439. νῦν οὖν χρήσθων ὅ τι βούλονται. Vulgo χρήσθων ἀτεχνῶς ὅ τι—Istud ἀτεχνῶς, quod metrum non admittit, imperite huc retractum fuit e v. 453.

Pejus adhuc ac vulgo cod. νῦν οὖν χρήσθων ἀληθῶς ὅ τι βούλονται. Est autem χρήσθων tertia dualis imperativi, qua in passiva forma utuntur Attici pro tertia plurali χρήσθωσαν. Vide Thomam M. et primarium in his literis virum, P. Wesselingium, Observatt. p. 50. ubi Scholiastem ad hunc versum redarguit.

440. αὐτοῖσιν. Sic ob metrum scribendum. Perperam vulgo αὐτοῖσι.

442. ἀσκὸν δαίρειν. Sic distincte, perspicue, et optime membr. Perperam vulgo, claudicante versu, δέρειν. In meo δέῤῥειν, quod nihili est. Suidas: δαίρω, τὸ τύπτω· δέρω δὲ, τὸ ἐκδέρω. Verane sit, annon hæc differentia, in medio relinquo. At inde constat probum esse verbum δαίρω, quod præter Suidam adfirmat metri hujus versiculi ratio, quæ δαίρειν omnino flagitat, et δέρειν respuit. Occurrit rursus hoc verbum Av. 365. ubi pro δαῖρε perperam legebatur δεῖρε.

Scriptum in cod. ἀσκὸν δέρειν, et superscriptum ab eadem manu δαίρειν.

447. εὑρησιεπής. Sic optime membr. cum gl. ἐφευρετὴς λόγων. Perperam vulgo εὑρεσιεπὴς, claudicante versu.

451. ματτυολοιχὸς. In tribus codd. ut vulgo, ματιολοιχὸς, quod nihili est. Glossæ, σμικρολόγος, φειδωλὸς, καὶ οὐ προϊέμενός τι τῶν αὐτοῦ. At in B. scriptum ματτιολοιχὸς, quod propius Bentleii emendationem accedit, quam ma-

ταῦτ' εἴ με λέγουσιν ἀπαντῶντες,
δρώντων ἀτεχνῶς ὅ τι χρῄζουσιν·
κεἰ βούλονται, νὴ τὴν Δήμητρ',
ἐκ μοῦ χορδὴν
τοῖς φροντισταῖς παραθέντων.
Χο. λῆμα μὲν πάρεστι τῷδέ γ'
οὐκ ἄτολμον, ἀλλ' ἕτοιμον. ἴσθι δ' ὡς
ταῦτα μαθὼν παρ' ἐμοῦ, κλέος οὐρανόμηκες
ἐν βροτοῖσιν ἕξεις.
Στ. τί πείσομαι;
Χο. τὸν πάντα χρόνον μετ' ἐμοῦ
ζηλωτότατον βίον ἀν-
θρώπων διάξεις.
Στ. ἆρά γε τοῦτ' ἂν ἐγώ

ximo suo merito recepi. ο et ι sæpissime commutarunt librarii: nec rarius iidem literam quæ geminari debebat semel tantum scripserunt, et contra. ματτύη, ματτυάζειν, quid sint docet Athenæus p. 662. quem descripsit Eustathius ad Odyss. p. 1751. extrema: ubi alterum eorum, quæ modo memorabam peccata, commissum fuit: pro eo enim quod est apud Athenæum, ματτύην, Eustathius habet ματύην, quod corrigendum. Locum describere non pigebit. ματτύην ὠνόμαζον πᾶν πολυτελὲς ἔδεσμα. καὶ ματτυάζειν, τὸ σκευάζειν αὐτό. εἴτε ἰχθὺς εἴη, εἴτε ὄρνις, εἴτε λάχανον, εἴτε ἱερεῖον, εἴτε πεμμάτιον. Verbo usus est Alexis Comicus in versibus, quos profert Athenæus:

τοὔψον λαβοῦσαι τοῦτο τἀπεσταλμένον,
σκευάζετ', εὐωχεῖσθε, προπόσεις πίνετε,
λέπεσθε, ματτυάζετε.

Nomine autem in hisce ex alia fabula:

ἐγὼ δ' ἐπειδὰν ἀσχολουμένους λάβω,
ἀνέκραγον· Οὐ δώσει τις ἡμῖν ματτύην;

Ineptæ sunt codd. glossæ. ματτυολοιχὸς, ut κνισσολοιχὸς, mattyarum, seu lautitiarum linctorem significat. Eustathius p. 1817. l. 38. κνισσολοιχός. ὃ πρὸς ὁμοιότητα εἴρηταί τινα τοῦ παρὰ τῷ Ἀριστοφάνει ματτυολοιχοῦ. Sic enim legendum, non, ut vulgo, ματιολοιχοῦ. Præcedentium nominum explicationes e glossis adponam: ἴτης, ὁρμητικός. βδελυρὸς, μιαρός. περίτριμμα δικῶν, τετριμμένος περὶ τὰς δίκας. κύρβις, νόμων πλήρης. κρόταλον, πολυλόγος. κίναδος, πανοῦργος. τρύμη, λεπτολόγος. μάσθλης, μεμαλαγμένος. γλοιὸς, γλίσχρος. κέντρων, πλήκτων. στρόφις, στρέφων τὰ πράγματα. ἀργαλέος, λυπηρός.

452. εἴ με λέγουσιν. Cod. εἴ με καλοῦσιν.

453. χρῄζουσιν. Sic ob metrum scribendum. Perperam vulgo χρήζουσι.

457. Quæ hic, ut et 462. 467. Choro tribuo, vulgo tribuuntur Socrati, manifesto errore.—τῷδέ γ' οὐκ—Sic membr. In C. τῷδε δ' οὐκ—In B. τῷδ' οὐκ—Vulgo, ingrato cum hiatu, τῷδε οὐκ.

465. τοῦτ' ἂν ἐγώ ποτ'. ὄψομαι; Sic optime C. Vulgo τοῦτ' ἄρ' ἐγώ. Potentiale ἂν cum præsente indicativi construi ostendimus ad Pl. 885. Cum futuro indicativi id construi negat Dawesius Misc. crit. p. 103. sed fallitur. Ach. 392.

πότ᾽ ὄψομαι;

Χο. ὥστε γε σοῦ πολλοὺς
ἐπὶ ταῖσι θύραις
ἀεὶ καθῆσθαι,
βουλομένους ἀνακοινοῦσθαί τε,
καὶ ἐς λόγους ἐλθεῖν,
πράγματα, κἀντιγραφὰς,
πολλῶν ταλάντων
ἄξια σῇ φρενὶ,
συμβουλευσομένους μετὰ σοῦ.

ἀλλ᾽ ἐγχείρει τὸν πρεσβύτην, ὅ τι περ μέλλεις, προδιδάσκειν,
καὶ διακίνει τὸν νοῦν αὐτοῦ, καὶ τῆς γνώμης ἀποπειρῶ.

Σω. ἄγε δὴ, κάτειπέ μοι σὺ τὸν σαυτοῦ τρόπον,
ἵν᾽ αὐτὸν εἰδὼς, ὅστις ἐστὶ, μηχανὰς
ἤδη ᾽πὶ τούτοις πρὸς σὲ καινὰς προσφέρω.

Στ. τί δέ; τειχομαχεῖν μοι διανοεῖ, πρὸς τῶν θεῶν;

Σω. οὐκ· ἀλλὰ βραχέα σου πυθέσθαι βούλομαι,
εἰ μνημονικὸς εἶ.

Στ. δύο τρόπω, νὴ τὸν Δία.
ἢν μέν γ᾽ ὀφείληταί τι μοι, μνήμων πάνυ·

ὡς σκῆψιν ἂν ἀγὼν οὗτος οὐκ ἐνδέξεται. Vesp. 942.

οὐκ ἂν σὺ παύσαι χαλεπὸς ὢν καὶ δύσκολος;

Prorsus invenusta est vulgata lectio ἀρά γε τοῦτ᾽ ἄρ᾽ ἐγώ.

467. ὥστε γε σοῦ. Sic A. C. Vulgo ὥστε σοῦ.

471. ἐς λόγους. Sic iv. codd. In A. B. versus sic digesti sunt, ut eos exhibui. In duobus aliis nulla versuum distinctio, continuataque scriptura, tanquam si soluta oratio esset.

481. τί δέ; τειχομαχεῖν. Perperam A. D. τί δαὶ τειχομαχεῖν. Confer not. ad Pl. 1150.

483. δύο τρόπω. In IV. codd. δύω τρόπω. Quod ut pro mendoso agnoscatur, necesse non est argumentis adstruere Atticos δύω ultima longa nunquam adhibuisse. Sed ubi hæc forma occurrit sine versus labe, hinc intelligere est eam librariorum imperitiæ tribuendam esse. Confer not. ad Ran. 1405. Pl. 441.

484. ἢν μέν γ᾽ ὀφείληταί τι μοι, μνήμων πάνυ. Sic optime membr. Meus, ut vulgo, corrupto prorsus metro: εἰ μέν γ᾽ ὀφείλεταί μοι, μνήμων πάνυ. Integris pedibus incedit versus in B. εἰ μέν γ᾽ ὀφείλεταί τι μοι—Sed pravum est εἰ, quum sequatur in altero membro, ἐάν. In C. ἂν μέν γ᾽ ὀφείλεταί τι μοι. Gl. χρεωστεῖταί μοι δάνεισμα παρ᾽ ἑτέρου. Subjunctivum flagitat ἄν.

Vide quot diversis modis hic versus

ἐὰν δ' ὀφείλω, σχέτλιος, ἐπιλήσμων πάνυ.
Σω. ἔνεστι δῆτά σοι λέγειν ἐν τῇ φύσει;
Στ. λέγειν μὲν οὐκ ἔνεστ'· ἀποστερεῖν δ' ἔνι.
Σω. πῶς οὖν δυνήσει μανθάνειν;
Στ. ἀμέλει, καλῶς.
Σω. ἄγε νῦν, ὅπως, ὅταν τι προβάλωμαι σοφὸν
περὶ τῶν μετεώρων, εὐθέως ὑφαρπάσεις.
Στ. τί δαί; κυνηδὸν τὴν σοφίαν σιτήσομαι;
Σω. ἄνθρωπος ἀμαθὴς οὑτοσὶ καὶ βάρβαρος.
δέδοικά σ', ὦ πρεσβῦτα, μὴ πληγῶν δέει.
φέρ' ἴδω, τί δρᾷς, ἤν τις σε τύπτῃ;
Στ. τύπτομαι·
κᾄπειτ' ἐπισχὼν ὀλίγον, ἐπιμαρτύρομαι·
εἶτ' αὖθις ἀκαρῆ διαλιπὼν, δικάζομαι.
Σω. ἴθι νῦν, κατάθου θοἰμάτιον.
Στ. ἠδίκηκά τι;
Σω. οὔκ· ἀλλὰ γυμνοὺς εἰσιέναι νομίζεται.
Στ. ἀλλ' οὐχὶ φωράσων ἔγωγ' εἰσέρχομαι.
Σω. κατάθου. τί ληρεῖς;
Στ. εἰπὲ δὴ νῦν μοι τοδί;

a librariis depravatus fuerit. In postremo hoc codice jam reperio: *εἰ μὲν γὰρ ὠφείληταί τι μοι, μνήμων πάνυ.*

490. *ὑφαρπάσεις.* Sic bene membr. In C. ut vulgo, *ὑφαρπάσει*, voce media. In B. D. *ὑφαρπάσῃς*, solœce, quia *ὅπως* *quomodo*, pendens a suppresso *σκόπει*, vel simili verbo, cum futuro indicativi, non cum aor. 1. subjunctivi construitur. Vide ad Ran. 378. Conc. 295.

493. *μὴ πληγῶν δέει.* Sic bene A. C. Vulgo *μὴ πληγῶν δέῃ*. Semel tantum apud Lucianum *μὴ* cum præsente indicativi observatum sibi fuisse ait Thomas M. p. 613. *Ὅρα γοῦν μὴ τὸ ἐναντίον ἐστι.* Sed non ita rara sunt hujus constructionis exempla, ut bono Magistro visum est. Ad codd. fidem in Sophoclis El. 580. edidimus:

ὅρα, τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς,
μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τίθης.

Eurip. Phœn. 90.

μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται.

Idem Troad. 179.

μή με κτείνειν
δόξ' Ἀργείων κεῖται μελέαν.

In Or. 767. membranæ habent;

οὐ φοβῇ, μή σ' Ἄργος, ὥσπερ κἄμ', ἀποκτεῖναι θέλει.

Cum præterito indicativi *μὴ* constructum frequentissime occurrit. Vide Budæi Comment. L. Gr. pag. 953. et Th. Burgess. in præfatione novæ edit. Miscell. crit. Dawesii p. xxvii.

ἢν ἐπιμελὴς ὦ, καὶ προθύμως μανθάνω,
τῷ τῶν μαθητῶν ἐμφερὴς γενήσομαι;
Σω. οὐδὲν διοίσεις Χαιρεφῶντος τὴν φύσιν.
Στ. οἴμοι κακοδαίμων, ἡμιθνὴς γενήσομαι.
Σω. οὐ μὴ λαλήσεις, ἀλλ' ἀκολουθήσεις ἐμοὶ,
ἀνύσας τι, δευρὶ θᾶττον.
Στ. ἐς τὼ χεῖρέ νυν
δός μοι μελιτοῦτταν πρότερον· ὡς δέδοικ' ἐγὼ
εἴσω καταβαίνων, ὥσπερ ἐς Τροφωνίου.
Σω. χώρει· τί κυπτάζεις ἔχων περὶ τὴν θύραν;
Χο. ἀλλ' ἴθι χαίρων, τῆς ἀνδρείας
οὕνεκα ταύτης.
εὐτυχία γένοιτ' ἀν-
θρώπῳ, ὅτι προήκων
ἐς βαθὺ τῆς ἡλικίας,
νεωτέροις τὴν φύσιν αὑτοῦ
πράγμασι χρωτίζεται,
καὶ σοφίαν ἐπασκεῖ.
Ὦ θεώμενοι, κατερῶ πρὸς ὑμᾶς ἐλευθέρως

504. ἡμιθνὴς γενήσομαι. Vox φύσις ambiguæ est significationis. Pro *ingenio* accipit eam Socrates: at Strepsiades pro *figura*. Ideo timet ne semimortuus esse videatur, quia Chærephon, ut philosophus, macilentus et pallidus erat. Schol. Ms. Ἰστέον ὅτι ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν ὁ Χαιρεφῶν ἦν, ἅτε φιλοσοφίᾳ συζῶν, καὶ ἐκ ταύτης συντετηκὸς ἔχων τὸ σῶμα. διὸ καὶ νυκτερὶς ἐκαλεῖτο, διὰ τὸ ἰσχνόν. Hujus loci acumen latine reddi non potest.

507. μελιτοῦτταν. Sic recte scriptum in B. Perperam duo alii μελιττοῦταν, ut est in primariis editt. Male etiam membr. μελιτοῦταν, ut edidit Kusterus. Vide not. ad Lys. 601. et Valckenarium ad Herod. p. 638. αἰθαλοῦσσα contractum ex αἰθαλόεσσα, est apud Æschylum Prom. 1000.

πρὸς ταῦτα, ῥιπτέσθω μὲν αἰθαλοῦσσα
φλόξ.

Sic ex μελιτόεσσα, μελιτοῦσσα, μελιτοῦττα; οἰνόεσσα, οἰνοῦσσα, οἰνοῦττα. Mirum quam sæpe in illius nominis scriptura peccarint et librarii et editores. Ridicule Spanhemius Guyetum castigat apud Hesychium recte legentem μελιτοῦτταν. Hoc est, quod aiunt, *sus Minervam*. De Trophonii oraculo videndus Hemsterhusius ad Lucianum tom. i. p. 339.

511. οὕνεκα ταύτης. Perperam vulgo εἵνεκα. In B. ἕνεκα.

518. Huic primæ Parabasis parti præmissus est titulus in recentioribus editt. Τροχαϊκοὶ καταληκτικοὶ, qui latine etiam præmissus est versioni Bergleri, licet ea metro non scripta sit, *Trochaici catalectici*. Scias tamen, amice lector, in xlv.

τἀληθῆ, νὴ τὸν Διόνυσον, τὸν ἐκθρέψαντά με.
οὕτω νικήσαιμί γ' ἐγὼ, καὶ νομιζοίμην σοφὸς,
ὡς ὑμᾶς ἡγούμενος εἶναι θεατὰς δεξιοὺς,
καὶ ταύτην σοφώτατ' ἔχειν τῶν ἐμῶν κωμῳδιῶν,
πρώτους ἠξίωσ' ἀναγεῦσ' ὑμᾶς, ἣ παρέσχε μοι
ἔργον πλεῖστον· εἶτ' ἀνεχώρουν ὑπ' ἀνδρῶν φορτικῶν
ἡττηθεὶς, οὐκ ἄξιος ὤν. ταῦτ' οὖν ὑμῖν μέμφομαι
τοῖς σοφοῖς, ὧν οὕνεκ' ἐγὼ ταῦτ' ἐπραγματευόμην.
ἀλλ' οὐδ' ὧς ὑμᾶς ποθ' ἑκὼν προδώσω τοὺς δεξιούς.
ἐξότου γὰρ ἐνθάδ' ὑπ' ἀνδρῶν, οἷς ἡδὺ καὶ λέγειν,
ὁ σώφρων τε χῳ καταπύγων ἄριστ' ἠκουσάτην,
κἀγὼ, παρθένος γὰρ ἔτ' ἦν, κοὐκ ἐξῆν πω μοιτεκεῖν,
ἐξέθηκα, παῖς δ' ἑτέρα τις λαβοῦσ' ἀνείλετο,
ὑμεῖς δ' ἐξεθρέψατε γενναίως, κἀπαιδεύσατε,
ἐκ τούτου μοι πιστὰ παρ' ὑμῖν γνώμης ἔσθ' ὅρκια.
νῦν οὖν, Ἠλέκτραν κατ' ἐκείνην, ἥδ' ἡ κωμῳδία
ζητοῦσ' ἦλθ', ἤν που 'πιτύχῃ θεαταῖς οὕτω σοφοῖς.
γνώσεται γὰρ, ἤν περ ἴδῃ, τἀδελφοῦ τὸν βόστρυχον.
ὡς δὲ σώφρων ἐστὶ φύσει, σκέψασθ' · ἥ τις πρῶτα μὲν
οὐδὲν ἦλθε ῥαψαμένη σκύτινον καθειμένον,
ἐρυθρὸν ἐξ ἄκρου, παχὺ, τοῖς παιδίοις ἵν' ἦν γέλως.

versibus, quibus constat pars illa, non unicum esse trochaicum catalecticum. Tetrametri sunt choriambici polyschematisti Eupolidei, quo de metri genere videndus Hephæstio p. 61. ubi in exemplum adfert versum 529.

ὁ σωφρων τε | χῳ καταπυ | γων αριστ' η | κουσατην.

Pes secundus semper est choriambus: vel, quod eodem redit, si per μονοποδίαν scansionem facias, in tertia sede semper est dactylus.—πρὸς ὑμᾶς. Sic membr. et meus, bene. Vulgo πρός γ' ὑμᾶς. Pes est antispastus.

520. οὕτω νικήσαιμί γ' ἐγώ. Sic ad metri normam legendum. Mendose vulgo οὕτω νικήσαιμ' ἔγωγε.

527. ὑμᾶς. Sic membr. In aliis, ut vulgo, ὑμῶν.

529. ὁ σώφρων τε χῳ—Sic iv. codd. et Hephæstio supra laudatus. Vulgo χῳ σώφρων τε χῳ—Comœdiam innuit, quæ inscripta erat Δαιταλῆς.

531. παῖς δ' ἑτέρα. Schol. Ms. δηλονότι ὁ Φιλωνίδης καὶ ὁ Καλλίστρατος, οἱ ὕστερον γενόμενοι ὑποκριταὶ τοῦ Ἀριστοφάνους.

535. ἦλθ', ἤν που 'πιτύχῃ. Sic recte B. ut metrum flagitat. Perperam vulgo ἦλθεν.

539. ἵν' ἦν γέλως. Codd. etiam. ut impressi, ἵν' ᾖ, mendose, quum præcedat verbum temporis præteriti ἦλθε. Schol. Ms. τοῦτο φησὶ διὰ τὸν Ἕρμιππον, καὶ τὸν Σιμέρμωνα τὸν τούτου ὑποκριτήν.

οὐδ' ἔσκωψε τοὺς φαλακροὺς, οὐδὲ κόρδαχ' εἵλκυσεν·
οὐδὲ πρεσβύτης ὁ λέγων τἄπη, τῇ βακτηρίᾳ
τύπτει τὸν παρόντ', ἀφανίζων πονηρὰ σκώμματα.
οὐδ' εἰσῇξε δᾷδας ἔχουσ'· οὐδ' Ἰοὺ, Ἰοὺ, βοᾷ·
ἀλλ' αὑτῇ καὶ τοῖς ἔπεσιν πιστεύουσ' ἐλήλυθε.
κἀγὼ μὲν τοιοῦτος ἀνὴρ ὢν ποιητὴς, οὐ κομῶ,
οὐδ' ὑμᾶς ζητῶ 'ξαπατᾷν, δὶς καὶ τρὶς ταὔτ' εἰσάγων·
ἀλλ' ἀεὶ καινὰς ἰδέας εἰσφέρων σοφίζομαι,
οὐδὲν ἀλλήλαισιν ὁμοίας, καὶ πάσας δεξιάς.
ὃς μέγιστον ὄντα Κλέων' ἔπαισ' ἐς τὴν γαστέρα,
κοὐκέτ' ἐσαῦθίς γ' ἐπεπήδησά γ' αὐτῷ κειμένῳ.
οὗτοι δ', ὡς ἅπαξ παρέδωκεν λαβὴν Ὑπέρβολος,
τοῦτον δείλαιον κολετρῶσ' ἀεὶ καὶ τὴν μητέρα.
Εὔπολις μὲν τὸν Μαρικᾶν πρώτιστον παρείλκυσεν

Quod autem Hermippo exprobrat, ipse admisit in Lysistrata et in Thesmophoriazusis.

540. Schol. Ms. τοῦτο διὰ τὸν Εὔπολιν. De comica saltatione, quæ κόρδαξ vocabatur, vide Meursium in Orchestra. Casaubonus ad Theophrasti Char. p. 177. putat ad restim solitum cordacem saltari, quia Comicus hic dicit κόρδακα ἑλκύειν: Julianus et alii ἕλκειν κόρδακα. Sed et paulo infra Εὔπολις τὸν Μαρικᾶν παρείλκυσεν. Schol. Ms. κόρδακα, τὸ λεγόμενον ἰδιωτικῶς καρυδᾶν λέγει. τὸ δὲ εἵλκυσεν, ἀντὶ τοῦ ἐσώτερον εἰσήγαγε νοεῖ. et ad παρείλκυσεν, v. 553. glossa εἰς τὸ θέατρον εἰσήγαγεν. Barbaram vocem καρυδᾶν non reperio in Car. Du Fresne glossario.

κόρδαχ'. Gl. τὸν λεγόμενον ἰδιωτικῶς καριδᾶν λέγει. τὸ δὲ εἵλκυσεν ἀντὶ τοῦ ἐν τῷ θεάτρῳ εἰσήγαγε νόει. Eandem hanc glossam ex alio codice jam cum scripturæ mendis protuleram. Perperam illa verbum ἑλκύειν interpretatur, quod saltationis proprium est. Vide Pac. 328.

545. οὐ κομῶ. Gl. οὐκ ἐπαίρομαι. Seq. v. ταὔτ' valet τὰ αὐτά. Perperam vulgo ταῦτ'—

547. ἀλλ' ἀεὶ—Necesse non erat ob metrum legere αἰεί.—εἰσφέρων σοφίζομαι. Sic veteres editt. et tres codd. In B. a prima manu εἰσφέρειν, sed emendatum εἰσφέρων. Male in Kusteriana et exinde in novissima Batava εἰσφέρω, σοφίζομαι.

550. Mendosa est hujus versus scriptura in codd. omnibus. Tres habent κοὐκ ἐσαῦτις, vel ἐσαῦθις, vel κουκέτ' αὖθις ἐμπεπήδηκ' αὐτῷ κειμένῳ. B. κοὐκ ἐσαῦθις ἐπεπήδησ'—

Cod. κοὐκ ἐσαῦτις ἐπεπήδησ'—

552. ἀεὶ—Sic A. C. recte, ut supra v. 547. κολετρῶσ'. Gl. ὑβρίζουσι. In C. ὃ φασὶν ἰδιωτικῶς κλοτζοκοποῦσι. Accuratior forte est ea scriptura, quam ea quæ reperta fuit Car. Du Fresne in cod. cujus meminit, Glossarii inf. Gr. col. 670. In meo τζαλαπατοῦσι.

κολετρῶσ'. Gl. ὃ φασιν ἰδιωτικῶς κλοτζοκουποῦσιν.

553. τὸν Μαρικᾶν. Titulus est Fabulæ, quam Eupolis in Hyperbolum fecit, ut in Cleonem Comicus noster Equites. Id

ἐκστρέψας τοὺς ἡμετέρους Ἱππέας κακὸς κακῶς·
προσθεὶς αὐτῷ γραῦν μεθύσην, τοῦ κόρδακος ἕνεχ', ἣν
Φρύνιχος πάλαι πεποίηχ', ἣν τὸ κῆτος ἤσθιεν.
εἶθ' αὖθις Ἕρμιππος ἐποίησεν εἰς Ὑπέρβολον·
ἄλλοι τ' ἤδη πάντες ἐρείδουσιν εἰς Ὑπέρβολον,
τὰς εἰκοὺς τῶν ἐγχέλεων τὰς ἐμὰς μιμούμενοι.
ὅστις οὖν τούτοισι γελᾷ, τοῖς ἐμοῖς μὴ χαιρέτω·
ἢν δ' ἐμοὶ καὶ τοῖσιν ἐμοῖς εὐφραίνησθ' εὑρήμασιν,
ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

Ημ. Ὑψιμέδοντα μὲν θεῶν
Ζῆνα τύραννον ἐς χορὸν
πρῶτα μέγαν κικλήσκω·
τόν τε μεγασθενῆ τριαίνης ταμίαν,
γῆς τε καὶ ἁλμυρᾶς
θαλάσσης ἄγριον μοχλευτήν·
καὶ μεγαλώνυμον ἡμέτερον πατέρ',
Αἰθέρα σεμνότατον, βιοθρέμμονα πάντων·
τόν θ' ἱππονώμαν, ὃς ὑπερ-

autem nominis per se quid significet, tradit Hesychius in hac glossa: *μαρικᾶν, κίναιδον· οἱ δὲ, ὑποκόρισμα παιδίου ἄῤῥενος βαρβαρικόν.*

555. *οὕνεχ', ἣν Φρύνιχος*—Vulgo *οὕνεκα* in fine prioris versus, et alterius initio *ἣν Φρύνιχος πάλαι πεποίηχ'*, quo pacto soluti prorsus erant numeri, quos restituit Bentleius.

557. Vulgo legitur metro prorsus corrupto:

εἶθ' Ἕρμιππος αὖθις πεποίηκεν εἰς Ὑπέρβολον.

Bentleius metro consulebat pro *αὖθις* legens *αὖθι*, sententia reclamante. Diversa sunt *αὖθις* et *αὖθι*: illud *πάλιν* significat, quod hic sensus requirit: hoc *αὐτόθι*, et est poëticum. Vitium est in *πεποίηκεν*. Legendum

εἶθ' αὖθις Ἕρμιππος ἐποίησεν εἰς Ὑπέρβολον.

559. Auctor Etymol. M. p. 312. extrema. *τὸ δὲ παρὰ Ἀριστοφάνει, τὰς εἰκοὺς τῶν ἐγχέλεων, ἀπὸ τοῦ ἔγχελις ἐγχέλεως ἐστὶν, ὡς ὄφις ὄφεως.* Innuit autem similitudinem illam de anguillis, quæ est in Equit. v. 864.

ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.
ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν·
ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
αἱροῦσι. καὶ σὺ λαμβάνεις, ἢν τὴν πόλιν ταράττῃς.

566. *τριαίνης ταμίαν.* Schol. Ms. *ἤγουν φύλακα. τὸν Ποσειδῶνα φησὶν, ὃς τούς τε σεισμοὺς, καὶ τὰς ἐν θαλάσσῃ τρικυμίας ποιεῖ· τὰς μὲν, ὡς κυρίος ὢν τῶν ἀνέμων· σείει δὲ τὴν γῆν διὰ τῶν αὐτῶν τούτων ἀνέμων, εἰσιόντων εἰς τοὺς ἀδήλους πόρους αὐτῆς.*

571. *ἱππονώμαν*, gl. *τὸν ἵππους κινοῦντα ἥλιον.*

λάμπροις ἀκτῖσιν κατέχει
γῆς πέδον, μέγας ἐν θεοῖς,
ἐν θνητοῖσί τε, δαίμων.

Χο. Ὦ σοφώτατοι θεαταὶ, δεῦρο τὸν νοῦν προσέχετε.
ἠδικημέναι γὰρ ὑμῖν, μεμφόμεσθ᾽ ἐναντίον.
πλεῖστα γὰρ θεῶν ἁπάντων ὠφελούσαις τὴν πόλιν,
δαιμόνων ἡμῖν μόναις οὐ θύετ᾽ οὐδὲ σπένδετε,
αἵ τινες τηροῦμεν ὑμᾶς. ἢν γὰρ ᾖ τις ἔξοδος
μηδενὶ ξὺν νῷ, τότ᾽ ἢ βροντῶμεν, ἢ ψεκάζομεν.
εἶτα τὸν θεοῖσιν ἐχθρὸν βυρσοδέψην Παφλαγόνα
ἡνίχ᾽ ᾑρεῖσθε στρατηγὸν, τὰς ὀφρῦς ξυνήγομεν,
κἀποιοῦμεν δεινά· βροντὴ δ᾽ ἐῤῥάγη δι᾽ ἀστραπῆς·
ἡ σελήνη δ᾽ ἐκλέλοιπε τὰς ὁδούς· ὁ δ᾽ ἥλιος,
τὴν θρυαλλίδ᾽ εἰς ἑαυτὸν εὐθέως ξυνελκύσας,
οὐ φανεῖν ἔφασκεν ὑμῖν, εἰ στρατηγήσει Κλέων.
ἀλλ᾽ ὅμως εἵλεσθε τοῦτον. φασὶ γὰρ δυσβουλίαν
τῇδε τῇ πόλει προσεῖναι· ταῦτα μέντοι τοὺς θεοὺς,
ἅττ᾽ ἂν ὑμεῖς ἐξαμάρτητ᾽, ἐπὶ τὸ βέλτιον τρέπειν.
ὡς δὲ καὶ τοῦτο ξυνοίσει, ῥᾳδίως διδάξομεν.
ἢν Κλέωνα τὸν λάρον δώρων ἑλόντες καὶ κλοπῆς,
εἶτα φιμώσητε τούτου τῷ ξύλῳ τὸν αὐχένα,
αὖθις ἐς τἀρχαῖον ὑμῖν, εἴ τι κἀξημάρτετε,
ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει ξυνοίσεται.

Ημ. Ἀμφί μοι αὖτε, Φοῖβ᾽ ἄναξ
Δήλιε, Κυνθίαν ἔχων

576. ὑμῖν. Sic iv. codd. Perperam vulgo ὔμμιν.

580. βροντῶμεν, ἢ ψεκάζομεν. Gl. δῆλον ἐντεῦθεν ποιοῦσαι ὡς οὐκ ἀποδεχόμεθα ταύτην, ὡς ἀλυσιτελῆ τῆς πόλεως.

584. ἡ σελήνη δ᾽ ἐκλέλοιπε τὰς ὁδούς. Sic optime membr. Vulgo, claudicante versu, ἐξέλιπε.

587. φασὶ γὰρ δυσβουλίαν. Confer Conc. 474.

589. ἐπὶ τὸ βέλτιον. Male cod. ἐπὶ τὸ βέλτιστον. Proclivis librariorum lapsus in commutandis superlativis et comparativis.

590. τοῦτο ξυνοίσει. Gl. λυσιτελήσει, ὠφελήσει. At aliter accipio. Mox ξυνοίσεται. Gl. συνδραμεῖται. Thesm. 139. τί λήκυθος καὶ στρόφιον; ὡς οὐ ξύμφορον. *Quam non conveniunt!*

593. εἴ τι κἀξημάρτετε. Sic optime membr. ad metri legem. Pessime vulgo κἀξημάρτηται.

ὑψικέρατα πέτραν·
ἥ τ' Ἐφέσου μάκαιρα πάγχρυσον ἔχεις
οἶκον, ἐν ᾧ κόραι
σε Λυδῶν μεγάλως σέβουσιν·
ἥ τ' ἐπιχώριος ἡμετέρα θεὸς,
αἰγίδος ἡνίοχος, πολιοῦχος Ἀθάνα·
Παρνασίαν θ' ὃς κατέχων
πέτραν, σὺν πεύκαις σελαγεῖ,
Βάκχαις Δελφίσιν ἐμπρέπων,
κωμαστὴς Διόνυσος.

Χο. Ἡνίχ' ἡμεῖς δεῦρ' ἀφορμᾶσθαι παρεσκευάσμεθα,
ἡ Σελήνη ξυντυχοῦσ' ἡμῖν, ἐπέστειλεν φράσαι,
πρῶτα μὲν χαίρειν Ἀθηναίοισι, καὶ τοῖς ξυμμάχοις·
εἶτα θυμαίνειν ἔφασκε· δεινὰ γὰρ πεπονθέναι,
ὠφελοῦσ' ὑμᾶς ἅπαντας, οὐ λόγοις, ἀλλ' ἐμφανῶς.
πρῶτα μὲν τοῦ μηνὸς εἰς δᾷδ' οὐκ ἔλαττον, ἢ δραχμὴν,
ὥστε καὶ λέγειν ἅπαντας, ἐξιόντας ἑσπέρας·
Μὴ πρίω, παῖ, δᾷδ', ἐπειδὴ φῶς Σεληναίης καλόν.
ἄλλα τ' εὖ δρᾷν φησίν· ὑμᾶς δ' οὐκ ἄγειν τὰς ἡμέρας
οὐδὲν ὀρθῶς, ἀλλ' ἄνω τε καὶ κάτω κυδοιδοπᾷν.

597. ὑψικέρατα. A. B. ὑψικεράταν.

604. σελαγεῖ. Sic etiam codd. Sed legendum σελαγεῖς.

Optimum est σελαγεῖ, nec mutandum. Id enim ipsum est, quod volebam, quodque a Scholiasta deceptus, imprudens haud noscitavi; scilicet secunda pers. formæ passivæ, non vero tertia activæ, quæ si apud alios quosdam occurrit, Comico nostro non fuit usitata. Supra v. 286. ἀκάματον αἰθέρος ὄμμα σελαγεῖται. Ach. 924. αἱ νῆες σελαγοῖντ' ἂν εὐθύς.

608. ξυντυχοῦσ'. Schol. Ms. Οὐκ ἔστιν ἐνταῦθα τὸ συντυχοῦσα ἀντὶ τοῦ συναντήσασα, ὥς τινες οἴονται, συντάσσοντες πρὸς τοῦτο τὸ ἡμῖν. ἀλλὰ τὸ συντυχοῦσα λέγει ἀντὶ τοῦ κατὰ τύχην φανεῖσα καὶ εὑρεθεῖσα, συντάσσων τὸ ἡμῖν πρὸς τὸ ἐπέστειλεν. ἐντυγχάνει γὰρ τῷδε ὁ δεῖνα, λέγε· συντυγχάνει δὲ, ἀντὶ τοῦ κατὰ τύχην συμβαίνει. καὶ Θουκυδίδης· οὕτω πῃ ξυντυχὸν, ἤτοι συμβάν. οἱ δὲ ἄλλως λέγοντες ἁμαρτάνουσιν. At vero fallitur ipse Græculus. Differentiam quam statuit non confirmat scriptorum usus.

615. ἄλλα τ' εὖ δρᾷν φησίν· ὑμᾶς δ' οὐκ ἄγειν τὰς ἡμέρας. Sic legendum et distinguendum, quod monuit Bentleius. Perperam vulgo: ἄλλα τ' εὖ δρᾷν φησὶν ὑμᾶς, κοὐκ ἄγειν—

616. κυδοιδοπᾷν. Schol. Ms. ταράσσειν, ἀνατρέπειν. καὶ γὰρ ἐν τῇ πρώτῃ ἡμέρᾳ τεταγμένον ἦν τὸν Δία τιμᾷν, ἐν δὲ τῇ δευτέρᾳ τὸν Ποσειδῶνα, καὶ τοὺς ἄλλους θεοὺς καθεξῆς. οὗτοι δὲ, ὅτε ἔδει τῷ

ὥστ' ἀπειλεῖν φησὶν αὐτῇ τοὺς θεοὺς ἑκάστοτε,
ἡνίκ' ἂν ψευσθῶσι δείπνου, κἀπίωσιν οἴκαδε,
τῆς ἑορτῆς μὴ τυχόντες, κατὰ λόγον τῶν ἡμερῶν.
κᾆθ', ὅταν θύειν δέῃ, στρεβλοῦτε καὶ δικάζετε.
πολλάκις δ' ἡμῶν ἀγόντων τῶν θεῶν ἀπαστίαν,
ἡνίκ' ἂν πενθῶμεν ἢ τὸν Μέμνον', ἢ Σαρπηδόνα,
σπένδεθ' ὑμεῖς, καὶ γελᾶτ'. ἀνθ' ὧν λαχὼν Ὑπέρβολος
τῆτες ἱερομνημονεῖν, κἄπειθ' ὑφ' ἡμῶν τῶν θεῶν
τὸν στέφανον ἀφηρέθη. μᾶλλον γὰρ οὕτως εἴσεται
κατὰ Σελήνην ὡς ἄγειν χρὴ τοῦ βίου τὰς ἡμέρας.

ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΧΟΡΟΣ.

Σω. ΜΑ τὴν ἀναπνοὴν, μὰ τὸ Χάος, μὰ τὸν Ἀέρα,
οὐκ εἶδον οὕτως ἄνδρ' ἄγροικον οὐδένα,
οὐδ' ἄπορον, οὐδὲ σκαιὸν, οὐδ' ἐπιλήσμονα·
ὅστις σκαλαθυρμάτι' ἄττα μικρὰ μανθάνων,
ταῦτ' ἐπιλέλησται, πρὶν μαθεῖν. ὅμως γε μὴν
αὐτὸν καλῶ θύραζε δευρὶ πρὸς τὸ φῶς.
ποῦ Στρεψιάδης; ἔξει, τὸν ἀσκάντην λαβών.
Στ. ἀλλ' οὐκ ἐῶσί μ' ἐξενεγκεῖν οἱ κόρεις.
Σω. ἀνύσας τι κατάθου, καὶ πρόσεχε τὸν νοῦν.
Στ. ἰδού.
Σω. ἄγε δὴ, τί βούλει πρῶτα νυνὶ μανθάνειν,

Διῒ θύειν, τῷ Ποσειδῶνι ἔθυον· ὅτε δὲ τῷ Ποσειδῶνι, ἑτέρῳ θεῷ ἔθυον. καὶ διὰ τοῦτο λέγει τὸ κυδοιδοπᾷν.

621. ἀπαστίαν. Gl. νηστείαν, ἀσιτίαν.

624. Harpocratio: Ἱερομνήμονες. οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον ἐξ ἑκάστης πόλεως τῶν τοῦ συνεδρίου μετεχουσῶν. Isti proprie Πυλαγόραι nuncupabantur. Qui vero comes iis adjungebatur, Scriba, is ἱερομνήμων audiebat. Suidas ἱερομνήμονες, οἱ εἰς Πυλαίαν ἐκπεμπόμενοι γραμματεῖς. Vide Fragm. Thesm. ii. xiii.

627. Glossa: ἀναπνοὴν λέγει, τὴν τοῦ ἀέρος ἀνάπνευσιν, ἣν ἀναπνέουσιν ἄνθρωποι· Χάος δὲ, τὸν τόπον ἐν ᾧ ὁ ἀήρ.

629. Glossæ: ἄπορον, ἀφυῆ. σκαιὸν, ἀπαίδευτον, φαυλόνουν. σκαλαθυρμάτια, μικρὰ καὶ εὐτελῆ παίγνια. Thema est σκάλλω, unde σκαλαθύρω, *fodico*, quod in obscenis est: vide Conc. 611. Qui prunas fodiunt, scintillas pulveremque excitant: unde σκαλαθυρμάτια, pro re quavis tenuissima.

633. τὸν ἀσκάντην. Gl. τὸν σκίμποδα. τὸν σκίμποδα.

634. οἱ κόρεις. Gl. ὑφ' ὧν πιέζομαι ἐπὶ τούτου καθήμενος.

ὧν οὐκ ἐδιδάχθης πώποτ' οὐδέν; εἴπ' ἐμοί.
πότερα περὶ μέτρων, ἢ περὶ ἐπῶν, ἢ ῥυθμῶν;
Στ. περὶ τῶν μέτρων ἔγωγ'· ἔναγχος γάρ ποτε
ὑπ' ἀλφιταμοιβοῦ παρεκόπην διχοινίκῳ.
Σω. οὐ τοῦτ' ἐρωτῶ σ'· ἀλλ' ὅ τι κάλλιστον μέτρον
ἡγεῖ· πότερα τὸ τρίμετρον, ἢ τὸ τετράμετρον;
Στ. ἐγὼ μὲν οὐδὲν πρότερον ἡμιεκτέου.
Σω. οὐδὲν λέγεις, ὤνθρωπε.
Στ. περίδου νῦν ἐμοί,

638. ἢ περὶ ἐπῶν, ἢ ῥυθμῶν. Sic, ut impressi, tres codd. In membr. minus concinne, ἢ περὶ ῥυθμῶν, ἢ ἐπῶν.

639. Scholion margini codicis mei adscriptum: ἀκούσας περὶ μέτρων ὁ Στρεψιάδης, τὸ δημοτικὸν μέτρον, ᾧ μετροῦσι τὰ σπέρματα, σκαιῶς ὑπείληφεν, διὸ Περὶ μέτρων, φησὶν, ἔγωγε. καὶ ἐκ τούτου διαβάλλει τὸν Σωκράτην, ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν. οὔτε γὰρ ποιητὴς ἦν, οὔτε μουσοποιός.

641. Cod. κάλλιστον μέτρων, male.

642. πότερα vulgo πότερον. Illud reponi debuit, tum ob euphoniam, tum quia magis Atticum est, quod jam observatum fuit ad Conc. 754. Sic supra vulgati etiam libri habent, πότερα περὶ μετρῶν, ἢ περὶ ἐπῶν, ἢ ῥυθμῶν: ubi ob terminationis ον frequentiam ingratum esset πότερον.

πότερα et πότερον sæpe commutarunt librarii, in hoc propensiores, cujus rei exemplum vide ad Av. 1244. Sic πρότερον pro πρότερα scriptum in cod. quem nunc verso, in v. 658.

643. ἡμιεκτέου, quod ex rustici sententia idem est quod τετράμετρον. Quum Socrates de trimetro et tetrametro loquitur, metrorum seu carminum genera intelligit: sed alter ista pro mensurarum nominibus accipit. Ad hujus loci intelligentiam sciendum est Atticorum *medimnum* in 48. *chœnices* dividi solitum fuisse, ἑκτεὺς, *sextarius*, sexta pars medimni, seu *modius*, est chœnicum 8. Proinde ἡμιεκτέον, *semisextarius* est quatuor chœnicum, seu mensurarum. Nam chœnix κατ' ἐξοχὴν *mensura* vocatur, quia tantum frumenti continet, quantum homini satis sit ad diurnum victum.

644. Auctor Etymol. M. περιδώμεθα. καὶ Ἀριστοφάνης· περιδοῦ νῦν ἐμοί. καὶ, Ἐμέθεν περιδώσομαι, ἀντὶ τοῦ, κατ' ἐμαυτὴν συνθηκοποιήσομαι. εἴρηται ἀπὸ τοῦ δῶ, τὸ δεσμεύω. Homerum respicit duobus locis. Ἰλ. ψ'. 485.

εἰ δ' ἄγε νῦν τρίποδος περιδώμεθον, ἠὲ λέβητος.

Odyss. ψ'. 78.

αὐτὰρ ἐγὼν ἐμέθεν περιδώσομαι αὐτῆς.

Ad priorem locum hæc adnotat Eustathius p. 1312. l. 20. περιδώμεθον δὲ, ἀντὶ τοῦ συνθώμεθα, συμφωνήσωμεν, καὶ, ὡς οἱ πολλοί φασι, θῶμεν στοίχημα. ἢ σαφέστερον καὶ κοινότερον εἰπεῖν, δώμεθα, ὅ ἐστι δεσμηθῶμεν συνθήκαις, ὧν ὁ διαιτητὴς καὶ κριτὴς, ἢ μάρτυς, ἵστωρ ἐλέγετο, παρὰ τὸ εἰδέναι. ὁποῖός τις κεῖται καὶ ἐν τῷ· (Ἰλ. σ'. 501.) ἄμφω δ' ἱέσθην ἐπὶ ἵστορι πεῖραρ ἑλέσθαι. Sed nugantur isti Grammatici, et cum eis insane bene Berglerus, περίδου derivans a δέω *ligo*. Est a περιδίδομαι, unde in Equit. 791. ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι. In codd. περιδοῦ scriptum est, minus bene. περίδου scribendum, ut ἀπόδου, Ran. 1235.

εἰ μὴ τετράμετρόν ἐστιν ἡμιεκτέον.
Σω. ἐς κόρακας· ὡς ἄγροικος εἶ καὶ δυσμαθής.
ταχύ γ' ἂν δύναιο μανθάνειν περὶ ῥυθμῶν.
Στ. τί δέ μ' ὠφελήσουσ' οἱ ῥυθμοὶ πρὸς τἄλφιτα;
Σω. πρῶτον μὲν εἶναι κομψὸν ἐν ξυνουσίᾳ·
εἶτ' ἐπαΐειν ὁποῖός ἐστι τῶν ῥυθμῶν
κατ' ἐνόπλιον, χὠποῖος αὖ κατὰ δάκτυλον.
Στ. κατὰ δάκτυλον; νὴ τὸν Δί', ἀλλ' οἶδ'.
Σω. εἰπὲ δή.
Στ. τίς ἄλλος ἀντὶ τουτουῒ τοῦ δακτύλου;
πρὸ τοῦ μὲν, ἔτ' ἐμοῦ παιδὸς ὄντος, οὑτοσί.
Σω. ἀγρεῖος εἶ καὶ σκαιός.
Στ. οὐ γὰρ, ὦ 'ζυρὲ,
τούτων ἐπιθυμῶ μανθάνειν οὐδέν.
Σω. τί δαί;
Στ. ἐκεῖν', ἐκεῖνο, τὸν ἀδικώτατον λόγον.
Σω. ἀλλ' ἕτερα δεῖ σε πρότερα τούτου μανθάνειν·
τῶν τετραπόδων ἅττ' ἐστὶν ὀρθῶς ἄῤῥενα.
Στ. ἀλλ' οἶδ' ἔγωγε τἄῤῥεν', εἰ μὴ μαίνομαι.

647. *μανθάνειν περὶ ῥυθμῶν.* Vulgo *μανθάνειν σὺ περὶ ῥυθμῶν.* A mala manu est istud *σὺ*, quod versui sustentando insertum fuit. Hoc fulcro non eget. Vide not. ad Pl. 1065. et Markland ad Euripidis Suppl. 94.

649. Glossæ: *κομψὸν, πιθανὸν καὶ ἡδύν. ἐπαΐειν, αἰσθάνεσθαι. κατ' ἐνόπλιον—κατὰ δάκτυλον, εἴδη ῥυθμῶν ἀμφότερα.* Duo sunt veteris Musicæ rhythmi.

653. *τουτουῒ τοῦ δακτύλου.* Gl. *τὴν πόσθην αὐτοῦ ἔδειξε.* *Quis aliûs nisi penis hicce? antehac vero, quum puer essem, digitus hic præsto mihi erat.* Magna est in his nequitia, quam satis explicasse mihi videor. Quid sibi hæc vellent, non adsecuti fuerant interpretes. Licet manifesta sit oppositio inter binos, quos rusticus ostendit dactylos, unum quid longeque diversum ex his fecit Etruscus interpres Jo. Bapt. Terucci, cujus in Græcis nec vola nec vestigium est:

E un frutto di cert' albero,
che mel davano ancor quand' era piccolo.

Caute Fabri filia, quæ puellari ætate fabulam Gallice vertit, scopulum hunc declinavit.

655. *ἀγρεῖος.* Sic membr. Vulgo mendose *ἀχρεῖος.* Suidas: *ἀγρεῖος, ὁ ἄγροικος, ὁ ἀμαθὴς, ἢ ἀπὸ τοῦ ἀγροῦ. Ἀριστοφάνης Νεφέλαις· ὡς ἀγρεῖος εἶ καὶ σκαιός.* Vide Thesm. 160. In C. *ἄγροικος*, e glossemate. In B. *ἀρχεῖος*, e quo suspicari quis posset scriptum olim fuisse *ἀρχαῖος.*

ἀγρεῖος. Sic etiam distincte et emendate cod. superscripta glossa *ἄγροικος*, quæ in C. genuinæ vocis locum invaserat.

κριὸς, τράγος, ταῦρος, κύων, ἀλεκτρυών.
Σω. ὁρᾷς ἃ πάσχεις; τήν τε θήλειαν, καλεῖς
ἀλεκτρυόνα κατὰ ταυτὸ, καὶ τὸν ἄῤῥενα.
Στ. πῶς δή; φέρε.
Σω. πῶς; ἀλεκτρυὼν κἀλεκτρυών.
Στ. νὴ τὸν Ποσειδῶ. νῦν δὲ πῶς με χρὴ καλεῖν;
Σω. ἀλεκτρύαιναν· τὸν δ' ἕτερον, ἀλέκτορα.
Στ. ἀλεκτρύαιναν; εὖγε, νὴ τὸν Ἀέρα·
ὥστ' ἀντὶ τούτου τοῦ διδάγματος μόνου
διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον.
Σω. ἰδοὺ μάλ' αὖθις τοῦθ' ἕτερον· τὴν κάρδοπον
ἄῤῥενα καλεῖς, θήλειαν οὖσαν.
Στ. τῷ τρόπῳ
ἄῤῥενα καλῶ 'γὼ κάρδοπον;
Σω. μάλιστά γε·
ὥσπερ γε καὶ Κλεώνυμον.
Στ. πῶς δή; φράσον.
Σω. ταυτὸν δύναταί σοι κάρδοπος Κλεωνύμῳ.
Στ. ἀλλ', ὦ 'γαθ', οὐδ' ἦν κάρδοπος Κλεωνύμῳ·
ἀλλ' ἐν θυείᾳ στρογγύλῃ γ' ἀνεμάττετο.
ἀτὰρ τολοιπὸν πῶς με χρὴ καλεῖν;
Σω. ὅπως;

662. ὁρᾷς ἃ πάσχεις; *viden' quid tibi eveniat, quid facias?* πάσχω est hic pro πράττω. Vide not. ad Ran. 302. ἀλεκτρυόνα feminino genere *gallinam* vocarunt veteres, ut et *gallinaceum* τὸν ἀλέκτορα. Vide Amphiarai fragm. iii. et Dædali iv. Ex aliis Comicis exempla plurima profert Athenæus p. 373. inter quæ hoc est Cratini in *Nemesi*:

Λήδα, σὸν ἔργον, δεῖ σ' ὅπως εὐσχημόνως
ἀλεκτρυόνος μηδὲν διοίσεις τοὺς τρόπους,
ὅπως ἐπῳάζουσ' ἂν ἐκλέψῃς καλὸν
ἡμῖν τι καὶ θαυμαστὸν ἐκ τοῦδ' ὄρνεον.

Tertius horum senarius misere vulgo depravatus fertur. In R. cod. sic scriptus est: ἐπὶ τῷδε πωάζουσα ὡς ἂν ἐκλέψῃς καλόν. Alii aliter emendarunt; mihi placet ratio, quam secutus sum. Sic Noster Lys. 1182.

νῦν οὖν ὅπως ἁγνεύσετε,
ὅπως ἂν αἱ γυναῖκες ὑμᾶς ἐν πόλει
ξενίσωμεν.

Theopompus etiam in *Pace*:

ἄχθομαι δ' ἀπολωλεκὼς
ἀλεκτρυόνα τίκτουσαν ᾠὰ πάγκαλα.

672. A. C. ἄῤῥενα καλῶ 'γὼ τὴν κάρδοπον; Præstaret forte ἄῤῥενα καλῶ τὴν κάρδοπον; Duo alii in vulgata lectione consentiunt, ἄῤῥενα καλῶ 'γὼ κάρδοπον;

τὴν κάρδοπην, ὥσπερ καλεῖς τὴν Σωστράτην.

Στ. τὴν καρδόπην θήλειαν ὀρθότερον λέγεις.

ἐκεῖνο δ' ἦν ἄν, καρδόπη, Κλεωνύμη.

Σω. ἔτι δή γε περὶ τῶν ὀνομάτων μαθεῖν σε δεῖ,

ἅττ' ἄῤῥεν' ἐστὶν, ἅττα δ' αὐτῶν θήλεα.

Στ. ἀλλ' οἶδ' ἔγωγ', ἃ θήλε' ἐστίν.

Σω. εἰπὲ δή.

Στ. Λύσιλλα, Φίλιννα, Κλειταγόρα, Δημητρία.

Σω. ἄῤῥενα δὲ ποῖα τῶν ὀνομάτων;

Στ. μυρία.

Φιλόξενος, Μελησίας, Ἀμυνίας.

Σω. ἀλλ', ὦ πόνηρε, ταῦτά γ' ἔστ' οὐκ ἄῤῥενα.

Στ. οὐκ ἄῤῥεν' ἐν ὑμῖν ἐστίν;

Σω. οὐδαμῶς γ', ἐπεὶ

πῶς ἂν καλέσειας, ἐντυχὼν Ἀμυνίᾳ;

Στ. ὅπως ἄν; ὡδί. Δεῦρο, δεῦρ', Ἀμυνία.

Σω. ὁρᾷς; γυναῖκα τὴν Ἀμυνίαν καλεῖς.

Στ. οὔκουν δικαίως, ὅστις οὐ στρατεύεται;

ἀτὰρ τί ταῦθ' ἃ πάντες ἴσμεν, μανθάνω;

Σω. οὐδὲν, μὰ Δί'· ἀλλὰ κατακλινεὶς δευρὶ—

Στ. τί δρῶ;

680. Cleonymum hic facete irridet Comicus. Nomina quæ generis feminini sint, Socrates rustico ostendit a masculinis terminatione etiam distingui debere: male eum τὴν κάρδοπον dixisse, dicendum fuisse τὴν καρδόπην. Doctrinam hanc valde probat rusticus, et ex ea colligit Cleonymum, qui timidus erat, clypeoque abjecto, fuga se e pugna proripuerat, non viri nomine Κλεώνυμος, sed feminæ Κλεωνύμη appellandum esse. Multus est in exagitando hoc Cleonymo, cui salse supra timiditatem exprobravit v. 353.

681. ἔτι δή γε περὶ τῶν—Sic recte meus, ut impressi. Mendosi sunt tres alii, in quibus ἔτ' ἔτι περὶ τῶν—ἔτι γε περὶ τῶν—ἔτι δὴ περὶ τῶν—.

688. οὐκ ἄῤῥεν' ἐν ὑμῖν ἐστίν; Sic tres codd. Vulgo omissa præpositio ἐν.

οὐκ ἄῤῥεν' ἐν ὑμῖν ἐστίν: Sic etiam hic cod. Glossa, οὐκ ἄῤῥενα ταῦτα ὑμεῖς ἡγεῖσθε;

691. γυναῖκα τὴν Ἀμυνίαν καλεῖς. Sic iv. codd. et primariæ editt. Male feriatus typotheta in officina heredum Phil. Juntæ contra metri legem δὴ infersit, quod nec Cratander, nec Venetæ editt. nec Parisina Wecheli admisere. Id imperite revocavit Frobenius, cujus ex editione in ceteras deinceps transiit. Corruptos esse numeros ne sensit quidem Kusterus.

Σω. ἐκφρόντισόν τι τῶν σεαυτοῦ πραγμάτων.
Στ. μὴ δῆθ', ἱκετεύω σ', ἐνθάδ'· ἀλλ', εἴπερ γε χρὴ,
χαμαί μ' ἔασον αὐτὰ ταῦτ' ἐκφροντίσαι.
Σω. οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα.
Στ. κακοδαίμων ἐγὼ,
οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερον.
Σω. φρόντιζε δὴ καὶ διάθρει·
πάντας τρόπους σεαυτὸν
στρόβει πυκνώσας·
ταχὺς δ', ὅταν εἰς ἄπορον
πέσῃς, ἐπ' ἄλλο πήδα
νόημα φρενός· ὕπνος δ' ἀπέστω
γλυκύθυμος ὀμμάτων.
Στ. ἰατταταὶ, ἰατταταί.
Σω. τί πάσχεις; τί κάμνεις;
Στ. ἀπόλλυμαι δείλαιος· ἐκ τοῦ σκίμποδος
δάκνουσί μ' ἐξέρποντες οἱ Κορίνθιοι,
καὶ τὰς πλευρὰς δαρδάπτουσιν,
καὶ τὴν ψυχὴν ἐκπίνουσιν,
καὶ τοὺς ὄρχεις ἐξέλκουσιν,
καὶ τὸν πρωκτὸν διορύττουσιν,
καί μ' ἀπολοῦσιν.
Σω. μὴ νῦν βαρέως ἄλγει λίαν.

699. τήμερον. Sic iv. codd. quorum ob consensum id recepi. In impressis τήμερα e Scholiaste. Vide fragm. Holcadum v.

701. πάντας τρόπους σεαυτόν. Vulgo πάντα τρόπον τε σαυτόν. In membr. πάντα τρόπον σαυτόν. Melius in C. πάντα τρόπον σεαυτόν. Sed ob metrum scribendum πάντας τρόπους, ut Pl. 306. Sunt enim omnes isti versiculi iambici. Eos autem exhibui ut digesti sunt in membranis, nugatorem istum non curans, cujus exstant metrica scholia.

702. πυκνώσας. Gl. συναγαγὼν πάντα τὸν νοῦν σόυ.

703. ταχὺς δ', ὅταν εἰς ἄπορον. Vulgo ὅταν γ' εἰς. Istud γε nullus agnoscit codex.

704. ἐπ' ἄλλο. Sic bene C. Vulgo ἐς ἄλλο.

710. οἱ Κορίνθιοι. Schol. MS. δέον οἱ κόρεις εἰπεῖν, Κορίνθιοι εἶπεν· ἐπειδὴ οἱ Ἀθηναῖοι καὶ οἱ Κορίνθιοι κατ' ἐκεῖνο καιροῦ πόλεμον εἶχον, καὶ οἱ Κορίνθιοι τὰ τῆς Ἀττικῆς ἐδῄουν.

711. Hi versiculi sunt dimetri anapæstici, qui male habiti erant in impressis.

712. ψυχὴν, Gl. αἷμα.

BINDING SECT. JUL 3 - 1968

PLEASE DO NOT REMOVE
CARDS OR SLIPS FROM THIS POCKET

UNIVERSITY OF TORONTO LIBRARY